Quis eius, precum vi in deum excessus, qui a terrenis prorsus emundatum divinarum operationum organum efficiebant, pro dignitate explicare queat? quis castimoniae decus cordis illius enarrare possit, quae beatis eum spiritibus coniungebat, deique purissimum vasculum praestabat, tumque in dei conspectum attollebat, et ut futura tanquam praesentia essent aspectaret, efficiebat? quaenam oratio assequi valeat insatiabilem illius erga deum atque proximum charitatem, licet vi sua aethera conscendat? quae fidei firmitatem, ab omni duplicitate alienam? quae spei constantiam, qua ille iam inde a puero instructus, ac se futuris tanquam praesentia forent potiri existimans, confirmabatur? caeterum, viri tanta virtus lucidis irradians facibus, ad imitandum plures invitabat. denique qui suave Christi iugum

γὰρ τοῦ πλησίον ἀγάπης ἀκριβέσι θεσμοῖς τειχιζόμενος, ἐνίκα δι' αὐτῆς τὸ ταπεινὸν τοῦ φρονήματος, καὶ προστάτης τούτων ἐδείκνυτο, ὧν πολὺ πλέον [τὸ ταπεινὸν τοῦ φρονήματος] * ἀμέλειαν τοῖς πρὸς ἀρετὴν χειραγωγουμένοις ἀπέτικτεν, ἀλλ' ἀναλογοῦσαν τῇ πρὸς αὐτοὺς στοργῇ τὴν ὑπακοὴν παρείχοντο, τὴν ἀρετὴν αἰδούμενοι.

Ὡς γε καὶ θεία λαμπόμενος χάριτι, καὶ συνιδεῖν ῥᾷστα τὸ δέον οἷός τε ὤν, τοῖς κατὰ Βιθυνίαν ἐνδημῶν μοναστηρίοις καὶ ἑτέροις ἀλλαχόθεν προσομιλῶν, τοῖς ἐκείνων τῆς ἀρετῆς λειμῶσι, τὰς ὄψεις ἐπαφείς, συνελέγετο ὡς ῥόδα τὰ τούτων ἀγωνίσματα, καὶ τοῖς οἰκείοις προσεκόμιζεν, ἀγάπης ἀρίστης καὶ ὑψοποιοῦ ταπεινώσεως ἐν ἑαυτῷ περιφέρων τὰ ὑποδείγματα. ἐγκρατείᾳ δὲ διηνεκεῖ στρωνύμενος, ἡνίκα φίλων ἐκάλει παρουσία πρὸς μετάληψιν, τὸ τῆς ἐγκρατείας καλὸν ἐν δευτέρῳ τιθέμενος, τὴν κυρίαν προὐτίμα τῶν ἀρετῶν· χορτάζεσθαί τε καὶ ὑστερεῖσθαι κατὰ τὸν μέγαν Παῦλον εὖ εἰδώς, καὶ τῆς κενῆς δόξης δραπετεύων τὴν ἐπικράτειαν. μικροῦ με τῶν ἐκείνου καλῶν διέδρα τὸ μέγιστον. τῆς γὰρ κατὰ Νικαίαν συνόδου συστάσης τὸ δεύτερον, σὺν τοῖς ἄλλοις πατράσιν ἐπὶ αὐτὴν ἐκέκλητο. πάντων δ' ἐφ' ἵπποις ἐξόχων

3. verba τὸ ταπεινὸν τοῦ φρονήματος ex proxime superioribus repetita haud dubie delenda sunt: reliqua aperte corrupta doctioribus trado sananda. 16. ὑστερῆσθαι Par. cfr. Phil. 4. v. 12. οἰειδῶς Par.

subierant, vitae eum institutorem, qui ad virtutem animaret, ingenti compendio habebant. accuratis enim in proximum charitatis scitis munitus, sic humilem de se sensum vincebat, eorumque praefectum agebat; quorum animis initiante illo ad virtutem, impensior illa submissio contemptum velut progignebat: tametsi illi eius virtutem reveriti, pro benevolentia qua eos prosequebatur, amorisque modo, obedientiam parem rependebant.

Velut autem divina illustratus gratia, eoque ingenio praeditus, ut quae recta ac consentanea essent facile dispiceret, quae in Bithynia, ac locis aliis monasteria sita sunt invisens, inque eis monasticem profitentibus familiarius colloquens, coniectis in illorum virtutum prata luminibus, rosarum instar quibus praelucebant decerpebat certamina, domumque ad suos reportabat, perfectam charitatis, et sublimis humilitatis in se circumferens documenta. iugi autem abstinentia duratus, cum amicorum invisentium praesentia ad cibum percipiendum vocaret, illius honestatem in secundis habens, virtutum dominam illi praelatam volebat: qui magni Pauli more sciret satiari, et penuriam pati, inanisque gloriae dominatum fugeret. pulcherrimum illius factum me pene praeteriit. cum enim Nicaeae synodus secundo coacta es-

ἀθροιζομένων, καὶ λαμπραῖς γαννυμένων ἐσθῆσι, αὐτὸς τῷ συνήθει τριχίνῳ κοσμούμενος, ὑποζυγίῳ τε ἐπιβὰς κἂν θηλείᾳ τὴν ὁδοιπορείαν ἀσμένως ἐποιεῖτο. ὡς δ' εἶδον ἅπαντες τὸν τηλικούτῳ πλούτῳ κομῶντα τὸ πρότερον τούτοις νῦν καλλωπιζόμενον, ἐξ αὐτοῦ μᾶλλον ἢ τῶν ἄλλων ὀρεψάμενοι τὴν ὠφέλειαν, εὐθυμίας ἁπάσης ἀνεπίμπλαντο. ὁ δ' ἐκθύμως συνασπίσας τῇ ἀληθείᾳ καὶ τὴν πλάνην καταστρεψάμενος, τῇ γενικωτάτῃ τῶν ἀρετῶν καλλυνόμενος, ἐπανῆει.

Τούτου τοῖς καλοῖς οἱ τῆς κακίας γεννήτορες βασκήναντες δαίμονες, μικρὸν τῆς νυκτὸς ἀφυπνοῦντι ἀνέδην ἐπικωμάζουσι, καὶ τῆς ὅλης χειρὸς τὸν ἀντίχειρα σὺς δίκην ἀγρίου τοῖς ὀδοῦσι λαβόμενοι, δριμεῖαν τὴν ἀλγηδόνα καὶ ἔκτοπον ἐνεποίησαν, τοὺς τῶν ὀδόντων τύπους ἐπαφέντες τῷ μέρει τοῦ σώματος. ὁ δὲ τῷ πρὸς θεὸν ἔρωτι καθηλούμενος, καὶ τῆς ἐκείνων μοχθηρᾶς ἐπινοίας ὑπάρχων ὑπέρτερος, οὐδ' οὕτως ἐντρυφᾷν τῷ γεγονότι τοὺς βασκάνους ἐνέδωκε δαίμονας· ἀπομυρίσματι δὲ ξύλων τιμίων, ὡς εἶχε σπουδῆς, ἐπιχρίσας, χεῖρα τὴν πάσχουσαν, ἐλευθέραν παντὸς θᾶττον ἢ λόγος ἐναπέδειξε μώλωπος. ὦ τοῦ θαύματος· χάρις γὰρ θεία διηνεκῶς τοῖς ἐκείνου πόνοις ἐπαναπαυομένη, καὶ τρόποις ταπεινοῦ τοῦ φρονήματος, ἀποστολικῶν χαρίτων τῇ δωρεᾷ κατε-

1. ἐσθῆσιν mg. Par. sed scriptor barbaram formam praetulisse videtur. 3. ἴδον Par. 8. γεννηκοτίτη Par. ἐπανίει Par. 9. τῆς] τοῖς Par. h. l. et mox. 13. ἀνεποίησαν Par.

set, ad eam ipse quoque cum aliis patribus vocatus est. cumque omnes equis praestantibus, et splendidis vestimentis ornati venirent, ipse solito cilicino sacco indutus, ac asinae insidens, laetus iter suscepit. sed cum omnes viderent eum, qui prius omnibus divitiarum copiis abundaverat, vili nunc habitu gloriantem, maiore ex illo, quam ex reliquis, percepta utilitate, ingenti laetitia repleti sunt. ipse vero strenue propugnata veritate, ac errore everso, fide, quae virtutum generalissima est, inclytus rediit.

Verum cum malitiae auctores daemones praeclaris ipsius factis inviderent, ei nocte parumper dormienti impudenter illudere conati sunt. manus enim ipsius pollicem, tanquam sues agrestes, dentibus corripientes, acerbum dolorem inusserunt, in eaque corporis parte luxata, dentium vestigia reliquerunt. at ille dei amore confixus, et nequitia daemonum animum gerens superiorem, ne sic quidem ea re gloriari invidos daemones permisit. sed quam propere licuit pretiosorum lignorum ungento manum luxatam ungens, dicto citius omni plaga liberam reddidit. o rem miram! gratia enim divina illius semper laboribus summissique animi motibus praesens, apostolicorum

λάμπρυνε, καὶ ἐξαισίων θαυμασίων τερατουργὸν ἐνειργάσατο. εἰ μὲν οὖν πάντα λέγειν ἐθελήσω ὅσα θεία χάρις τούτῳ δεδώρητο τὴν ἐνοίκιαν ἀσπασαμένη, τούς τε τῶν ἐγκωμίων ἐπιλυμανοῦμαι νόμους, καὶ ὁ λόγος διαλυθεὶς ὡς ἐν μεγάλῳ πελάγει πλέων οἰχήσεται. εἰ δὲ τὰ πλείω παρεὶς ὀλίγων ἐπιμνησθήσομαι, καὶ ὁ λόγος ἕξει τὸ ἀσφαλὲς ὥσπερ ἐπὶ κρηπῖδος ἐρηρεισμένος, κἂν τῶν ῥηθέντων ἀκριβεστάτην ἕξει καὶ τὰ ὑπολειφθέντα τὴν δήλωσιν.

Ἀγρίου δαίμονος ἐπιφορᾷ τίς τῶν ἐκεῖσε πολιορκούμενος, φρενῶν ἔρημος ἐξαίφνης καθίσταται· καὶ τὰς οἰκείας κατεσθίων σάρκας ὡς ἀλλοτρίας, βαρὺς ἑκάστῳ τῶν προσιόντων ἐδείκνυτο. δεσμῷ τοῦτον περιβαλόντες πλείονες καὶ πέδαις ἀσφαλισάμενοι φρουρᾷ παρενέβαλον, φύλακας ἐπιστήσαντες· ἀλλὰ μιᾶς ἑσπέρας πρὸς θεὸν ἱκεσία τοῦ παραλυποῦντος ἀποδείξασα ἐλεύθερον, τῶν πεδῶν ἐκπεσόντων ἀθρόον τοῦ σώματος, πρὸς τὸ κυριακὸν σωφρόνως ἐπανιόντα παρέδειξεν, τὸν πρὶν παραπλῆγα καὶ πᾶσι δυσάντητον. χρεία τις ἐκάλει τὸν ὅσιον πορευθῆναι πρὸς τὸ πολίχνιον, καὶ δὴ πορευθέντος χειμὼν ἐπιπίπτει παράδοξος, κύμασί τε πολλοῖς ἐξογκώσας τὴν θάλατταν καὶ ἄγριον ἀνεγείρας τὸν κλύδωνα, τὴν ἐπάνοδον ἀπετείχιζεν. ὁ δὲ τῇ συνήθει κρατυνόμενος πίστει, τῷ τὴν ἰδίαν ἐκπληροῦντι διακονίαν φησίν, ἄγγελον τῇ συνδούλῃ χα-

7. ἐρειρισμένος Par.

eum munerum gratia illustrabat, rerumque admirabilium effectorem praestabat. equidem si omnia, quae divina gratia in hoc sancto viro inhabitans elargita est, munera enumerare voluero, et laudandi leges transiliam, et oratio mea instar navigii in ingenti pelago magis dissolvetur. quod si pauca quaedam, pluribus omissis, commemorabo, et oratio tanquam littora legens in tuto versabitur, et ex iis quae dicta fuerint, reliqua facile coniicientur.

Cum saevi daemonis impetu quidam illic sodalium opprimeretur, repente mentis vim amisit: carnesque proprias velut alienas lanians, cunctis adeuntibus molestus existebat. itaque vinculis et compedibus revinctus, custodiae plurium consilio adhibitis custodibus traditus fuerat. at vesperae unius fusa ad deum supplicatio, a vexante spiritu liberatum, vinculis repente dissilientibus, ad ecclesiam sana redeuntem mente ostendit, eum, qui prius mente captus, gravis omnibus erat ad occursum. usu venit, ut vir sanctus ad oppidum quoddam maritimum accerseretur: sed in medio cursu tempestas ingens oborta est, qua pelagus immane quantum intumuit; saevoque excitato fluctu insuperabile iter redeunti effecit. at vir sanctus solita fide fretus, proprium explenti ministerium ait: conservo mari denuncia, ut frae-

λάσαι τὸν κλύδωνα καὶ τὰ νῶτα ἡμῖν ὑφαπλῶσαι γαλήνια, ἵνα τὴν οἴκαδε πορείαν ἠρέμα ποιήσωμαι· καὶ θᾶττον ἢ λόγος ἐπακολουθεῖ τὸ ἔργον, τὸν Χριστὸν καὶ θεὸν ἡμῶν ὡς ἐν πᾶσι κἂν τούτῳ δεικνύων ἐπιληθεύοντα, μείζονα ποιῆσειν τοὺς οἰκείους θεράποντας τοῦ ἰδίου δεσπότου διατεινόμενον. πᾶσι δὲ τοῖς ἄλλοις λαμπόμενος κατορθώμασι, τῆς τῶν πενήτων ἐπιμελείας πλείονα φροντίδα τῶν ἄλλων ἐτίθετο· φιλαδελφίᾳ δὲ πλείστῃ τῶν ἄλλων κοσμούμενος, τὸν ἐξ αὐτῆς φυόμενον ἔλεον διαφερόντως ἠσπάζετο. καὶ δὴ τοῖς προσιοῦσι χεῖρα κιχρῶν σωτήριον, μησὶ τέσσαρσι τὸν προσόντα τῇ μονῇ σῖτον, μηδὲ τοῖς οἴκοι δυνάμενον ἐπαρκεῖν ἀφειδῶς ἐξεφόρει. τοῦ δὲ τὴν διακονίαν διέποντος ἐπὶ τούτῳ δυσχεραίνοντος, καὶ μηδὲ τοῖς οἴκοι δυνάμενον διαρκεῖν τοῦτον ἐπομνυμένου, πραεῖᾳ φωνῇ τὸν σῖτον ἀριθμῆσαι διακελεύεται. ὁ δὲ τοῦτο διαπραξάμενος, εὗρεν ὡς πρὸ τῆς διαδόσεως, μηδενὸς μεδίμνου τὸ συνόλον ἐπιλείψαντος. ἀλλὰ γὰρ ῥᾷον κύματα θαλάττης ἐξαριθμεῖν, ἢ κοτύλῃ πέλαγος ἐκμετρεῖν, ἢ τὰς ἐκείνου τῶν θαυμάτων νιφάδας ἐγκωμίων λόγοις περιλαβεῖν. διόπερ ἄλλοις ἄλλας ἐκφράζειν ἀφείς, ἐπὶ τὰ κυριώτερα τοῦ λόγου μετελεύσομαι.

Πᾶσι μὲν οὖν τὸ τῆς ἐκκλησίας ληΐον ἤνθει καλοῖς· δόγμασι μὲν ὀρθοδόξοις ὡς μάλιστα καταρδόμενον, ἀναλόγοις δὲ

4. τοῦτο Par. 11. ἀφοιδῶς Par. 14. πρατείᾳ Par.

net tempestatem, et fluctus tranquillos reddat, quo iter nostrum placide conficere valeamus. atque ita confestim effectum est, ut Christus ac deus noster hac item in re, quemadmodum in reliquis omnibus, vera dixisse demonstraretur, cum maiora servos suos, quam ipse faceret, pollicitus est effecturos. caeterum cum omnibus virtutibus excelleret, curandis tamen et sublevandis pauperibus maiorem diligentiam adhibebat. cum enim amore fraterno maxime teneretur, misericordiam ex eo proficiscentem in primis complectebatur. ac sane salutarem accedentibus manum porrigens, quarto mense quod monasterio suppetebat frumentum, modicum illud, ut vix familiae usibus sufficeret, large effundebat. cumque minister rem aegre ferret, atque illud ne familiae quidem satis esse iureiurando affirmaret, miti voce frumentum numerare iubet. quod ille cum fecisset, nullum acervo modium deesse comperit. verum facilius sit, undas maris enumerare, aut cava manu pelagus dimeteri, quam res ab illo gestas admirabiles oratione complecti. quamobrem aliis alia relinquentes commemoranda, quae rei institutae magis conveniunt, ac praecipua sunt, prosequemur.

Ecclesiae ager bonis omnibus abundabat. nam et rectis institu-

τούτοις παιδευόμενον πράξεσι. καὶ βασιλεῖς μὲν θεοφιλεῖς τούτους, ἢ τῷ προσόντι τῆς βασιλείας ὄγκῳ μεγαλαυχούμενοι διεδείκνυντο· ἀρχιερεὺς δὲ ὁ μέγας τῆς ὑψηλῆς ἐπειλημμένος καθέδρας, τὰς τῆς ἀρετῆς λαμπηδόνας γῆν ἐπὶ πᾶσαν, ὅσην ἥλιος ἐφορᾷ, διεπύρσευεν· οἱ δ' ὑπ' αὐτὸν τελοῦντες ἀρχιερεῖς ἀμέμπτως τὴν οἰκείαν ἕκαστος ποίμνην οἱονεί τινα ὁλκάδα πρὸς γαληνίους λιμένας ἐπηδαλιούχει· οἱ δὲ τῶν σεμνείων προστάται, ὧν πρωτοστάτης ὑπῆρχε καὶ καθαρώτατος ἥλιος ὁ θαυμάσιος, τὴν ἐς οὐρανὸν φέρουσαν τοὺς ὑπ' αὐτοῖς ἐκδιδάσκοντες τρίβον, γυμνὸν κτημάτων ἐδείκνυον τὸν πρότερον κακῶς δυναστεύσαντα. ἀλλ' οὐκ ἤνεγκεν ὁρᾶν ὅφις ὁ βάσκανος τηλικούτοις ἐπανθεῖν τὴν ἐκκλησίαν καλοῖς, τὴν δὲ τῶν πολλῶν ἁμαρτίαν συνεργὸν προσκτησάμενος, συγχωρήσει θείᾳ τὸ ταύτης κάλλος ἐπιλυμήνασθαι διανίσταται. ἄνδρα γοῦν ἐπιζητῶν τῆς ἰδίας σκαιότητος ἁπάσης χωρητικόν, ἐφεύρισκε πλέον ἢ ἐβούλετο· Λέοντα τὸν ἐξάγιστον, ὃς Ἀρμενίοις τε καὶ Ἀσσυρίοις ἐπαναφέρων τὸ γένος, τῶν μὲν ἐπλοῦτει τὸ ὕπουλον καὶ κακοηθές, τῶν δὲ τὸ θηριῶδες εἰς ἅπαν ἐκμιμούμενος, μᾶλλον μὲν οὖν μακρῷ τῷ μέσσῳ τούτους ὑπερβαλλόμενος, θηριωδείᾳ μὲν ἔξενίκα τὸ ὕπουλον, ὑπουλότητι δὲ τὸ θηριῶδες παρέτρεχεν· ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δ' ἐπι-

2. post τούτοις fortasse excidit μᾶλλον. 3. Nempe Michael Rancabus. Par. mg. 5. S. Nicephorus patriarcha: non Leo III. Rom. pontif. ut inepte notatum apud Surium. Par. mg. 13. προσιτητσάμενος Par. 20. θηριωδία Par. 21. ἐπιψῆναι Par.

tis sanaque doctrina instructus erat, et factis congruentibus affluebat. ac quidem religiosissimi imperatores, pietatis studio potius, quam imperii amplitutine gloriabantur. porro magnus pontifex sublimem cathedram consecutus, virtutis lumina per universum orbem terrarum accendebat. qui autem sub eo erant antistites, suos quique greges sine reprehensione tutos in portus perducebant. monasteriorum denique praesides, quibus tanquam sol nitidissimus admirandus hic vir praelucebat, viam in caelum ducentem docentes discipulos, nudum opibus eum, qui male prius dominatus esset, religiosa abdicatione monstrabant. sed invidus serpens ecclesiam tam multis bonis florentem videre non poterat, exque plebis peccatis occasionem arripiens, ita permittente deo, ecclesiae pulchritudinem pervertere aggressus est. verum cum propriae perversitatis ministrum idoneum quaereret, aptiorem invenit, quam optabat: Leonem, inquam, scelestissimum hominem, qui ab Armeniis et Assyriis genus ducens, alterius gentis dolos ac morositatem, alterius feritatem numeris omnibus absoluta imitatione expresserat: imo vero longo eos intervallo superans, feritate

θεῖναι πίστιν τοῖς ἐψευσμένοις ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν οἰκειοτάτων χρώμενος· ὃς τῆς μειλιχίου καὶ πυλλὰ τιμησάσης κατεξαναστὰς βασιλείας, ἐξωθεῖ μὲν τῆς ἐκκλησίας τὸν παγκόσμιον καὶ ἄδυτον ἥλιον, συνεξωθεῖ δὲ τούτῳ τῶν ἀρχιερέων μικροῦ δεῖν τοὺς ἅπαντας· καὶ τὴν ἀνέκαθεν ἐξ ἀποστόλων ταύτην παράδοσιν παρ' οὐδὲν ἡγησάμενος, ἐξορύττει μὲν Χριστοῦ τῆς θείας σαρκὸς τὸ ὁμοίωμα· συνεξορύττει δὲ τῆς τούτου μητρὸς καὶ πάντων τῶν ἁγίων τὰ σεπτὰ εἰκονίσματα, καὶ τὴν ἐκκλησίαν ψηλαφητοῦ σκότους ἐμπίμπλησι, πολλῷ τοῦ παρ' Αἰγυπτίοις χαλεπωτέρου. ἐντεῦθεν τῇ ἑλληνικῇ βίᾳ τὴν προγονικὴν ἀναμίξας ἀπόνοιαν, ἐλάλει μὲν εἰς ὕψος ἀνομίαν τὸν παλαιὸν ἐκεῖνον Ῥαψάκην ὑπερβαλλόμενος· τὴν πόλιν δὲ θεοῦ, τὴν ἐκκλησίαν φημί, πολλοῖς κατασείειν ἐπεχείρει τοῖς μηχανήμασι. πολιτεία μὲν οὖν εὐθὺς ἅπασα τῷ τῆς ἐκείνου βίας ἐναναγεὶ κλύδωνι, μηδ' ἀντισχεῖν ἐγχειρήσασα· οἱ δὲ τῷ ὕψει τῶν ἀρετῶν χειραγωγοῦντες τοὺς ἄλλους πρὸς τὰ οὐράνια, τοῖς τῆς πονηρίας ἐκείνου παρεσύρησαν κύμασι, εἰ καὶ μεταμελείᾳ τὴν ἧτταν ἀνεκαλέσαντο· οἱ δὲ τῶν ἐπὶ γῆς καὶ ἑαυτῶν ἀφειδήσαντες, καὶ φρενῶν ἀγχινοίᾳ τὴν πονηρίαν ἐκνικήσαντες, οἱ μὲν λιμῷ προσεκαρτέρουν, οἱ δὲ μάστιξι ἀνηλεῶς ἠκίζοντο, ἔσθ' ὅτε καὶ νυκτὶ θαλάττῃ παραπεμπόμενοι.

8. τῶν om. Par. 13. Iesai. 36. v. 2.

dolos, dolis feritatem vincebat: ad mentiendum promptus, et ad persuadendum ea, quae mentiebatur, aptissimus. fraude loco virtutis utebatur, eamque adversus coniunctissimos exercebat. hic in blandum, ac qui multum ei honoris habuerat imperatorem consurgens, ornatissimum ac qui nunquam occidat ecclesiae solem eiicit, ac cum illo omnes fere exturbat antistites. hanc itaque ab apostolis per manus traditam institutionem spernens, divinae carnis Christi imaginem exscindit; idemque in matris eius, ac sanctorum venerandas imagines committit; ac ecclesiae graviores longe Aegyptiacis, densissimasque tenebras offundit. hinc tyrannorum quos tulit gentilitas violentiae patrium astum admiscens, ac veterem illum Rapsacem superans, iniquitatem in sublime loquebatur; et civitatem dei, quae est ecclesia, multis machinamentis dolisque concutere studebat. statim itaque amnis res publica illius violentiae procella naufragium facere, cum ne obniti quidem conaretur. qui virtutum quo praestabant merito reliquis ad caelestia duces erant, illius nequitiae fluctibus secus agi, astuque decipi, tametsi poenitentiae remedio noxam resarcivere. qui autem res terrenas, seque ipsos contemnentes mentis solertia scelus vicerant, qua fame conficiebantur, qua verberibus dire excruciabantur: nonnunquam etiam noctu conflciebantur in mare.

Theophanis Vita. ***

Τότε δή, τότε πρὸς πόλιν καλεῖται καὶ ὁ θαυμάσιος, οὐ τυραννικῇ καὶ βιαίᾳ χειρί, ἀλλὰ θωπείαις ταῖς ἐξ ἔθους δῆθεν ἐκμαλασσόμενος. κατ' ἐχθρῶν, φησίν, ἐκστρατεία μοι παρέστη, καὶ δέον ταῖς εὐχαῖς κατοπλισθέντα πρότερον, οὕτω συμμίξαι τοῖς πολεμίοις. ὁ δὲ τὸ τῶν τρόπων κακόηθες ἐπιστάμενος, νεφρῷ πολυχρονίῳ καὶ δυσουρίᾳ τρυχόμενος· ὄργανα γὰρ διὰ τοῦ φυσικοῦ ὑπονόμου τῇ κύστῃ παραπεμπόμενα, καὶ τοὺς ἐγκειμένους ἐν ταύτῃ διαθρύπτοντα λίθους, τοῖς ἐκτὸς παρεπέμποντο, τὴν ἔξοδον τῷ ὑγρῷ περιττώματι, ὡς δυνατόν, ἀκώλυτον μηχανώμενα. τούτοις οὖν τρυχόμενος καὶ κλινήρης διὰ βίον ὑπάρχων ἀκατίῳ περαιωθεὶς πρὸς τὴν βασιλίδα πόλιν ἐγκαθορμίζεται. τοῦτο δὴ μαθὼν ὁ ἐξάγιστος, τοιάδε τούτῳ διά τινος τῶν οἰκειοτάτων δηλοῖ· εἰς ὕψιν γὰρ ἀγαγεῖν, τὸ στερρὸν οἶμαι τοῦ ἀνδρὸς διενθυμούμενος, ἠρυθρία. εἰ μὲν πειθήνιος ἥκεις ταῖς ἐμαῖς ἱκεσίαις, (χρηστὰς γὰρ ἡμῖν ἐλπίδας τὸ σὸν προσηνὲς ἐντίθησιν) ἴσθι τοσούτων καταπολαύσων καλῶν, ὅσον εἰκὸς ἐπαπολαύειν τοὺς τῆς οἰκείας φιλονεικίας βασιλικὴν συμβουλὴν καὶ παράκλησιν ποιουμένους ἐπίπροσθεν· τῆς τε σῆς μονῆς παντοίοις ἐξαιρομένης χαρίσμασι, καὶ τῶν σῶν συγγενῶν τιμῆς μεγίστης καὶ παρρησίας ἠξιωμένων, τὰ πρῶτα τῆς ἐμῆς φιλίας οἴσεις καὶ

4. παρίστη Par. 10. μηχανίμενοι Par. 17. καταπολαύων Par.

Tunc igitur, tunc ad certamen vocatur etiam vir admirandus, non quidem manu tyrannica, et ut illata vi adducatur; sed ut tyranno consuetis blanditiis ac dolis ad iter inducatur. adversus hostes, aiebat, belli mihi moles incumbit: sed ante quam manus cum illis conseram, precum tuarum praesidio muniar necesse est. Theophanes autem cognita hominis malitia, quamvis renum et urinae difficultate laboraret (instrumentis enim per naturalem cuniculum in vesicam admissis, quae lapides insidos commolirent, humidis excrementis exitum praebebat) ac cum maximis molestiis vexaretur, inque lectulo aegrotus assidue decumberet, scapha tamen ad urbem regiam traiecit. quod cum scelestissimus ille intellexisset, sancti viri aspectum (eius puto constantiam animo reputans) veritus, per unum aliquem maximae inter illius domesticos fidei, haec illi significat. si venisti, ut mihi morem geras (morum enim qua praeditus es lenitas, ut de te id sperem, facile suadet) scito tam multis te bonis fruiturum, quam multis eos frui par est, qui propriae voluntati imperatoris voluntatem et consilium anteponunt: tumque monasterio tuo omnis generis muneribus aucto, tum propinquis tuis maximis dignitatibus favoreque regio condecoratis, primas apud me amicitiae ac auctoritatis partes ipse con-

παρρησίας· εἰ δέ, ὃ μηδὲ λογίσασθαι θέμις, τὴν οἰκείαν ἔριν τῆς ἐμῆς ἱκεσίας προτιμησάμενος, ὑπερόπτης μὲν τῆς ἐμῆς συμβουλῆς, ὑπερόπτης δὲ τῶν προτεινομένων γενήσῃ καλῶν, ἄκων διαπραξάμενος ἅπερ ἑκὼν οὐ βούλει, σαυτῷ μεγίστης αἰσχύνης καὶ δυσβουλίας ἔσῃ παραίτιος.

Ὁ δὲ θειότατος τῆς εὐηθείας τῶν λεγομένων ἐκμυκτηρίσας τὸν εἰρηκότα, τοιοῖσδε λόγοις ἀμείβεται τὸν πεπομφότα· χρημάτων μὲν καὶ κτημάτων, καὶ ὅσα τῆς παρούσης ἐστὶ καλὰ βιοτῆς, οὐδενὸς ἐν χρείᾳ καθέστηκα· οὗ γὰρ νεάζων ἀπεσεισάμην δυνάμενος χρῆσθαι, τῷ Χριστοῦ κεκρατημένος ἔρωτι, πῶς ἂν γηραιὸς ἐπ' ἀθετήσει τοῦ ποθουμένου προσδέξομαι; καὶ ταῦτα τῶν ἐπικειμένων νοσημάτων τῷ σώματι ταχεῖαν μηνυόντων τὴν ἔξοδον καὶ τὴν κτῆσιν τούτων ματαίαν ὑπεμφαινόντων· μονῆς δὲ καὶ συγγενῶν θεῷ μελήσει, ᾧ καὶ παρατίθημι τούτους, τῷ κρειττόνως ἐπικουρεῖν δυναμένῳ ἢ βασιλεῖς τε καὶ ἄρχοντες. εἰ δὲ νόσοις καὶ γήρατι θαρρυνόμενος, αἷ με νῦν συνέχουσι, μορμολύττοις ταῖς ἀπειλαῖς καὶ δειματοῦν ἐθέλεις, καθάπερ σκυτάλῃ τὰ ἀγενῆ τῶν μειρακίων οἱ παιδευταί, ἅπτεσθω πυρά, ἑτοιμαζέσθω στρεβλωτήρια, καὶ πρόθεσιν ἅπασαν ἐκνικῶντα καὶ τρόπους μηχανημάτων παρατρέχοντα, ὅπως εἰδῇς ἐν ταῖς ἐμαῖς ἀσθενείαις τὴν τοῦ Χριστοῦ τελειουμένην σαφέστατα δύναμιν. αὐτὸς πρὸς τὴν πν-

3. βούλῃ Par. 5. δυσβουλείας Par.

sequeris. sin, quod vix cogitare fas est, pervicaci animo tuo preces meas posthabueris, et consilium meum neglexeris, ac quae tibi proponuntur, bona fueris aspernatus, invitus faciens, quae volens recusas, maximi tibi ipse dedecoris ac calamitatis auctor existes.

Ad haec vir divinus, perspecta dictorum stultitia, auctoremque irridens, ita nuncio respondet. ego nec pecuniis, nec possessionibus, aut ullis aliis vitae huius bonis indigeo. quae enim adolescens, cum iis frui possem, amore Christi inflammatus repudiavi, ea iam senex quomodo complectar, ac eum cuius desiderio teneor, contemnam? praesertim cum corpus morbis confectum sit, ut vitae finis procul abesse non possit, et haec inania esse constet. quod autem ad monasterium propinquosque pertinet, id deo erit curae, cui utrosque commendo: et quibus deus melius, quam imperatores et principes, consulere potest. quod si, quemadmodum pueros parum generosos magistri scutica perterrefaciunt, ita tu me morbo et senectute confectum, minis territum iri speras, rogus accendatur, tormenta parentur, et omnia cruciatuum genera, eaque eiusmodi, ut vim omnem propositi superent, artificiososque cunctos modos excedant; ut scias planissime, Christi virtutem in meis infirmitatibus perfici. ego qui in terra gradi

ῥᾴν ἐλθεῖν ἐπειχθήσομαι, ὁ γῆς ἐπιβῆναι ὅλως οὐ δυνάμενος, τὴν ἐπικειμένην ἀσθένειαν ἐκνικήσας τῇ προθυμίᾳ.

Ταῦτα μαθὼν ὁ τρισάθλιος, κατεπλάγη μὲν οἵης τοῦ γενναίου ψυχῆς τὸ παράστημα· οὐ μὴν ἀπέγνω τὴν νίκην, τῷ γενναιοτάτῳ τῶν παρ' αὐτῷ θαρρῶν ἀθλητῶν, ὃς γοητικαῖς τῷ ὄντι καλλωπιζόμενος μαγγανείαις καὶ σοφιστικαῖς δῆθεν ἐκεκαλλώπιστο τερατείαις, ταῖς Ἑλλήνων οἰωνοσκοπίαις καὶ ταῖς δι' ἥπατος μαντείαις ἐπὶ πλείω μεγαλαυχούμενος, ἢ τοῖς μαθήμασιν. οὗτος πρὸς τὸ τῆς ἀσεβείας ἑλκύσας τὸν δύστηνον βάραθρον, τὰ πρῶτα παρ' αὐτῷ τῆς δυναστείας ἐκέκτητο. τούτῳ τὸν μακάριον ἐκδίδωσι, ἁλῶναι πάντως τῇ ἐγγὺς τῶν τούτου λόγων οἰόμενος. ἀλλ' ὄνος ᾄδων πρὸς λύραν ἡλίσκετο· καὶ τῇ ἀμάχῳ τοῦ ἀνδρὸς παρρησίᾳ τῶν λόγων καταπλαγείς, πρὸ συμπλοκῆς τὴν ἧτταν ὑπεπάζετο, καὶ τῷ κρατοῦντι διήγγειλεν ὡς κρειττων παντὸς λόγου καὶ ἀπειλῶν ὁ ἀνήρ, καὶ τοὺς ἤδη πεισθησομένους ἐπιμείνας τῷ τόπῳ ἀνακόψει τῆς ἐγχειρήσεως. ὦ γνώμης ἀδαμαντος στερροτέρας καὶ ἀνυπείκτου πᾶσι τοῖς κατὰ τῆς ἀληθείας μηχανήμασιν. ὦ φίλτρον περὶ τὸν κτιστὴν ἀκόρεστον, ὑπὸ μηδενὸς τῶν τοῦ βίου πειρατηρίων διαλυόμενον. ἀλλ' οὐδ' ὡς ἀπέληγε μάχης ὁ τυραννικῆς ὠμότητος ἔμπλεος· τοῖς τῶν Ἐλευθερίου δὲ ἀνακτόροις

3. οἵης] fort. τῆς. 7. ἐκαλλώπ. Par. 15. κρείττω Par. 16. πειθησομένους Par.

non valeo, valetudinis infirmitate superata, in rogum promptus insiliam.

His auditis, turpissimus ille constantiam quidem animi fortis admiratus est; de victoria tamen spem non abiecit, hominis inter suos dolis strenuissimi fretus suadae vi: is nempe magorum praestigiis, ac sophistarum imposturis, Graecorumque auspiciis, atque iecinoris inspectionibus, quam disciplinis instructior erat; cumque miserum hominem in impietatis barathrum traxisset, apud eum valebat plurimum. huic beatum tradit Theophanem, sperans illius verborum lenocinio omnino deceptum iri. verum tanquam asinus ad lyram deprehensus est. invictam itaque viri sancti dicendi libertatem vehementius admiratus, antequam congrederetur, se victum esse confessus est: nunciavitque imperatori, eum praestantiorem esse, quam ut oratione, aut minis ullis superari posset: quin etiam si ibi diutius commoraretur, fore, ut aliorum animos in sententiam iamiam concessuros, a proposito absterreret. o mentem adamante firmiorem, et nullis cedentem machinis oppugnantibus veritatem! o amoris vim erga creatorem incredibilem, quae nullis vitae tentationibus dissolvi potuit. caeterum ab impugnatione non destitit homo tyrannica plenus crudelitate: sed virum sanctum in Eleutherii palatio includi iubet, adhibitis custodi-

ἀσφαλεστάτῃ φρουρᾷ παραδίδωσι, φύλακας ἐπιστήσας, τοῦ μή τινα τῶν οἷς αἰδὼς τῆς φύσεως πρόσεστι παραμυθίαν ἐμποιῆσαι τῷ διὰ Χριστὸν κακουμένῳ. σῶμα μὲν οὖν λιμῷ πολυχρονίῳ τηκόμενον κατὰ μέρος πρὸς φθορὰν ἠπείγετο, καὶ αὐτὴν τὴν ὀξεῖαν τελευτὴν ζημιούμενον· νόσοι δὲ τῆς τῶν ἰατρῶν ἐπικουρίας ἐλευθερίαν εὑράμεναι, ἀλγεινότερον ἐπεκόμαζον, κατὰ πολὺ τῆς ζωῆς ἰδιοποιοῦσαι τὴν τελευτήν. ἀλλ' ἡ διάνοια τοῦ πρώτου τῶν ὀρεκτῶν τοῖς παμποθήτοις ἐντρυφῶσα κάλλεσι τὰ τοῖς ἄλλοις μηδ' ἀκοῇ φορητὰ ῥᾷον ἔφερεν. ἔχαιρον ἄγγελοι τὴν μακροῖς χρόνοις τῶν βροτῶν ὀρμπετεύσασαν καρτερίαν ὀφθαλμοῖς αὖθις ἐπανελθοῦσαν ἐπιδεῖν εὐτυχήσαντες· καὶ τῇ τούτου συνηδόμενοι κατ' ἐχθρῶν ἀριστείᾳ, τὸ ἐπινίκιον ἐπαναγγύριζον. ἔφριττον δαίμονες, ὧν μηδ' ἀκοῇ φέρειν ἠνείχοντο τὰ ὀνόματα, καὶ ὧν προσεπολέμουν τοῖς εἰκονίσμασι, τούτους αὖθις αὐτοῖς ἐπανατέλλοντας πράγμασι θεᾶσθαι κακοδαιμονήσαντες, καὶ βασκανίᾳ διαπριόμενοι, τοὺς ἑαυτῶν ὑπηρέτας τῆς ἀσθενείας ἐκάκιζον. Χριστὸς δέ, τοῖς πάντα λόγον νικῶσι τὸν οἰκεῖον ἀριστέα καταλαμπρύνων χαρίσμασι, τῷ νικητικῷ κατηγλάϊζε στέφει.

Δυσὶ γοῦν ἔτεσι τῇ ἀτλητοτάτῃ προσκαρτερήσας εἱρκτῇ, τῇ Σαμοθράκῃ παραπέμπεται νήσῳ· ὃ καὶ νοερῷ προϊδὼν ὀφθαλμῷ, τῷ τὴν ὑπηρεσίαν πληροῦντι προήγγειλε· καὶ τρι-

4. ἐπείγετο Par. 5. τῆς] τοῖς Par. 17. ἀσθενείας Par.

bus, ne quis humanitate ductus, ei propter Christum patienti consolationem ullam afferret. itaque corpus eius diuturna fame confectum, paulatim tabescebat; ipsumque hoc detrimenti loco erat, quod non cita morte tolleretur. morbi porro per medicorum curae absentiam grassandi nacti licentiam, gravius saeviebant, et vitam reddebant morte ipsa longe acerbiorem. at ipse, eius qui desiderabilium primatum tenet desideratissimam pulchritudinem in deliciis habens, quae nec auditu reliquis tolerabilia sunt, patienti ac aequo animo perferebat. gaudebant angeli, cum tolerantiae vim, quae longo tempore ab humanis exulaverat, postliminio reversam felici longe spectaculo cernerent: ac viri sancti praestanti adversus hostes virtute laetantes, victoriae praeconium illi concinebant. horrebant daemones, quod sanctos, quorum vel nomina audire non poterant, et imagines oppugnabant, rursum ipsis factis florentes spectare cogerentur, misereque acti invidia satellites suos, ac ministros imbecillitatis arguebant. Christus denique muneribus omnem vim dicendi superantibus pugilem suum decoratum victoriae corona donavit.

Duos igitur annos acerbissimo defunctus carcere, in Samothracem insulam deportatur: quod ipse mentis oculo prospicieus, ei, qui sibi

σὺν ἡμέραις πρὸς εἴκοσι τῇ νήσῳ προσβιούς, ὡς εὐώδης θυσία τῷ κοινῷ δεσπότῃ προσφέρεται, καὶ ταῖς ἐκείνου χερσὶν τὸ ἱερὸν καὶ πάναγνον ἐπαφεὶς πνεῦμα, πρὸς τὴν πάλαι ποθουμένην ἐπαναφέρεται κληρουχίαν. ἀλλ' οὐδὲ τὸ νικηφόρον τούτου σῶμα, καὶ τῇ ψυχῇ σύνδρομον ἐν πᾶσι καλοῖς, τῶν κατὰ δυνάμιν γερῶν ἀπελείπετο. χερσὶ μὲν θεοφιλῶν ξυλίνῃ κατατίθεται λάρνακι, καὶ ταῖς προσηκούσαις, ὡς ὁ καιρὸς ἐδίδου, γεραιρόμενον ὑμνῳδίαις, ἐξαισίοις δὲ χάρισι παρὰ θεοῦ κληϊζόμενον. λοιμοῦ γοῦν ἐπικειμένου τοῖς κατὰ τὴν νῆσον κτήνεσι, καὶ αἰφνιδίως τῷ θανάτῳ παραπέμποντος, ὥρᾳ τῇ λάρνακι ὕδωρ ἀπομυρίσαντες, οὐ γὰρ προσψαῦσαι τοῦ θείου κατετόλμησαν σώματος, καὶ τοῖς νοσοῦσιν ἐπιρράναντες, ἐλεύθερα τῆς ἐπικειμένης αὐτοῖς ἐναπέδειξαν λοίμης.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ δίκην δίδωσιν μίαν ἀντὶ πολλῶν τῶν ἀδικημάτων ὁ τῆς Χριστοῦ ἐκκλησίας ἄγριος μονιός, ἐν ἱεροῖς τόποις, εἰς οὓς κακῶς ἐνύβρισεν, ἀσχημόνως καταστρέψας τὸν βίον· καὶ τῆς παχείας ὀμίχλης ἀπὸ μέρους ἐκκαθαρθείσης, ἀχλυώδης τις ἐλευθερίας ἐπανέτειλεν ἥλιος, λεπτοτάτοις ὑπολαμπόμενος νέφεσι. τότε δὴ τότε θαρρήσαντες οἱ τοῦ θαυμασίου φοιτηταί, λέμβῳ τῇ νήσῳ προσορμίζονται, καὶ τὸ ἀοίδιμον ἐκεῖνο καὶ λαμπροτάτας ἀποστίλβον τὰς χάριτας σῶμα σὺν τῇ λάρνακι κομισάμενοι ἐπανάγουσιν εἰς

16. ἐνύβρισιν Par.

ministrabat, praenunciaverat. cumque tres supra viginti illic dies egisset, tamquam suavis hostia communi domino oblatus est: illiusque manibus sacrum, ac sanctissimum spiritum suum tradens, ad haereditatem olim desideratam contendit. neque vero victoriae insignibus clarum eius corpus, ac quod animo gerenda omni virtute socium, comesque extiterat, meritis muneribus caruit, quanta in ipsum conferre licuit. nam piorum virorum manibus in lignea arca compositum, et convenientibus cantibus, ut tempus ferebat elatum, admirandis gratiis a deo fuit illustratum. cum enim lues in insulae pecora desaeviret, adeo ut mortua repente conciderent, aqua extremis illius arcae oris delibuta (neque enim corpus ausi erant contingere) pecora peste laborantia conspergebant, et periculo liberabant.

Haud multo post immitis ille ecclesiae Christi aper, multorum reatum scelerum uno supplicio luit; inque sacris locis, in quae nequiter debacchatus fuerat, turpiter vitam amisit. quare, densa caligine paulisper disiecta, obscurus quidam libertatis sol, tenuissimis nubibus sublucens emersit. tunc igitur sancti viri discipuli assumpta fiducia in insulam navigio advecti, praeclarum illud, et splendidissimis gratiis effulgens corpus cum arca sublatum, in locum quendam Hieria

τόπον τινά, σημείοις ἀπέχοντα τῆς μονῆς δύο καὶ δέκα. ὄνομα τῷ τόπῳ φασὶν Ἱέρια. . . .

Ἀλλ' ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας κύριος, τῆς μελλούσης δόξης τούτου φανερῶν τὴν κατάστασιν, τοὺς ἀνὰ πᾶσαν ἐκείνην οἰκοῦντας τὴν γῆν τῶν τούτου χαρίτων μετασχεῖν ἐνεποίησεν. ἦγοντο γοῦν οἱ νόσοις ἀνηκέστοις πεπεδημένοι, κύματα θαλάττης ἀπομιμούμενοι, τῶν τούτου καλῶν εὐμοιρῆσαι διασπουδάζοντες· καὶ δαιμονῶντες μὲν βίᾳ τῷ κράτει τῆς ἐξουσίας ἑλκόμενοι, ὀλολυγμοῖς γὰρ καὶ φωναῖς ἐξαισίοις τοῦτο διεσήμαινον, τῇ θίξει μόνῃ τῆς θήκης, ἢ καὶ ἐπιμυρίσματι, τῶν ἐνοχλούντων ἀπολυόμενοι τῷ σεσωκότι δι' αὐτοῦ θεῷ τὴν προσήκουσαν ἀναφέροντες εὐχαριστίαν ἐπανῆεσαν. οἱ δὲ κρυφίως τῆς ἐκείνων λοίμης μετειληφότες, τοῖς αὐτοῖς κατανάγκοις εἰς τοὐμφανὲς ἀγομένοις, τῶν ἐνοικούντων ἐπιταγῇ τοῦ ἀθλητοῦ δραπετευόντων, ἐλευθερούμενοι διεδείκνυντο. παράλυτοι ταῖς κλίναις μόλις ἐπιφερόμενοι, τῷ τούτου σθένει τὰ μέλη σφιγγόμενοι, τοῖς ὤμοις ταύτας ἀναφέροντες σὺν εὐφημίαις ἀπῆεσαν. τυφλοί, τῇ παντελεῖ τοῦ σώματος ἀπραξίᾳ πεδώμενοι, ὑφ' ἑτέρων χειραγωγούμενοι, τὸν ὄντως χειραγωγὸν ἐπιζητοῦντες ὀφθαλμὸν ἐπήρχοντο, καὶ τὸ ποθούμενον ἀμόχθως εὑρίσκοντες ἐπανῆρχοντο, τοῦ χειραγωγεῖσθαι

10. θήξει Par. εἰ καὶ Par. 18. malim ἀορασίᾳ mg. Par. male. πεδούμενοι Par.

dictum asportant, duodecim stadiorum intervallo a monasterio dissitum, inque templo S. martyris Procopii deponunt.

Hic ille, qui eos, a quibus honoratur, honoribus afficit, ut futurae gloriae sancti sui statum declararet, incolas omnes illius regionis munerum ipsius fecit esse participes. confluebant enim, undarum instar, qui morbis gravissimis, nec ullam curationem admittentibus laborantes, illius impertiri bonis satagebant; ac quidem a daemonibus vexati, invitis, ac dolorem suum clamore nimio gemituque testantibus, cum adhibita vi huc pertraherentur, solo arcae contactu, sive etiam aqua arcae attactu delibuta ab spirituum nequam vexatione soluti, deo, qui per illum sanos effecisset, quas par erat gratias agentes, domum revertebantur. qui autem clam ea peste laborabant, eadem se necessitate prodentibus daemonibus, athletaeque iussu diffugientibus, ab iis liberi reddebantur. paralytici, qui vix in lectulis suis gestari poterant, sancti virtute corroboratis membris, lectulos humeris reportantes, ad sua redibant. caeci, qui omni corporis actione destituti aliorum manibus ducebantur, verosque duces lumina requirentes venerant, voti compotes facti sine labore ita redibant, ut alienae manus opera nulla desideraretur. claudi, membra corporis, quibus gradi insuetum est, humi foede trahentes, aut alienas manus ad iter

μετὰ τῆς νόσου δραπετεύσαντες. χωλοὶ τὰ μέλη τοῦ σώματος, ἃ τῇ γῇ προσβαίνειν οὐκ εἴωθεν ἐπ' ἐδάφους * καθυβρίζοντες, οἱ τὰς ἑτέρων χεῖρας δανειζόμενοι πρὸς τὴν ἔλευσιν, δορκάδος δίκην ἀλλόμενοι ποσὶν ἀρτίοις ἐποιοῦντο τὴν ἀναχώρησιν. ἀκοῆς δὲ καὶ τοῦ λέγειν ἕτεροι καταδικασθέντες τὴν στέρησιν, τῆς ἑτέρων ὁμιλίας παραδόξως ἐπακούοντες, ὁμόφωνον τὴν εὐχαριστίαν ἐνήργουν. αἱμορροοῦντα γύναια τῇ διηνεκεῖ χύσει τοῦ αἵματος τοῦ ἐμφύτου θερμοῦ τῇ ἀποχωρήσει πρὸς νέκρωσιν ἀπαγόμενα, οὐ κρωσπέδου δεσποτικοῦ, δουλικῆς δὲ θήκης ἐφαπτόμενα, παραδόξως ἀναξηρανθείσης τῆς ῥύσεως, πηγὰς εὐχαριστίας ἐνγνωμόνως ἀνέβλυζον. χειρόγραφον μεστὸν μοχθηρῶν πράξεων ἐσφραγισμένον τῇ θήκῃ προσανατεθέν, ὡς μηδεπώποτε γραφὲν τοῖς πᾶσιν ἐγνωρίζετο, καὶ τὴν ἀποστολικὴν ἐξουσίαν ἐθαύμαζον τῆς τούτου θήκης ἀναβλύζουσαν. ἀλλὰ τίς ἂν λόγος τῶν τότε πραχθέντων τούτῳ τὸ πλῆθος κατὰ μέρος ἐξειπεῖν δυνήσεται, ὅπουγε καὶ κατ' εἶδος οὐκ εὐχερές; ποῖος δὲ γραφῇ παραδοῦναι, κἂν εἰ δέκα στομάτων καὶ γλωσσῶν εὐμοιρήσειεν.

Ὅλον γοῦν ἐνιαυτὸν τῷ ναῷ τοῦ καλλινίκου Προκοπίου προσκαρτερήσαντες, τοῦ μὴ τὴν θεόβρυτον χάριν τοῦ μάκαρος ἀναστεῖλαι τῶν δεομένων, ὀψὲ καὶ μόλις τὴν εὐθὺ τῆς ἐκείνου μονῆς τρίβον ἦεσαν, τετραμερῶς σφᾶς αὐτοὺς περὶ τὴν θήκην ἐντάξαντες. μέσσον γὰρ τῶν πατέρων οἱ πρόκριτοι

2. εἴωθεν Par. sed aliud vitium latet.

mutuantes, caprearum in morem rectis tibiis saliendo discedebant. qui aurium, aut linguae munere fungi non poterant, miro novoque eventu aliorum fabulantium sermones audientes, pari cum eis voce gratias agebant. foeminae, quae perpetuo fluxu sanguinis laborantes, insiti caloris discessu emortuo pene corpore fuerant, non domini fimbriae, sed servi arcae contactu mirabiliter exsiccato fluxu, grati probique animi monumento gratiarum actionis fontes promebant. chirographum flagitiosis actionibus plenum, cum obsignatum arcae admotum esset, sic omnes mundum aspexerunt, ac si nihil unquam in eo fuisset scriptum; cunctique apostolicam potestatem ex huius arca manantem suspexerunt. verum, quis ea, quae tunc ab ipso gesta sunt, singulatim valeat enarrare, cum ne genera quidem numerari facile queant? quisve etiam, quamvis illi linguae sint decem oraque decem, scriptis consignare?

Integrum igitur annum in templo illustris Christi martyris Procopii commorati, ne supplices divino viri munere prohiberent, vix tandem aliquando iter ad eius monasterium recta contenderunt, cum ordine quadruplici circa feretrum ipsius constitissent. medio enim

ὤμοισιν ἄραντες, οἱά τινα κιβωτὸν ἐκόμιζον, οὐ στάμνον ἔχουσαν ἔνδον ἀγνωμόνων τροφῆς φυλακτήριον, καὶ πλάκας λιθίνας, καὶ τὴν ῥάβδον * . . . μων. τοῦ σώματος· ὁ μόνος δικῖξας ἀρετὴν ἀνωτέρων μώμου παντός, ἀμβλύνας τε φθόνου κέντρα τῇ φυσικῇ γαληνότητι· ὁ θεσμοῖς ἀγάπης ἐξόχως λαμπόμενος· ὁ πίστει μηδὲν ἀμφήριστον κεκτημένῃ μόνος φραξάμενος, καὶ τὰ τῶν ἐναντίων καταβαλὼν ὀχυρώματα· ὁ ἐλπίδι Χριστοῦ τῇ ἐρραγεστάτῃ διὰ βίου θωρακισάμενος, καὶ τὰ τῶν πολεμίων δι' αὐτῆς βέλη κωφὰ πᾶσιν ἐναποδείξας καὶ μάταια· ὁ ποταμὸς τῶν χαρισμάτων τοῦ πνεύματος· ὁ πᾶσαν καρδίαν ἱλαρύνων ταῖς χάρισι· ὁ τοῦ τῆς ἐκκλησίας στερεώματος ἄδυτος ἥλιος· ὁ κόρας μὲν αἱρεσιωτῶν ἀμβλύνας τῇ τῶν δογμάτων λαμπρότητι, ψυχὰς δὲ θεοφιλῶν χειραγωγήσας πρὸς πίστιν ἀμώμητον.

Τὸ τῶν ἀσθενῶν ἰατήριον, τῶν πταιόντων τὸ ἱλαστήριον, δίδου μοι τῶν ἐπικειμένων νοσημάτων ἐλευθερίαν τάχιστα, ἵνα ῥαΐσας φανῶ πάλιν ἱκέτης εὐχάριστος. δίδου μοι τῶν ὑσημέραι προσγινομένων περιστάσεων ἀπολύτρωσιν, ἵνα ταῖς καλλίσταις τῶν πράξεων ἐκδαπανήσας τὸ δύνασθαι, δημιουργὸν ἐπιγράψω τῶν κατορθωμάτων σαφέστατα, ἁμαρτιῶν ἀγνοίας καὶ νεότητος παρὰ θεοῦ τῶν ἐμῶν ἀποκοπὰς αἰτησάμε-

3. Deest unum folium: nec minus in Lipomano, etsi illius interpres velut nulla esset lacuna cuncta connectit. mg. Par.

inter patres loco constituti viri nobiles in humeros sublatum, velut arcam quandam gestabant; in qua non urna erat ingrati populi cibum conservans, non lapideae tabulae, non virga Aaron . . . . . qui virtutem omni reprehensione superiorem ostenderat, innataque tranquillitate invidiae aculeos obtuderat; qui charitatis insignibus eximie claruerat; qui fide, cui nihil ambiguum est, in primis praesteterat, inque ea adversariorum munitiones everterat; qui spe Christi firmissima velut thorace munitus atque protectus, hostium tela prorsus inania stultaque ostenderat; qui donorum spiritus fluvius erat; qui pectus omne quibus affluebat gratiis, exhilararet; in ecclesiae firmamento sol occasum nesciens, semperque lucidus esset: qui haereticorum oculos doctrinae splendore perstrinxerat, piorumque animos ad fidem inculpatam direxerat.

O aegrotantium medice! o peccatorum propitiatio, largire mihi celerem mearum aegritudinum curationem: ut recuperata sanitate, rursum ad te supplex accedam, gratique animi testimonium afferam. libera me a periculis, quae quotidie imminent, ut cum pulcherrimis factis pro virili mea incubuero, illorum te auctorem perspicue agnoscam. ignorantiae ac iuventutis delicta mea divina aboleri clemen-

νος, ὡς πρὶν ἐκείνου τοῦ τῇ σῇ θήκῃ τὸν χάρτην ἀναθεμένου, λαμπρὸν προστάτην τοῦ φοβεροῦ βήματος ἐναπόδειξον· τοῦ καθ' ἡμῶν κακίστου φθόνου τὰ κέντρα παραδόξως ἀμβλύνας, ἀνωτέρους τῆς τῶν βασκαίνων διατήρησον λοίμης· ἵν' ἀπρόσκοπον διὰ σοῦ τὴν τῆς σωτηρίας διανύοντες τρίβον, τὸ ἐπινίκιον τῆς σῆς σεπτῆς ἀριστείας σὺν εὐθυμίᾳ πανηγυρίζωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς ἀεί.

8. *εἰς ἀεί*] *καὶ* Par.

tia exorans, uti quondam illius, qui tuo chartam imposuit loculo, praeclarum te mihi patronum ante iudicis tremendum tribunal ostendito. pessimae contra nos incitatae invidiae tela mira dexteritate detundens, ab invidorum peste tutos integrosque conserva: ut sine offensione praesidio tuo salutis semitam conficientes, venerandi tui certaminis tropaea laetis animis celebremus; in Christo Iesu domino nostro: cui gloria et imperium in saecula saeculorum.

Τῷ αὐτῷ μηνὶ ιβ', τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ τῆς Σιγγριανῆς.

Mensis Martis die 12. sancti patris nostri Theophanis confessoris Singrianae monachi.

Εἰς τό, Κύριε ἐκέκραξα, στίχειρον. ἦχος πλαγ. δ'.

Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ θεόφρον Θεόφανες, θεοφανείας Χριστοῦ κεκλημένος ἐπώνυμος, ζωηφόροις ἴχνεσι τοῖς αὐτοῦ ἠκολούθησας, καὶ τὰ τερπνὰ τοῦ βίου κατέλιπες, ἐνατενίζων τῷ ποθουμένῳ σοι κάλλει, πανάριστε· καὶ ταῖς θείαις νεύσεσι ταῖς πρὸς αὐτὸν ἄριστα θεούμενος καὶ τελεώτατα.

Ὅμοιον.

Πάτερ θεόφρον Θεόφανες ὑπερορίας πικρὰς ἀσθενῶς διακείμενος καρτερῶς ὑπήνεγκας, ἀφειδήσας τοῦ σώματος

1. fort. *τῷ Μαρτίῳ μηνὶ.*

Ad vesperas versiculus. tonus obliquus 4.

O novum miraculum.

Divino sensu praedite pater Theophanes, a Christi nomen sortitus apparitione, eius vivifica pressisti vestigia, ac saeculi reliquisti oblectamenta, in desideratam tibi pulchritudinem animo intendens, o vir optime, divinaque in eam propensione deitatem praeclare ac perfectissime induens.

Similis.

Divino sensu praedite pater Theophanes, molesta exilia cum imbecillo esses corpore fortiter sustinuisti, oblitus corpori parcere ob

ὑπὲρ σεπτῶν εἰκόνων, πανεύφημε· θυμῷ λεόντων ἐξοριζόμενος ὡς κατορχούμενος τὰς βουλὰς ἐμώρανας, καὶ λογισμοὺς ὄντως ματαιόφρονας καὶ νοῦν ἀλάστορα.

Ὅμοιον.

Ὄντως ἀμοιβὰς τῶν πόνων σου τῶν ἀγαθῶν ὁ δοτὴρ δαψιλῶς σοι δεδώρηται, ἀπελαύνειν δαίμονας, θεραπεύειν νοσήματα παρεσχηκώς, τρισμάκαρ, τὴν δύναμιν· κατηξιώθης καὶ τῆς ἀῤῥάστου χαρᾶς ἔνθα χορεύουσι τῶν ἀγγέλων τάγματα, διὰ παντὸς πρόσωπον θεώμενος τοῦ παντοκράτορος.

Κανὼν τοῦ ἁγίου, οὗ ἡ ἀκροστιχίς· Θεοφάνης μέλπει τε τὸν Θεοφάνην.

Ὠιδ. α'. ἦχ. δ'.

Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος.

Θεοῦ τοῦ σαρκὶ φανέντος ἴχνεσιν ἐπηκολούθησας, ἐν εὐσεβείᾳ πάτερ πυρσωθείς, ὡς ἐντεῦθεν τὴν κλῆσιν πλουτεῖν τὴν ἀληθῶς φερώνυμον, ὡς τῇ προνοίᾳ προτετύπωτο.

Ἐθέλχθης ποθεινοτάτῳ ἔρωτι τῷ τοῦ δεσπότου σου κα-

venerandas imagines, vir clarissime; exilio relegatus, velut qui leoninae feritatis viro insultares, consilia fatua ostendisti, vereque stultas cogitationes, ac mentem nequissimam.

Similis.

Vere laborum quos posuisti praemia bonorum tibi dator uberrime donavit, vim praebens fugandi daemones, morbosque curandi, o ter beate. accessit et gaudium nullis verbis explicabile, ubi angelorum agmina choros ducunt, ipseque semper omnipotentis vultum contemplaris.

Canon in S. laudem, cuius initiales strŏph. literae e Graeco hunc sensum reddunt. Theophanes Theophanem modulis canit.

Ode 1. tonus 4.

Maris rubrum pelagus.

Dei qui in carne apparuit vestigia secutus es, pater pietatis luce illustris; ut inde congruam vere nominis appellationem feliciter consecutus sis, pro eo ac providentia praefinitum erat.

Dulcissimo domini tui amore delinitus es, ut saeculi amorem

ταφρονῆσαι πόθου κοσμικοῦ· συγκραθεὶς δὲ τῇ χάριτι βιοτικὴν τερπνότητα οὐδὲν ἡγήσω, παμμακάριστε.

Ὁρμήσας θηριωδῶς ἐδίωξε Λέων ὁ τύραννος τοὺς ἐκλεκτούς, μὴ φέρων ὁρᾶν τιμωμένην εἰκόνα Χριστοῦ. μεθ' ὧν καί σε, Θεόφανες, ὑπερορίᾳ κατεδίκασεν.

Ὠιδ. γ'. Ὁ εἱρμος.

Οὐκ ἐν σοφίᾳ.

Φωτὸς τοῦ θείου πεπλησμένος ὡράθης, Θεόφανες, δι' ἀγάπης συγκραθεὶς τῷ ποθουμένῳ, μακάριε· διόσου τὴν ἔνδοξον μνήμην γεραίρομεν.

Ἀπαγορεύσας τὰ δυσσεβῆ τοῦ Λέοντος δόγματα, τοὺς θεσμοὺς πανευσεβῶς τῆς ἐκκλησίας ἐκράτυνας· διό σε θαύμασι Χριστὸς ἐδόξασε.

Νενευρωμένη τῆς ἐλπίδος καὶ πίστεως, ὅσιε, τῆς σαρκὸς τὸ ἀσθενὲς ψυχὴ στερρότητι ῥώννυσι, θεῷ οἰκειώσασα σῶμα ὁμόδουλον.

Κάθισμα. ἦχ. γ'.

Θείας πίστεως.

Ζῆλον ἔνθεον προσκεκτημένης, δόγμα ἄθεον ἀπεβδελύξω,

contemneres: porro autem gratia imbutus, mundi dulcia nihili fecisti, perquam beatissime.

Ferali modo irruens Leo tyrannus electos persecutus est, non ferens videre Christi imaginem venerationem habere: cum quibus te quoque, o Theophanes, damnavit exilio.

Ode 3. tractus.

Non in sapientia.

Divina plenus luce Theophanes apparuisti, charitatis vi desiderato cohaerens, o beate: eam ob rem gloriosam tuam memoriam veneramur.

Impia Leonis dogmata tibi interdicens, pie admodum confirmasti ecclesiae leges: quamobrem te Christus clarum miraculis effecit.

Roboratus, vir sancte, animus spei, atque fidei firmitate, carnis imbecillitatem roborat; utique conservum corpus deo concilians.

Sessio. tonus 3.

Divina fide.

Divina praeditus aemulatione, impium dogma detestatus es, mul-

καὶ κινδύνοις πολυτρόποις ὠμίλησας, ὑπερορίαις ἀδίκως στελλόμενος καὶ εὐσεβῶς παμμάκαρ τελειούμενος. πάτερ Θεόφανες, Χριστὸν τὸν θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠιδ. δ'.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία.

Ἡ οὐράνιος ἡτοίμασται βασιλεία ὡς ἀθλητῇ σοί, ἔνδοξε· τῆς γὰρ ἐπιγείου χαίρων μετετέθης σκηνῆς, βοῶν τῷ δεσπότῃ· δόξα τῇ δυνάμει σου, κύριε.

Στεφανηφόρος Θεόφανες ἀνεδείχθης. τὸ γὰρ σεπτὸν εἰκόνισμα Χριστοῦ, θεοφόρε μάκαρ, οὐκ ἠρνήσω τιμᾶν· διὸ καὶ ἔκραζες· δόξα τῇ δυνάμει σου, κύριε.

Μιθιστάμενος προστάγματι τοῦ τυράννου τοῦ δυσσεβοῦς ὁ ὅσιος, σαρκὸς ἀσθενείας ὅλως οὐκ ἐφρόντισε, κραυγάζων τῷ κτίσαντι· δόξα τῇ δυνάμει σου, κύριε.

Ἐμεγαλύνθης τοῖς θαύμασι, θεοφόρε. ὁ γὰρ θεὸς ἠμείψατό σε τῆς καρτερίας· ὅθεν καὶ ἰάματα πηγάζεις τοῖς χρῄζουσιν ὥσπερ ἐκ πηγῆς, ἱερώτατε.

tisque ac variis periculis es defunctus, iniuste deportatus exilio, pieque, o beatissime, consummatus. pater Theophanes, Christo deo supplica, ut magna nos misericordia donet.

Ode 4.

Sublimem elatum videns te ecclesia.

Caelorum tibi regnum, vir sancte, paratum est tanquam athletae: terreno enim tabernaculo gaudens translatus es clamans domino, gloria potentiae tuae, domine.

Triumphator Theophanes effectus es. venerandam quippe Christi effigiem non abnuisti colere, deo afflate vir beate; idcirco etiam clamabas, gloria potentiae tuae, domine.

Exilio eiectus vir sanctus impii tyranni decreto, imbecillae carnis nullam prorsus rationem habuit, clamans auctori, gloria potentiae tuae, domine.

Magnificis effulsisti miraculis, vir deo plene: deus namque vicem reddidit sustinentiae; quamobrem etiam velut e fonte sanationum remedia egentibus fundis, vir sacratissime.

Ὠιδ. ε'.

Σὺ κύριέ μου φῶς.

Λόγῳ πανευσεβεῖ ὀρθοδόξως ἐκήρυξεν ὁ ὅσιος Θεοφάνης τὸ τῆς πίστεως δόγμα, τῷ πνεύματι λαμπόμενος.

Πλοῦτον παντοδαπῆ θεοφρόνως διένειμας προστάγματι τοῦ δεσπότου τοῖς πενίᾳ συζῶσιν ἑπόμενος, πανεύφημε.

Ἔχων τὴν ψυχὴν κατ' εἰκόνα τοῦ κτίσαντος, τὴν ἄχραντον τοῦ δεσπότου προσεκύνεις εἰκόνα, τῷ πόθῳ ἀσπαζόμενος.

Ὠιδ. ς'.

Θύσω σοι μετὰ φωνῆς αἰνέσεως, κύριε.

Ἴθυνον πρὸς ἀρετὴν τὸν βίον μου, ὅσιε· τὴν τῆς ἀσκήσεως τρίβον ταῖς εὐχαῖς σου, πάτερ, ἑξομαλίσας, ἣν συντόνως εὐθυπορεῖν με, μάκαρ, ἀξίωσον.

Σωφρόνως σου τὴν ζωὴν διήνυσας, ὅσιε· μετὰ φρονήσεως γὰρ ἔσχες, σὺν ἀνδρείᾳ γὰρ τὴν δικαιοσύνην, καὶ τῷ κύκλῳ τῶν ἀρετῶν ἐφάνης κοσμούμενος.

Εὐκλείας μαρτυρικῆς ἐπέβης, Θεόφανες, τῆς θεομήτορος κόρης καὶ μαρτύρων, πάτερ, τοὺς χαρακτῆρας ὡς τιμήσας, καὶ τοῖς διώκταις ἀντιτασσόμενος.

Ode 5.

Tu domine meum lumen.

Piissima doctrina orthodoxae fidei doctrinam praedicavit sanctus Theophanes, spiritus luce illustratus.

Uberes divitias divino sensu egenis distribuisti, domini praecepto obsecutus, vir clarissime.

Qui ad auctoris imaginem animo conditus esses, intemeratam domini venerabaris imaginem, desiderio exosculans.

Ode 6.

Sacrificabo tibi cum voce laudis, domine.

Dirige ad virtutem vitam meam, vir sancte, religiosae institutionis semitam tuis, pater, precibus complanans; quam roga, vir beate, ut recto tramite concite ac contente percurram.

Sobrie casteque vitam peregisti, vir sancte: quippe cum prudentia, fortitudine, ac iustitia praeditus fuisti, virtutumque choro ornatus eluxisti.

Martyris claritatem Theophanes adeptus es, velut qui dei parentis puellae, martyrumque imagines, o pater, veneratus sis, ac persecutoribus resisteres.

Κοντάκιον. ἦχος β'.

Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν τὴν θείαν ἀποκάλυψιν ἐξῆλθες σπουδῇ ἐκ μέσων τῶν θορύβων, καὶ μονάσας, ὅσιε, εἴληφας ἐνεργείας καὶ προφητείας ἀξίωμα, συμβίου καὶ πλούτου στερούμενος.

Ὁ οἶκος.

Ἐπὶ τῆς γῆς μηδὲν προθυμήσας, ἠκολούθησας χαίρων τῷ καλοῦντί σε Χριστῷ, καὶ τὸν ζυγὸν αὐτοῦ ἔλαβες ἐπὶ τῶν ὤμων τῶν σῶν προθύμως, καὶ ἀνάπαυσιν εὗρες τῇ ψυχῇ σου. ἣν περ κἀμοὶ τῷ πτωχῷ καὶ ῥᾳθύμῳ κατάπεμψον, τῷ λέγοντι, καὶ μηδ' ὅλως ἐκποιοῦντι, ἀλλ' ἔτι σχολάζοντι ἐν τοῖς τοῦ βίου πράγμασι, καὶ θαυμάζοντι πῶς πάντα ἔφυγες, συμβίου καὶ πλούτου στερούμενος.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, τοῦ τῆς Σιγγριανῆς, τοῦ ἐν τῷ μεγάλῳ ἀγρῷ κειμένου.

Οὗτος πατρὸς μὲν ἔφυ Ἰσαάκ, μητρὸς δὲ Θεοδότης. τοῦ δὲ πατρὸς τελευτήσαντος ἐν τῇ ὑπ' αὐτοῦ διεπομένῃ τῶν

Contacium. tonus 2.

Superna quaerens.

Divina e celso revelatione accepta, e mediis turbis festinus excessisti, monachique amplexus institutum, vir sancte, operationis ac prophetiae munus accepisti, uxore carens atque divitiis.

Domus.

Cum in terra nihil cuperes, vocantem Christum gaudens secutus es, eiusque iugum in humeros tuos alacri animo sustulisti, ac requiem animae tuae invenisti. hanc mihi quoque pauperi segnique mitte, qui dicam, nec prorsus efficiam, sed vacem adhuc saeculi curis; mirerque, ut cuncta effugeris, coniuge carens atque divitiis.

Memoria sancti patris nostri Theophanis confessoris Singrianae monachi, qui in magno agro quiescit.

Hic Isaacio patre natus est, matre autem Theodota. patre mortuo, dum Aegeopelagitarum praefecturam gerit, sub matris cura insti-

Αἰγαιοπελαγητῶν ἀρχῇ, ἣν παρὰ τῇ μητρὶ ἀναγόμενος καὶ τρεφόμενος. γενομένου δὲ αὐτοῦ ιβ' ἔτους, ἁρμόζεται γυναικί, καὶ αὕτῃ συνδιάγων ἦν χρόνους ἡ. πλοῦτος δὲ ἦν ἀμφοτέροις πολύς. συμβούλῳ δέ τινι χρησάμενος ἰδίῳ οἰκέτῃ, πόθον ἔσχε πολὺν τὸν τῶν μοναστῶν ὑπελθεῖν βίον. τῆς δὲ μητρὸς τὸν βίον ἀπολιπούσης καὶ πλοῦτον ἄπειρον αὐτῷ καταλελοιπυίας, ὁ κηδεστὴς αὐτοῦ πληρῶσαι τὰ τῷ γάμῳ νενομισμένα τοῦτον ἐξεβιάζετο. καὶ δὴ τῆς κυρίας ἡμέρας καταλαβούσης, καὶ παστὰς ἐπήγνυτο, καὶ ὑμέναιος ᾖδετο, καὶ τὰ λοιπὰ ἐτελεῖτο. ἐπεὶ δὲ ὁ καιρὸς αὐτὸν τὸν μακάριον καὶ τὴν σύνευνον καταμόνας γενέσθαι ἐκάλει, τὰ τῶν λογισμῶν αὐτοῦ κρύφια ἐφανέρου τῇ νεανίδι, ἥ τις καὶ συγκατέθετο· καὶ εἴ τι δ' ἂν καὶ βούληται αὐτὸς πράττειν, καὶ αὐτὴ τοῦτο μετὰ προθυμίας διεβεβαιοῦτο ποιεῖν. ὅπερ ἀκούσας, ηὐχαρίστησε τῷ Θεῷ. ἔκ τοτε οὖν ἐποίουν ἀμφότεροι τὰς ἡμερινὰς καὶ νυκτερινὰς εὐχάς. ταῦτα μαθὼν Λέων ὁ δυσσεβὴς βασιλεὺς καὶ ὁ τούτου κηδεστής, διεκώλυε τοὺς νέους τοῦ σκοποῦ. ἐξαπέστειλε δὲ αὐτὸν ὁ βασιλεὺς πρὸς τὸ τῆς Κυζίκου κάστρον συγχειρήσοντα· ἤδη γὰρ τότε ἐκτίζετο· καὶ ἀπελθὼν ὁ τίμιος παῖς ἐξ ἰδίων ἀναλωμάτων τὴν τοῦ κρατοῦντος δουλείαν πεποίηκε. τῷ δὲ εἰκοστῷ πρώτῳ χρόνῳ τῆς αὐτοῦ ἡλικίας, ὅ τε θηριώνυμος βασιλεὺς καὶ ὁ πενθερὸς αὐτοῦ καταστρέφουσι τὸν βίον· καὶ λοιπὸν ἐν ἐλευθερίᾳ οὐ μόνον

22. *Θυριώνυμος* Par.

tuitur, ac educatur. annorum factus duodecim, foeminae desponsae iunctus, cum ea annis octo vitam socialem agit. erant ambo opibus locupletissimi. porro famuli cuiusdam domestici consiliis inductus, ingenti desiderio tenebatur amplectendi status monastici. matre vivis exempta, immensisque filio relictis divitiis, cogebat socer ut nuptiarum legitima impleret, uxoremque filiam duceret. ac vero cum constituta dies advenisset, ponitur thalamus, hymenaeus occinitur, reliquaque nuptiarum solennia peraguntur. urgebat tempus, iamque vir beatus cum coniuge thalami secreta erat petiturus. tum illo animi arcanum detegente, puella lubens assentitur, certoque affirmat, si quid ille velit, se quoque prompte facturam. his iuvenis auditis, deo gratias agit: exindeque ambo diu noctuque precibus assidui erant. re cognita, Leo impius imperator, ac viri socer, a proposito adolescentes prohibuerunt. misit namque imperator Cyzicum, eam in urbem suam operam collaturum: iam enim tum exstruebatur. abiens vero praeclarus iuvenis, suis ipse sumptibus, quod imperatoris iussu urbi praestandum erat, effecit. aetatis porro illius anno vigesimo primo,

ὁ νέος, ἀλλὰ καὶ ἡ οἰκουμένη γίνεται, Εἰρήνης τὰ σκῆπτρα διαδεξαμένης. ἐπεὶ δὲ κατὰ νοῦν πάντα αὐτῷ γέγονε, τοῖς ἐνδεέσι καὶ πτωχοῖς τὴν οὐσίαν αὐτοῦ διεσκόρπισε, καὶ τοὺς οἰκείους ἐλευθερίᾳ τετίμηκε· τῇ δὲ τιμίᾳ αὐτοῦ συζύγῳ χρήματα πολλὰ παρασχόμενος, ἐν τῇ τοῦ Πρίγκιπος μονῇ ἀπέκειρεν, Εἰρήνην αὐτὴν ἀντὶ Μεγάλους ὀνομάσας. αὐτὸς δὲ τῷ κυρίῳ ἑαυτὸν προσφέρων ἱερουργεῖ ἐν τῇ ἐν τῷ τῶν Σιγγριανιαίων ὄρει κειμένῃ μόνῃ, Πολυχρονίᾳ λεγομένῃ. μοναχοῦ δὲ αὐτοῦ γενομένου, οὐδ' ὅλως τὸ ἄρχειν κατεδέξατο· ἀλλ' ἐν τῇ κέλλῃ καθεζόμενος, ἐξ οἰκείων χειρῶν τὴν τροφὴν ἐπορίζετο, καλλιγραφῶν ἑξαετῆ χρόνον διηνεκῶς ἐν τῇ καλουμένῃ νήσῳ τῆς Καλωνύμου, ἐν ᾗ συνεστήσατο αὐτὸς μονῇ· καὶ πάλιν ἔρχεται ἐν τῷ τῆς Σιγγριανῆς ὄρει. τῷ δὲ πεντηκοστῷ τῆς ζωῆς αὐτοῦ χρόνῳ, ἀσθενείᾳ τινὶ παραδίδοται, ἥ τις ἦν λιθίασις κύστεως καὶ νεφριτικῆς ἀκολουθίας σύμπτωμα. ἐκ τούτου λοιπὸν τοῦ χαλεποῦ νοσήματος ἔμεινε διὰ παντὸς τοῦ βίου κλινήρης καὶ ἀκίνητος. μετὰ ταῦτα ἐδέξατο τὰ σκῆπτρα τῆς βασιλείας Λέων ὁ Ἀρμένιος. ἀλλ' οἷα τούτῳ συμβέβηκεν, οὐδεὶς ἀγνοεῖ. τέως δὲ ὁ ἀνόητος καὶ ἀνόσιος πέμπει πρὸς τὸν τοῦ θεοῦ ἄνθρωπον, ἐλθέ, λέγων, εὔξαι ὑπὲρ ἡμῶν, ὅτι κατὰ βαρβάρων ἀπέρχομαι. αὐτὸς δὲ διὰ τὸ ἀκίνητος εἶναι, ἐκ τῆς ἁμάξης μετετέθη εἰς πλοῖον, καὶ ἦχθη πρὸς

cum Leo imperator, tum viri socer vitam commutant, deincepsque nedum iuvenis, sed et orbis ipse liber agit, Irene augusta sceptra postmodum moderante. cum itaque ex voto cuncta successissent, egenis ac pauperibus substantiam distribuit, servosque libertate donavit. nobilissimae autem coniugi elargitus multas pecunias, in Principis ita dicto monasterio detondit, Megalus nomine in Irenen illi commutato. is vero se domino munus consecrat in monasterio, quod in Singrianorum monte situm Polychronii nuncupationem habet. factus monachus, praeesse nullo modo sustinuit, sed in cellula sedens, manuum labore victum parabat, scribendis codicibus sese impendens annos sex continuos in insula dicta Calonymus, in eo monasterio quod exstruxerat: iterumque revertitur ad Singrianae montem. aetatis autem anno quinquagesimo aegritudini corpusculum traditur, nempe vesica petrescente, ac renum molesto illi dolore. ex illo deinceps morbo afflicta valetudine, totam vitam lecto decumbens egit, nec sibi motum imperare valens. postea Leo Armenius imperii sceptra capessit: verum quid illi acciderit, nemo nescit. hactenus vero homo demens scelestusque ad dei virum mittit, iubetque veniat, ac sibi comprecetur, quod adversus hostes expeditionem suscepturus sit. ille quod aegro corpore sese movere non posset, e plaustro in scapham transfer-

τὴν βασιλεύουσαν· καὶ τῆς μὲν δυσειδοῦς ὄψεως τοῦ τυράννου οὐκ ἔτυχε· πλὴν μηνύσει ἐχρήσατο πρὸς αὐτόν· εἰ κατανεύσεις λέγων τῇ παρακλήσει μου, καὶ σοὶ καὶ τῇ μονῇ σου ἀγαθὰ παρέξω· εἰ δὲ μή γε, ξύλῳ ἀγχόνης σε παραδειγματίσων, καὶ τῶν λοιπῶν εἰς φόβον σε προσθήσω. ὁ δὲ ὁμολογητής· τῶν δωρεῶν σου ἔφη, μὴ κενώσῃς τοὺς θησαυρούς· τὸ δὲ ἀγχόνης ξύλον, ἤ καὶ τὸ πῦρ εὐτρέπισον σήμερον· τοῦτο γὰρ ἐφίεμαι διὰ τὴν τοῦ Χριστοῦ μου ἀγάπην. ταῦτα ὁ ἀναιδὴς ἀκούσας, παρέδωκεν αὐτὸν Ἰωάννῃ τῷ μάντει περὶ λόγους αὐχοῦντι καὶ τὸ μῖσος τῶν Εἰκονομάχων ἐμπεπλησμένῳ, στρεβλότητι ἀντεπεκκλῖναι αὐτὸν ἡγούμενος. ὃς παραληφθεὶς ἐν τῇ Ὁρμίδι μονῇ Σεργίου καὶ Βάκχου τῇ παρακειμένῃ τῷ παλατίῳ, καὶ πρὸς λόγων ἅμιλλαν τῷ μάντει συνελθών, καὶ τοῦτον ἡττήσας, καὶ τῷ περιόντι τῆς σοφίας καταβροντήσας, καὶ τὸ ἀμετάθετον ἐνδειξάμενος, τοῦτον ἠσχυμένον εἰς τὸν μανιώδη τύραννον ἀπέπεμψεν. ἀγροίκου μᾶλλον ἢ ῥήτορος δύξαν ὁ δειλαιος ἀπηνέγκατο. ὃς ἀνελθὼν πρὸς αὐτόν, κρεῖσσον ἔφη βασιλεῦ κηρῷ μαλάξαι σίδηρον, ἢ πεῖσαι τὸν ἄνδρα μεταθεῖναι πρὸς τὸ σοὶ ἑφετόν. τούτων ἐπακούσας ὁ τύραννος, μετάγει τοῦτον εἰς τὰ Ἐλευθερίου ἀνάκτορα, καὶ κατακλείει αὐτὸν ἔν τινι οἰκήματι σκοτεινοτάτῳ, καταστήσας καὶ φρουροὺς ὡς μηδὲ διακονεῖσθαι αὐτὸν παρά

4. ἀγχόνῃ Par. 8. τὴν διὰ τοῦ Par.

tur, inque urbem regiam vehitur: nec tamen tyranno in conspectum venire concessum; sed ministro ad eum misso, si, inquit, hortanti mihi annueris, cum tibi, tum monasterio tuo bene faciam; sin autem, probro publico e furca laqueo suspendam, ac reliquis in terrorem exponam. tum confessor, noli, inquit, tuorum munerum thesauros effundere: patibuli vero lignum, sive etiam ignem expedi hodie: id enim qua dilectione in Christum feror, desiderio cupio. his auditis, impudens tyrannus Ioanni ariolo tradidit, homini eruditi nomen ambienti, quique Iconomachorum odio in fideles plenus esset, fore ratus ut is obliquitate in adversum viri constantiam flecteret. assumptus ille in Hormidae Sergii ac Bacchi monasterio quod palatio adiacet, ac disputatione cum ariolo congressus, eoque victo, ac eximiae sapientiae vi perculso, praeclareque constantia prodita, vir sanctus confusum eum ad insanum tyrannum ablegat; miserque rustici magis, quam oratoris sibi nomen ascivit. ascendens itaque ad imperatorem, facilius, inquit, ferrum cera emollias, quam viri animum in id, quod tibi collibitum est, transferas. his auditis, tyrannus ad Eleutherii eum palatia traducit, inque tenebricosa quadam aedicula concludit, datis etiam custodibus, ut ne quis etiam affecto corpori ministerium

τινος. οὕτω διετῆ χρόνον τελέσας θλίψεσι καὶ στενοχωρίαις πιεζόμενος, κατήσχυνε κἂν τούτῳ τὸν τύραννον. ἐπεὶ δὲ καθ' ἑκάστην ὑποκύψαι τῇ αὐτοῦ βουλῇ ἠναγκάζετο, μὴ εἰξας, ἐξορίζεται ἐν τῇ τῆς Σαμοθράκης νήσῳ. ἡ δὲ πρὸς τὴν ὑπερορίαν ἀπαγωγὴ ταχεῖαν ἔσχε τὴν ἀπὸ τοῦ σώματος ἐξαγωγήν. ἡμέραις γὰρ τρισὶ πρὸς ταῖς εἴκοσι τὴν ἐν τῇ νήσῳ ζωὴν διανύσας ἐκεῖ κατεπαύσατο, ἀπελθὼν ἐν κυρίῳ ὁσίως καὶ εἰρηνικῶς. τί δὲ χρὴ λέγειν ὁπόσης μὲν εὐλογίας τὸν τύπον ἐνέπλησεν, καὶ ὁπόσων δὲ ἰατρείων ὁ χῶρος ἐκεῖνος ηὐπόρησεν;

Ὠιδ. ζ.

Ἐν τῇ καμίνῳ.

Τὸ κατ' εἰκόνα σὺ κεκτημένος, καὶ ὁμοίωσιν βίῳ λαμπροτάτῳ, πάτερ, προειληφώς, δι' ἀμφοτέρων ὑπερέλαμψας· εὐλογημένος εἶ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, κύριε.

Ὁμολογίας σου στεφάνῳ, πάτερ, διέπρεψας, ἔργῳ διήλεγξας λόγους τῶν δυσσεβῶν, τοὺς πιστοὺς δὲ ἐβεβαίωσας· εὐλογημένος εἶ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, κύριε.

Τῷ στερροτάτῳ ἐν προθυμίᾳ τὰς τοῦ σώματος, πάτερ,

13. ὁμοίωσι Par.

impenderet. in hunc modum exacto biennio, afflictus, ac angustia confectus, vel sic tyranno pudorem incussit. cumque quotidie vis adhiberetur, ut illius consiliis animum accommodaret, nec is quicquam e mentis firmitate remitteret, exilio relegatur in Samothracen insulam. eam in exilium abductionem brevi secuta eductio e corpore. post enim dies tres supra viginti, consummato ea in insula vitae curriculo, illic requievit, sancte ac pacate ad dominum commigrans. quid autem refert dicere quanta locum benedictione impleverit, ac quanta praedium sanationum munera per illum consecutum sit?

Ode 7.

In camino.

Ut ad imaginem esses adeptus, vitaque clarissima similitudinem pater consecutus, utroque eximie fulsisti; clamans, benedictus es domine in templo gloriae tuae.

Confessionis tuae pater corona claruisti; opere factisque impiorum verba confutasti, fideles vero confirmasti; clamans, benedictus es domine in templo gloriae tuae.

Firmissimo alacrique animi proposito corporis dolores pater for-

ἀλγηδόνας ἤνεγκας καρτερῶς, εὐχάριστον τῷ δεσπότῃ σου· εὐλογημένος εἰ ἐν τῷ ναῷ βοῶν τῆς δόξης σου, κύριε.

Ὠιδ. η'.

Χεῖρας ἐκπετάσας Δανιήλ.

Θεώμενος, μάκαρ, τὸ στερρὸν τῆς σῆς ἐνστάσεως Λέων ὁ τύραννος, ὑπερορίᾳ σε ἔκρινε πικροτάτῃ ὁ παμπόνηρος· ἐν εὐφροσύνῃ δὲ βοῶν ταύτην ὑπήνεγκας, εὐλογεῖτε πάντα τὰ ἔργα τοῦ κυρίου τὸν κύριον.

Ἐπὶ τὸ πρωτότυπον εἰδὼς τὴν τῆς εἰκόνος τιμὴν διαβιβάζεσθαι, ἐπὶ τὸ στάδιον ἔδραμες ἀθλητὴς ὡς ἐννομώτατος· καὶ νικητὴς ἀναδειχθεὶς στέφανον εἴληφας ἀναμέλπων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον.

Οὐράνιον ἀντὶ τῆς ἐν γῇ σκηνὴν σοι δέδωκε πάντων κύριος· ἀντὶ στενώσεως εὗρες δὲ πλατυσμὸν ἀγαλλιάσεως, ἐν παραδείσῳ τρυφῆς μετὰ μαρτύρων βοῶν· εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Φωτὶ ἐλάμφθης νοητῷ καὶ θείῳ πνεύματι, μάκαρ Θεόφανες, ὅθεν ἰάματα βρύεις [γὰρ] τοῖς ἐν πίστει σοι προστρέχουσι, καὶ τὴν ἁγίαν σου σορὸν πόθῳ γεραίρουσι καὶ βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον.

titer pertulisti, deo gratias agens; clamans, benedictus es domine in templo gloriae tuae.

Ode 8.

Manibus expansis Daniel.

Videns, vir beate, Leo tyrannus firmo te proposito illi obniti gravissimo nequissimus damnavit exilio: tu vero laetus pertulisti, clamans, benedicite omnia opera domini dominum.

Cum intelligeres honorem imaginis ad exemplar transire, ad stadium ut quam legitimus athleta cucurristi, victorque acclamatus coronam accepisti, dulcius concinens, omnia opera laudate dominum.

Caeleste tibi pro eo quod in terra est tabernaculum universorum dominus contulit: arctaeque custodiae loco latitudinem exultationis in paradiso voluptatis cum martyribus invenisti, clamans, benedicite omnia opera domini dominum.

Spiritali luce illustratus es, ac divino spiritu perfusus, vir beate Theophanes: indeque sanitates scaturis fidelibus ad te confugientibus, tuumque sanctum loculum amore venerantibus, ac clamantibus, omnia opera laudate dominum.

Ὠιδ. θ'.

Λίθος ἀχειρότμητος.

Ἅπαντα τὸν βίον σκορπίσας τοῖς δεομένοις, θεοφόρε, τὴν δικαιοσύνην σοφῶς ἀντεκομίζου σοι ἀνατέλλουσαν, ἀντὶ φθαρτῶν δρεπόμενος τὰ δι' αἰῶνος ἀνατέλλοντα.

Νόσους θεραπεύεις, παμμάκαρ, τοῦ παρακλήτου τῇ δυνάμει· δαίμονας σαφῶς ἀπελαύνεις τῇ ἐνεργείᾳ τούτου, πανόλβιε, διὸ πιστοὶ θεώμενοί σε, θεοφόρε, μακαρίζομεν.

Ἡ σὴ φωτοφόρος, θεόφρον, τῆς μεταστάσεως ἡμέρα πάντας προσκαλεῖται τοὺς πιστοὺς πρὸς μετουσίαν τοῦ ἁγιάσματος· ἥνπερ καὶ νῦν γηθόμενοι ἐπιτελοῦμεν, ἱερώτατε.

Νέμοις τὴν σὴν ἄφθονον χάριν τῷ τῶν ἐπαίνων σου τοὺς λόγους πλέξαντι, θεόφρον, προθύμως· ὁμότροπόν σοι ὥσπερ ὁμώνυμον τοῦτον δεικνὺς πρεσβείαις ταῖς εὐπροσδέκτοις, ἱερώτατε.

Ode 9.

Lapis sine manu praecisus.

Omni substantia tua in egenos distributa, vir divino sensu praedite, iustitiam palam tibi orientem illius praemio retulisti: pro iis quae sunt corruptilia, ea decerpens quae in saeculum virescunt.

Morbos curas, vir beatissime, paracleti potentia, daemonesque palam illius vi abigis, vir felicissime: idcirco nos fideles te contuentes beatum praedicamus.

Lucida, divino sensu praedite, tuae migrationis dies fideles omnes invitat, ut sanctificatione participentur: quam et nunc gaudentes peragimus, vir sacratissime.

Tribuas quaeso uberem tuam gratiam illi, qui tuarum laudum carmen alacri animo texuit: iisdemque tecum moribus, uti et eodem censetur nomine, deo gratis precibus tuis facito, vir sacratissime.

ΘΕΟΦΑΝΟΥΣ

ΧΡΟΝΟΓΡΑΦΙΑ.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΦΑΝΟΥΣ

ΗΓΟΥΜΕΝΟΥ ΤΟΥ ΑΓΡΟΥ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΧΡΟΝΟΓΡΑΦΙΑ ΕΤΩΝ ΦΚΗ,

ΑΡΧΟΜΕΝΗ ΑΠΟ ΠΡΩΤΟΥ ΕΤΟΥΣ ΔΙΟΚΛΗΤΙΑΝΟΥ ΕΩΣ ΔΕΥΤΕΡΟΥ ΕΤΟΥΣ ΜΙΧΑΗΛ ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ ΤΙΟΥ ΑΥΤΟΥ· ΤΟΥΤ' ΕΣΤΙΝ ΑΠΟ ,ϛψοζ' ΕΤΟΥΣ ΤΟΥ ΚΟΣΜΟΥ ΕΩΣ ΕΤΟΥΣ ,ϛτέ' ΚΑΤΑ ΤΟΥΣ ΑΛΕΞΑΝΔΡΕΙΣ, ΚΑΤΑ ΔΕ ΡΩΜΑΙΟΥΣ ,ϛτκα'.

S. PATRIS NOSTRI

THEOPHANIS

ABBATIS AGRI ATQUE CONFESSORIS

CHRONOGRAPHIA

ANNORUM ΙϽXXVIII,

AB ANNO DIOCLETIANI PRIMO AD MICHAELIS ET THEOPHYLACTI EIUS F. ANNUM SECUNDUM: ID EST, AB ANNO MUNDI 5777 AD ANNUM SECUNDUM ALEXANDRINOS 6305, SECUNDUM ROMANOS VERO 6321.

ΠΡΟΟΙΜΙΟΝ ΤΗΣ ΧΡΟΝΟΓΡΑΦΙΑΣ.

Ὁ μὲν μακαριώτατος ἄββας Γεώργιος, ὁ καὶ Σύγκελλος γε- Par. p. 1 Ven. p. 1

1. τοῦ ἐν ἁγ. πατρ. ἡμ. om. A, in quo legitur: Θεοφάνους ἁμαρτωλοῦ μοναχοῦ ἡγουμένου τοῦ Ἀγροῦ καὶ ὁμολογητοῦ χρον. κ. τ. λ. 3. καὶ ἡγουμένου a b c, ἁγίου ἡγ. d. 6. Θεοφίλου a g. τοῦ υἱοῦ (om. αὐτοῦ) a e. 7. τοῦτ' ἔστιν ἀπὸ om. a e. ἕως ,ϛτέ' ἔτους b, ἕως τοῦ κόσμου ἔτους ,ϛτέ' e. 8. ,ϛτκα'] ,ϛτκ' A. 18. Προοίμ. τ. χρον. om. A. 20. μακάριος A, μακάριος τὰ a e. καὶ add. ex A a b c e f g.

PROOEMIUM CHRONOGRAPHIAE.

Sanctissimi Cpoleos patriarchae Tarasii Georgius abbas quondam

P. 2 γονὼς Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινου-
πόλεως, ἐλλόγιμος ἀνὴρ καὶ πολυμαθέστατος ὑπάρχων, πολ-
λούς τε χρονργράφους καὶ ἱστοριογράφους ἀναγνούς, καὶ
ἀκριβῶς τούτους διεξερευνησάμενος, σύντομον χρονογραφίαν
ἀπὸ Ἀδὰμ μέχρι Διοκλητιανοῦ τοῦ βασιλέως καὶ διώκτου
τῶν Χριστιανῶν ἀκριβῶς συνεγράψατο, τούς τε χρόνους ἐν
B πολλῇ ἐξετάσει ἀκριβολογησάμενος, καὶ τὰς τούτων διαφω-
νίας συμβιβάσας, καὶ ἐπιδιορθωσάμενος καὶ συστήσας, ὡς
οὐδεὶς ἄλλος τῶν πρὸ αὐτοῦ, τάς τε τῶν ἀρχαίων βασιλέων
V. 2 παντὸς ἔθνους πολιτείας τε καὶ τοὺς χρόνους ἀναγραψάμε-
νος, καὶ κατὰ τὸ ἐφικτὸν αὐτῷ τοὺς ἀρχιερεῖς τῶν μεγάλων
καὶ οἰκουμενικῶν θρόνων, Ῥώμης τε, φημί, καὶ Κωνστα-
C τινουπόλεως, Ἀλεξανδρείας τε καὶ Ἀντιοχείας καὶ Ἱεροσολύ-
μων, τούς τε ὀρθοδόξως τὴν ἐκκλησίαν ποιμάναντας καὶ τοὺς
ἐν αἱρέσει λῃστρικῶς ἄρξαντας, καὶ τοὺς τούτων χρόνους
ἀκριβῶς ἐνέταξεν. ἐπεὶ δὲ τὸ τέλος τοῦ βίου τοῦτον κατέλα-
βεν, καὶ εἰς πέρας ἀγαγεῖν τὸν ἑαυτοῦ σκοπὸν οὐκ ἴσχυσεν,
ἀλλά, καθὼς προέφημεν, μέχρι Διοκλητιανοῦ συγγραψάμε-
νος, τὸν τῇδε βίον κατέλυσεν, καὶ πρὸς κύριον ἐξεδήμησεν
D ἐν ὀρθοδόξῳ πίστει, ἡμῖν, ὡς γνησίοις φίλοις, τήν τε βίβλον

2. ὑπάρχων add. ex omnibus codd. praeter g. πολλούς τε O praeter g, ἄλλους τε vulg. 4. διερευνησάμενος A. 5. βασιλέως Ῥωμαίων a b e. 16. ἀνέταξεν f. τοῦτον om. A. 17. σκοπὸν A a f, κόπον rell. vulg. 18. συγγραψάμενος A a f, ἀναγρ. rell. vulg. 19. κατέλιπεν A.

Syncellus, vir eximius et eruditissimus, multis chronographorum et historicorum libris evolutis, et non vulgari diligentia examinatis, compendiariam ab Adamo ad imperatoris et Christianorum persequutoris Diocletiani tempora chronographiam scripsit; discussisque studiose temporum rationibus ad invicem comparavit, emendavit, ac, ut nullus ante eius aetatem, solertissime composuit: priscorum insuper regum et nationum universarum statu et regimine annotato, singulorumque, quantum licuit, observatis aetatibus, supremarum et universalium sedium, Romae, dico, et Cpolis, Alexandriae, Antiochiae, et Hierosolymorum, sive qui sanis dogmatibus, ceu pabulis, ecclesiam aluerunt, sive qui per vim et latronum more principatu arrepto, haeresum pravitate gregem infecerunt, pontifices enumeravit, et eorum tempora et annos egregio ordine digessit. enimvero cum vitae termino praereptus, ad propositum finem non potuerit consilium suum perducere, sed, ut praemonuimus, scriptis solummodo quae Diocletiani attingunt aetatem, vitam hanc mortalem deseruit, et cum recta fide ad dominum profectus, nobis velut sincerioribus amicis, quod fuerat molitus, opus imperfectum simul reliquit, et, ut quae

ἣν συνέταξε ἀτελῆ καταλέλοιπεν καὶ ἀφορμὰς παρέσχεν τὰ ἐλλείποντα ἀναπληρῶσαι. ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀμάθειαν οὐκ ἀγνοοῦντες καὶ τὸ στενὸν τοῦ λόγου, παρῃτούμεθα τοῦτο ποιῆσαι, ὡς ὑπὲρ ἡμᾶς τὴν ἐγχείρησιν οὖσαν. αὐτὸς δὲ πολλὰ παρακαλέσας ἡμᾶς μὴ ὀκνῆσαι καὶ ἀτέλεστον καταλιπεῖν τὸ P. 3
ἔργον, ἐβιάσατο ἐπὶ τοῦτο ἐλθεῖν. διὸ καὶ ἀναγκασθέντες διὰ τὴν τούτου ὑπακοὴν εἰς τὰ ὑπὲρ ἡμᾶς ἐγχειρήσαντες, κόπον οὐ τὸν τυχόντα κατεβαλόμεθα. πολλὰς γὰρ βίβλους καὶ ἡμεῖς ἐκζητήσαντες κατὰ τὸ δυνατὸν ἡμῖν καὶ ἐρευνήσαντες, τόδε χρονογραφεῖον ἀπὸ Διοκλητιανοῦ μέχρι τῆς βασιλείας Μιχαὴλ καὶ Θεοφυλάκτου τοῦ υἱοῦ αὐτοῦ, τάς τε βασιλείας καὶ τοὺς B
πατριάρχας, καὶ τὰς τούτων πράξεις σὺν τοῖς χρόνοις κατὰ τὸ δυνατὸν ἡμῖν συνεγραψάμεθα, οὐδὲν ἀφ' ἑαυτῶν συντάξαντες, ἀλλὰ ἐκ τῶν ἀρχαίων ἱστοριογράφων τε καὶ λογογράφων ἀναλεξάμενοι, ἐν τοῖς ἰδίοις τόποις τετάχαμεν ἑκάστου C
χρόνου τὰς πράξεις ἀσυγχύτως κατατάττοντες· ἵνα εἰδέναι ἔχωσιν οἱ ἀναγινώσκοντες ἐν ποίῳ χρόνῳ ἑκάστου βασιλέως ποία πρᾶξις γέγονεν, εἴτε πολεμική, εἴτε ἐκκλησιαστική, εἴτε πολιτική, εἴτε δημώδης, εἴτέ τις ἑτέρα· οὐ γὰρ μικρὰν ὠφέλειαν, ὡς

1. ἀτελῆ om. A a. 2. ἀμαθίαν A. 4. πολλὰ παρακαλέσας ἡμᾶς A, παρ. ἡμ. πολλὰ vulg. 6. τούτῳ f. καὶ add. ex A. 9. κατὰ τ. δυν. ἡμ. καὶ A, καὶ κ. τ. δυν. ἡμῖν vulg. 10. χρονογράφιον A b c f. 11. τοῦ om. b. 13. ἀκριβῶς συνεγρ. a. 17. χρόνῳ A, χρόνων vulg. 17. ποία πρᾶξις A, ποῖα πράξεις vulg. 18. εἴτε ubique ex A rescripsi pro vulg. ἤτε.

desiderantur absolveremus praebuit argumentum. nostra vero imperitia sermonisque inopia non ignorata, onus, cui vires nostrae forent impares, sustinere detrectabamus. ille contra plura hortatus, ut torpore omni excusso imperfectum opus non despiceremus, dedit animum, et ad illud capessendum manibus, et perficiendum coegit. quocirca eius monitis morem gerere compulsi, molem robore nostro longe graviorem subire, et pene dicam immensum laborem exantlare suscepimus. multis siquidem voluminibus diligentius exquisitis, et, quantum facultas et ingenium dedit, examinatis, praesentem chronographiam a Diocletiani temporibus ad Michaelis et Theophylacti eius filii imperium, reges insuper et patriarchas, necnon eorum gesta et aetates, qua par fuit sedulitate, ex proprio penu nil depromentes aut conferentes, in unum congessimus: quin potius selectis ex veteribus historicis vel rhetoribus plerisque, singulorum acta per annos et tempora propriis quibusque locis pulchro ordine cuncta disposuimus: ut quoto quoque anno rem gestam vel facinus editum, sive in bello, sive in ecclesia, sive in civili administratione, sive in populari statu, sive qualibet alia ratione commendandum, lector in promptu habeat et in propatulo. haud enim vulgare est, me qui-

οἶμαι, καρποῦται ὁ τῶν ἀρχαίων τὰς πράξεις ἀναγινώσκων. εἴ τις δέ τι ἐν τούτῳ τῷ πονήματι ἡμῶν ὠνησιφόρον εὕροι, D τὴν πρέπουσαν τῷ θεῷ εὐχαριστίαν ἀποδώσει, καὶ ἡμῖν τοῖς ἀμαθέσιν καὶ ἁμαρτωλοῖς διὰ τὸν κύριον ὑπερεύξεται· καὶ εἴ τι ἐλλεῖπον εὕροι, τῇ ἀμαθείᾳ ἡμῶν τοῦτο λογίσεται, καὶ τῇ ἀργίᾳ τοῦ χαμερποῦς νοὸς ἡμῶν, καὶ συγγνώσεται ἡμῖν διὰ τὸν κύριον. φίλον γὰρ τῷ θεῷ τὸ κατὰ δύναμιν.

1. τῶν ἀρχ. τὰς πρ. A, τὰς ἀρχ. πράξεις vulg. 2. εἴ τις δέ τι ἐν τούτῳ τῷ πον. A, εἴ τι δὲ ἐν τούτῳ πον. vulg. 3. τοῖς add. ex A a f. ἀποδώσῃ — ὑπερεύξηται A. 5. λογίσηται A. 7. τῷ om. A a f.

dem iudice, eorum qui veterum gesta evolvunt, emolumentum. si quis autem ex eo quem aggredimur labore fructum aliquem decerpat, debitas deo grates referet; nobisque licet ineruditis et peccatoribus a domino bene precabitur: si quid deesse comperiat, imperitiae et abiecti nostri ingenii tarditati adscribat, et ex domini charitate condonet. id enim deo acceptum opus, quod e facultate nostra proficiscitur.

ΧΡΟΝΟΓΡΑΦΙΑ

ΑΠΟ ΔΙΟΚΛΗΤΙΑΝΟΥ ΕΩΣ ΜΙΧΑΗΛ

ΚΑΙ ΘΕΟΦΥΛΑΚΤΟΥ ΤΟΥ ΥΙΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΩΝ.

CHRONOGRAPHIA

A DIOCLETIANO AD MICHAELEM

ET THEOPHYLACTUM EIUS FILIUM IMPP.

Κόσμου ἔτος ,ψοη'. τῆς θείας σαρκώσεως ,σωη'. P. 4
Ῥωμαίων βασιλέως Διοκλητιανοῦ ἔτος α'. V. 3
Περσῶν βασιλέως Οὐαράχου ἔτος ιε'.
Ῥώμης ἐπισκόπου Γαΐου ἔτος ζ'.
Ἱεροσολύμων ἐπισκόπου Ὑμεναίου ἔτος ιγ'.
Ἀλεξανδρείας ἐπισκόπου Θεωνᾶ ἔτος ια'.
Ἀντιοχείας ἐπισκόπου Τυράννου ἔτος β'.

9. Persarum regis nomen *Οὐαράχης* scribitur in A, in ceteris omnibus *Οὐαραράχης*, in ed. Par. *Ἀραρευχής*. apud Syncellum idem modo *Οὐράκης* audit (p. 678, 13); modo *Οὐραράκης* (p. 722, 3), Agathias autem p. 260, 11. hunc regem et filium eius, qui in omnibus Theophanis codicibus infra *Οὐαράνης* nominatur, uno eodemque nomine *Οὐαραράνης* nuncupat.

Annus mundi 5777. divinae incarnationis 277.
Romanorum imperatoris Diocletiani a. 1.
Persarum regis Varachis a. 15.
Romae episcopi Caii a. 7.
Hierosolymorum episcopi Hymenaei a. 13.
Alexandriae episcopi Theonae a. 11.
Antiochiae episcopi Tyranni a. 2.

A.M. 5780 Περσῶν βασιλέως Οὐαράνου ἔτος α'.

Τούτῳ τῷ ἔτει Διοκλητιανὸς Μαξιμιανὸν τὸν Ἐρκού-
B λιον κοινωνὸν ἀνεδείξατο τῆς αὐτοῦ βασιλείας τῷ τετάρτῳ αὐτοῦ χρόνῳ.

A.M. 5781 Περσῶν βασιλέως Νάρσεως ἔτος α'.

A.M. 5782 Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκού-
C λιος Ὀβούσιριν καὶ Κόπτων πόλεις ἐν Θήβαις τῆς Αἰγύπτου εἰς ἔδαφος κατέσκαψαν ἀποστατησάσας τῆς Ῥωμαίων ἀρχῆς.

A.M. 5785 Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἐρκού-
D λιος καίσαρας ἐποίησαν Κωνστάντιον καὶ Μαξιμιανὸν Γαλλέριον. καὶ ὁ μὲν Διοκλητιανὸς δέδωκε τὴν ἑαυτοῦ θυγατέρα πρὸς γάμον τῷ Γαλλερίῳ, ὁ δὲ Ἐρκούλιος Μαξιμιανὸς τὴν ἑαυτοῦ θυγατέρα Θεοδώραν τῷ Κωνσταντίῳ συνέζευξε, καίτοι γε ἑκατέρων γαμετὰς ἐχόντων, ἃς ἀπώσαντο διὰ τὴν πρὸς τοὺς βασιλέας στοργήν.

A.M. 5786 Ῥώμης ἐπισκόπου Μαρκέλλου ἔτος α'.

P. 5 Ἀλεξανδρείας ἐπισκόπου Πέτρου τοῦ ἱερομάρτυρος ἔτος α'.

Τούτῳ τῷ ἔτει Ἀλεξάνδρεια σὺν τῇ Αἰγύπτῳ εἰς ἀποστασίαν ὑπὸ Ἀχιλλέως ἀχθεῖσαι; οὐκ ἀντέσχον τῇ Ῥωμαίων

2. Μαξιμῖνον c f. 3. ἀνέδειξεν A a f. 6. Διοκλητ. κ. Μαξ. ὁ Ἐρκ. A, M. ὁ Ἐ. κ. Δ. vulg. 7. Κόπτον aliquot codd. 11. Κωνσταντῖνον, et mox Κωνσταντίνῳ f. 15. καίτοι γε A a f, καὶ τῶν γε vulg. 16. πρὸς A a f, εἰς vulg. βασιλεῖς A. 20. οὐκ ἀντέσχον A, οὐ κατέσχον vulg. τῇ add. ex A.

A. C. 280 Persarum regis Varanis annus primus.

Hoc anno, imperii sui quarto, Diocletianus Maximianum Herculium supremae potestatis socium renunciavit.

A. C. 281 Persarum regis Narsis annus primus.

A. C. 282 Hoc anno Diocletianus et Maximianus Herculius Busirim et Coptum Thebaidis in Aegypto civitates in Romanum imperium rebelles funditus everterunt.

A. C. 585 Hoc anno Diocletianus et Maximianus Herculius Constantium et Maximianum Galerium instituerunt caesares: et Diocletianus quidem filiam suam Galerio locavit coniugem, et Maximianus pariter suam nomine Theodoram Constantio copulavit. uterque vero ex observantia et in imperatores amore coniugem, quam prius habebat, dato repudio lecti consortio reddidit alienam.

A. C. 286 Romae episcopi Marcelli annus primus.

Alexandriae episcopi Petri sacri martyris annus primus.

Hoc anno Alexandria et Aegyptus ab Achille ad defectionem concitatae, illatum a Romanis bellum sustinere non potuerunt: plu-

προσβολῇ, καθ' ἣν πλεῖστοι ἀνῃρέθησαν, δίκην δεδωκότων τῶν τῆς ἀποστασίας αἰτίων. B

Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἡρκού- A.M. 5787
λιος διωγμὸν μέγαν καὶ φρικωδέστατον κατὰ Χριστιανῶν ἀνή- V. 4
γειραν, καὶ πολλὰς μυριάδας μαρτύρων ἐποίησαν, παντοίας βασάνους ἐπινοοῦντες, καὶ πολλὰ κακὰ ἐργαζόμενοι. περὶ ὧν τις ἐπερχόμενος τὴν ὀκτάβιβλον τῆς ἐκκλησιαστικῆς ἱστορίας Εὐσεβίου τοῦ Παμφύλου εἴσεται. C

Ῥώμης ἐπισκόπου Εὐσεβίου ἔτος α'. A.M. 5788

Τούτῳ τῷ ἔτει νεωτερισμοῦ γεγονότος ἐν Γαλλίαις ὑπὸ Ἀμάνδου καὶ Αἰλιανοῦ Μαξιμιανὸς ὁ Ἡρκούλιος διαβὰς καθεῖλεν αὐτούς. ἀλλα καὶ Κράσσος ἀντῆρε, καὶ Βρεττανίαν κατέσχε, καὶ οἱ πέντε Γεντιανοὶ τὴν Ἀφρικήν, καὶ Ἀχιλλεὺς τὴν Αἴγυπτον. ἀλλὰ Κράσσον μὲν ἐπὶ τρισὶν ἔτεσι τὴν Βρεττανίαν κατασχόντα Ἀσκληπιόδοτος ὁ ἔπαρχος ἀνεῖλεν. ἐν δὲ ταῖς Γαλλίαις ἀγχίστροφος ἐκ παραδόξου γέγονε Κωνσταντίῳ καίσαρι τύχη. ἐν ὥραις γὰρ ἓξ τῆς αὐτῆς ἡμέρας καὶ ἡττώμενος ὤφθη καὶ νικῶν ἀπεδείχθη. ἅρτι μὲν γὰρ ἐπικλύσαντες οἱ Ἀλανοὶ τῷ Κωνσταντίου στρατῷ ἄχρι καὶ εἰς τὰ τείχη κατεδίωξαν. αὐτὸς δὲ ἠκολούθει τελευταῖος φεύγοντι D

4. φρικοδ. Par. 5. μάρτυρας A a e. 7. τις add. ex A e. 8. τοῦ Π.] τῆς Π. A. εἴσεται A ἴσεται vulg. 12. Κράσσος] Κράσος A, Κρῶσσος vulg. Βριττανίαν A b f constanter. 13. Γεντιανοὶ A a e, Γεττιανοὶ vulg. 16. ἀγχίστροφος A, ἀγχίτροφος vulg. 17. καὶ ante ἡττ. add. ex A. 19. Ἀλαμανοὶ coni. Goar.

rimis autem primo impetu sublatis, rebellionis autores meritas exsolverunt poenas.

Hoc anno Diocletianus et Maximianus Herculius, vehementi et A. C. 287
horrenda in Christianos persecutione suscitata, et omnis generis excogitatis tormentis, plurimas martyrum myriadas confecere: de quibus qui octo libros ecclesiasticae historiae ab Eusebio compositos percurrerit, notitiam accipiet.

Romae episcopi Eusebii annus primus. A. C. 288

Hoc anno novis rebus Amandum et Aelianum in Galliis studentes Maximianus Herculius suscepta in eos profectione confecit. Crassus quoque seditionem movit, et Britanniam occupavit: quemadmodum quinque Gentiani Africam, et Achilles Aegyptum invaserunt. at Crassum quidem tribus annis Britannia potitum Asclepiodotus praefectus sustulit e medio: in Galliis autem anceps omnino dubiaque belli fortuna Constantio caesari ex inopinato contigit. eiusdem quippe diei sex horarum intervallo victus et vicisse visus est. nam effusi in Constantii exercitum Alani ad castrorum usque muros eum

τῷ στρατῷ. ἐπειδὴ δὲ κεκλεισμένων τῶν πυλῶν, οὐδὲ ἔσω τοῦ τείχους ἠδυνήθη εἰσελθεῖν, χεῖρας ἐξέτειναν οἱ πολέμιοι πρὸς τὸ συλλαβεῖν αὐτόν· σχοινίοις δέ, καθέντες ἀπὸ τοῦ τείχους, ἀνείλκυσαν αὐτόν. ἔσω δὲ γενόμενος, καὶ τὸν στρατὸν παραθαρσύνας, ἐπεξελθὼν τοῖς Ἀλανοῖς, νίκην ἔσχε λαμπράν, ὥστε ἑξακισχιλίους πεσεῖν. Μαξιμιανὸς δὲ ὁ Ἡρ-
P. 6 κούλιος τῶν πέντε Γεντιανῶν ἐν τῇ Ἀφρικῇ ἐκράτησε. Διοκλητιανὸς δὲ ἐν Ἀλεξανδρείᾳ τὸν Ἀχιλλέα καθεῖλε. συνῆν δὲ αὐτῷ καὶ Κωνσταντῖνος ὁ υἱὸς Κωνσταντίου, κομιδῇ νέος ὑπάρχων, ἀριστεύων ἐν τοῖς πολέμοις. ὃν ὁρῶν ὁ Διοκλητιανὸς φθόνῳ κινηθεὶς δόλῳ ἀνελεῖν ἐσπούδαζε. θεὸς δὲ τοῦτον παραδόξως διέσωσε, καὶ τῷ πατρὶ ἀπέδωκε.

A.M. 5789 B Περσῶν βασιλέως Ὁρμίσδα, Ῥώμης ἐπισκόπου Μιλτιάδου, Ἱεροσολύμων ἐπισκόπου Ζαβδᾶ, Ἀντιοχείας ἐπισκόπου Βιταλίου ἔτος α'.

Τούτῳ τῷ ἔτει Οὐετήριος στρατοπεδάρχης τοὺς ἐν τῇ στρατιᾷ Χριστιανοὺς ἤλαυνε μετρίως, ἔκτοτε τοῦ κατὰ πάντων ὑποτύφοντος διωγμοῦ.

A.M. 5793 Ῥώμης ἐπισκόπου Σιλβέστρου ἔτος α'.

1. ἔσω A, εἴσω vulg. 3. σχοίνοις a, σχοῖνον b. 5. παραθαρσύνας A, παραθαῤῥύνας vulg. 9. καὶ Κωνστ. A a, ὁ Κωνσταν. vulg. κομιδῇ νέος A, κομιδῇ δὲ νέος vulg. 10. ὁ om. A. 12. ἀποδέδωκε om b. 13. Μιλτιάδ. A, Μελτ. vulg. 14. Ζαβδᾶ] Γαζάβδας A. Vitalii, Antiocheni episcopi, accessionem in annum proxime sequentem reiiciunt a f: non adnotavit A. 17. στρατείᾳ A.

sunt insequuti: ipse vero dux extremus fugientis exercitus premens vestigia se recipiebat. obseratis vero portis, cum intro non potuisset admitti, extensas ad eum comprehendendum hostium manus nusquam evasisset, nisi demissis per murum funibus ad castra fuisset subvectus. intro receptus, verbis exercitum animat et corroborat, et impetu in Alanos facto, caesis eorum sex millibus praeclaram assequitur victoriam. Maximianus Herculius pari sorte quinque Gentianos in Africa obtinuit: et Alexandriae Diocletianus Achillem prostravit. socius expeditionis aderat Constantinus Constantii f. prima iuventute conspicuus, et bellicorum facinorum laude iam praestans: qua Diocletianus conspecta, motus invidia, necem dolis machinabatur. deus autem praeter opinionem servavit, et patri reddidit incolumem.

A. C. 289 Persarum regis Hormisdae, Romae episcopi Miltiadis, Hierosolymorum episcopi Zabdae, Antiochiae episcopi Vitalii annus primus.

Hoc anno Veterius magister militiae Christianos milites moderate insectatus est, persecutione exinde in reliquos ingruente.

A. C. 293 Romae episcopi Sylvestri annus primus.

Τούτῳ τῷ ἔτει Μαξιμιανὸς Γαλλέριος κατὰ Νάρσεως V. 5
τοῦ τῶν Περσῶν βασιλέως τοῦ τηνικαῦτα τὴν Συρίαν κατα-
δραμόντος καὶ ληιζομένου ἀπεστάλη ὑπὸ Διοκλητιανοῦ. καὶ
συμβαλὼν αὐτῷ κατὰ τὴν πρώτην μάχην ἡττᾶται περὶ Καλ- C
5 *λίνικον καὶ Κάρρας. ἐπανιὼν δὲ ἐκ τῆς φυγῆς ὑπήντησε Διο-*
κλητιανῷ ἐπ' ὀχήματος φερομένῳ. ὁ δὲ τὸν καίσαρα μετὰ
τοῦ ἰδίου σχήματος οὐ προσδεξάμενος, ἀφῆκεν ἐπὶ πλεῖστον
τρέχειν καὶ προηγεῖσθαι τοῦ ὀχήματος. μετὰ δὲ ταῦτα συνα-
χθείσης δυνάμεως πολλῆς πάλιν Μαξιμιανὸς ὁ Γαλλέριος
10 *καῖσαρ ἐπὶ τὸν Νάρσεως πόλεμον ἐκπέμπεται χρησάμενος*
δεξιᾷ τύχῃ, τολμήσας καὶ πράξας ἃ μηδεὶς ἕτερος. D *τόν τε*
γὰρ Νάρσεα μέχρι τῆς ἐνδοτέρας Περσίδος ἐδίωξε, καὶ κα-
τέσφαξε πᾶν τὸ στρατόπεδον, καὶ τὰς τούτου γυναῖκας καὶ
παῖδας καὶ ἀδελφὰς, καὶ παρέλαβε πάντα ὅσα ἐκεῖνος ἐπεφέ-
15 *ρετο, χρημάτων θησαυρούς, καὶ τοὺς ἐν Πέρσαις λαμπρούς,*
μεθ' ὧν ἐπανελθόντα Διοκλητιανὸς ἐν Μεσοποταμίᾳ διάγων·
ἀσμένως ἐδέξατο τιμήσας· καὶ ἰδίᾳ ἕκαστος καὶ κοινῇ πάν-
τες οὗτοι πρὸς πολλοὺς τῶν βαρβάρων πολεμήσαντες, πολλὰ
κατώρθωσαν. ἀρθεὶς δὲ ὑπὸ τῆς τῶν πραγμάτων εὐροίας

3. *ληιζομένου* A, alii ap. Goar. *ληισαμ.* vulg. 5. *Διοκλητιανῷ ἐπ' ὀχήματος φερομένῳ* A, *Διοκλητιανῷ ἐπ' ὄχημα ἐπιφερόμενα* a b c d (si recte enotavit G.), *Διοκλητιανὸς ἐπ' ὄχημα καταφερόμενος* vulg. 6. *μετὰ τοῦ* A, *μετὰ τὴν τοῦ* vulg. 9. *Μαξ. ὁ Γαλλ.* A, *ὁ M. Γ.* vulg. 10. *Νάρσεως — χρησάμενος* om. A, fort. *χρησόμενος.* 11. *δεξιᾷ τείχη* a, *ἐπὶ τὰ δεξιὰ τείχη* f. 13. *τὸ* add. ex a. 14. *καὶ παρέλαβε* A, *παρέλαβε, καὶ* vulg. *ὑπεφέρετο* b. 18. *πολλὰ*] *πάντα* a. 19. *τῆς* add. ex A.

Hoc anno Maximianus Galerius adversus Narsem Persarum regem crebris excursionibus Syriam infestantem et depopulantem a Diocletiano missus est. hic primo certamine ad Callinicum et Carrhas superatur, eque fuga se recipiens, Diocletianum curru forte vectum habuit obvium. ille caesarem etiam propriis insignibus illustrem et conspicuum, longo viae spatio neglectum, currere, et currum praecedere permisit. validiore postmodum exercitu collecto, Maximianus Galerius caesar bellum cum Narse restauraturus amandatur: resumptisque viribus, et prospera fortuna usus, quas nullus potuisset, res omnino praeclaras gessit. Narsem etenim usque in interiorem Persiam fugientem abegit, et exercitum eius et uxores, liberos et sorores trucidavit, et quos secum vehebat pecuniarum thesauros et Persarum nobiliores sumpsit captivos: spoliis onustum et redeuntem, Diocletianus, qui tum in Mesopotamia versabatur, cum honore lubenter excepit: et tum privatim uterque, tum communibus armis

Διοκλητιανός, προσκυνεῖσθαι ὑπὸ τῶν συγκλητικῶν, καὶ οὐ
P. 7 *προσαγορεύεσθαι κατὰ τὸ πρότερον σχῆμα ἀπήτησεν. ἐκαλλώπισε δὲ καὶ τὸ ὑπόδημα χρυσίῳ καὶ μαργαρίταις καὶ λίθοις τιμίοις. Κωνσταντῖνον δὲ τὸν υἱὸν Κωνσταντίου, ἐν τῇ ἀνατολῇ καὶ Παλαιστίνῃ διάγοντα, καὶ τὰ Χριστιανῶν φρονοῦντα, ὁρῶν τοῦτον ὁ Γαλλέριος Μαξιμιανὸς συνέσει ψυχῆς καὶ σώματος ῥώμῃ καὶ τῇ περὶ τὴν παίδευσιν εὐφυίᾳ προκόπτοντα, μαντευσάμενός τε τοῦτον καταλυτὴν ἔσεσθαι τῆς τυραννίδος καὶ τῶν δογμάτων αὐτοῦ, δόλῳ θανατῶσαι τοῦτον*
B *ἐσκέψατο. θείᾳ δὲ προμηθείᾳ τὸν δόλον μαθών, ὡς Δαβὶδ, φυγῇ τὴν σωτηρίαν πορίζεται, καὶ πρὸς τὸν ἴδιον πατέρα διασώζεται, πολλὰ σὺν αὐτῷ τῷ Χριστῷ εὐχαριστῶν τῷ σώσαντι αὐτόν.*

A.M. 5794 *Τούτῳ τῷ ἔτει Θεοτέκνῳ γόητι πειθόμενος ὁ Γαλλέριος Μαξιμιανὸς ἐν τῷ θύειν τοῖς δαίμοσι, καὶ λαμβάνειν χρησμούς· ὑποδὺς τῷ ἄντρῳ ὁ Θεότεκνος, χρησμόν, κατὰ Χριστιανῶν ἐγεῖραι διωγμόν, τούτῳ δέδωκε. τὰ δὲ ὑπομνήματα τοῦ σωτῆρος ἐπλάσατο, καὶ πανταχόσε ἐφ' ὕβρει ἀπέστειλε, καὶ τοῖς γραμματοδιδασκάλοις τοὺς παῖδας διδάσκειν*

3. ante *χρυσίῳ* b add. *καὶ τὰς βασιλικὰς ἐσθῆτας.* 4. *Κωνσταντῖνον, τὸν υἱὸν — διάγοντα — φρονοῦντα* A, *Κωνσταντίνου, τοῦ υἱοῦ — διάγοντος — φρονοῦντος* vulg. 9. *καὶ* om. A. 10. *τὸν* add. ex A. 11. *φυγῇ* A, alii *φεύγει, καὶ* vulg. 14. *γόητι* om. e. 16. *ὁ* add. ex A.

adversus barbarorum plurimos ambo decertantes, res praeclaras feliciter gesserunt. secundo vero fortunae successu Diocletianus elatus, a senatoriae dignitatis viris se adorari, nec ut prius salutari, vel consueto habitu procedere expetiit: verum auro, margaritis et pretiosis lapidibus calceamentum adornavit. Constantinum autem Constantii filium in oriente et Palaestina tunc temporis commorantem et de Christiana fide bene sentientem, et tum animi praestantia, tum corporis robore, tum denique ad omnem honestam disciplinam propensione in dies incrementa sumentem cernens Galerius Maximianus, cum tyrannidis et impii profanique idolorum cultus eversorem futurum vaticiniis accepisset, dolis eum interficere meditabatur. ille detectis insidiis, quae fuit dei providentia, Davidis exemplo fuga salutem parat, et ad patrem, servatori Christo debitis gratibus persolutis, sospes et incolumis regreditur.

A.C. 294 Hoc anno Theotecno praestigiatori morem gessit Galerius Maximianus, ut daemonibus sacra faceret et oracula reportaret: antrumque subiens Theotecnus, ut in Christianos persecutionem excitaret, oraculum retulit. idem servatoris monita confinxit et in eius iniu-

προσέταξεν, ὡς διαγελᾶσθαι τὸ καθ' ἡμᾶς μυστήριον παρα- C
σκευάζων.

Περσῶν βασιλέως Σαβώρου ἔτος α'. A.M. 5795

Τούτῳ τῷ ἔτει προστάγματα βασιλικὰ ἐδόθη, τὰς ἐκκλησίας
τοῦ Χριστοῦ ἐδαφίζεσθαι, καὶ τὰς θείας βίβλους κατακαίε-
σθαι· ἱερεῖς δὲ καὶ πάντας Χριστιανοὺς βασάνοις παραδί-
δοσθαι, καὶ θύειν εἰδώλοις ἀναγκάζεσθαι. καὶ ἦν οὗτος ὁ V. 6
διωγμὸς πάντων φρικωδέστατος ἀναριθμήτους μάρτυρας ἀπο- D
τελέσας.

Τούτῳ τῷ ἔτει Διοκλητιανὸς καὶ Μαξιμιανὸς ὁ Ἡρκούλιος A.M. 5796
ἐξ ἀπονοίας τὴν βασιλείαν ἀπέθεντο ἰδιωτικὸν ἀναλαβόμενοι
σχῆμα. καὶ Διοκλητιανὸς μὲν κατὰ Σάλωνα τῆς Δαλματίας
τὴν ἑαυτοῦ πόλιν ἰδιωτεύων βιοῖ, Ἡρκούλιος δὲ ὁ Μαξιμια-
νὸς ἐν Λυκαονίᾳ, πρότερον τὴν ἐπινίκιον ἐν Ῥώμῃ ἐπιτελέσαν- P. 8
τες πομπήν, ἐν ᾗ προεπόμπευον μὲν Νάρσεως τῶν ὀχημάτων
τὸ πλῆθος καὶ αἱ τούτου γυναῖκες καὶ παῖδες καὶ ἀδελφαί·
μετὰ ταῦτα δὲ ἀναχωρήσαντες διῆγον ἐφ' ἑαυτῶν, καταστή-
σαντες ἀντ' αὐτῶν βασιλεύειν, τῆς μὲν ἑῴας Γαλλέριον Μα-
ξιμιανόν, τῶν δὲ ἑσπερίων μερῶν Κωνστάντιον, ὃς ὀλίγῳ μέρει
τῆς ἀρχῆς ἀρκούμενος, λίαν ἦν ἥμερος καὶ ἀγαθὸς τὸν τρόπον,

1. παρεσκεύαζεν A e. 4. προστάγματα βασιλικὰ A, alii τῷ προστάγματι τῷ βασιλικῷ vulg. 5. τοῦ A, οὔσας vulg. θείας A, θείους vulg. 8. φρικωδέστερος a. 11. ἀπονοίας A alii ἀνοίας vulg. ἀναλαβόμενοι A, ἀναλαβόντες vulg. 14. ἐν Ῥώμῃ A, Ῥώμης vulg. ἐπιτελέσαντες codd., ἐπιτελέσας Par. 15. Νάρσέου A a. 19. μερῶν add. ex A aliis.

riam sparsim disseminavit: et ut fidei nostrae mysterium facilius deridendum proponeret, ludimagistros ea pueros docere edixit.

Persarum regis Saboris annus primus. A. C. 295

Hoc anno ut Christi ecclesiae subverterentur sacrique libri traderentur igni, imperiali sancitum est edicto: sacerdotes quoque et omnes Christianos tormentis applicandos, et ut victimas idolis offerrent, cogendos. horrenda prae omnibus, quaeque martyres innumeros consecravit, extitit haec persecutio.

Hoc anno Diocletianus et Maximianus Herculius ex animi vae- A. C. 296
cordia, privato habitu resumpto, deposuerunt imperium. et Diocletianus quidem Salonae patria civitate Dalmatiae privatus agit, Herculius autem Maximianus in Lycaonia, ducta prius Romae triumphantium more victoriae pompa, qua curruum copia, uxores, liberi, sorores Narsem captivum praecedebant. seiuncti deinceps ab invicem victitabant solitarii, constitutis vice sua imperatoribus, orientis quidem Galerio Maximiano, occidentis vero Constantio; qui modica im-

καὶ οὐδὲν αὐτῷ πρὸς τὸ ταμεῖον ἐσπουδάζετο· μᾶλλον δὲ τοὺς ὑπηκόους θησαυροὺς ἔχειν ἐβούλετο, καὶ τοσοῦτον ἦν ἐγκρατὴς περὶ χρημάτων κτῆσιν, ὥστε καὶ πανδήμους ἐπιτελεῖν ἑορτάς, καὶ πολλοὺς τῶν φίλων συμποσίοις τιμῶν ἠγα-
B πᾶτο πάνυ παρὰ τῶν Γάλλων τῷ πικρῷ τοῦ Διοκλητιανοῦ καὶ τῷ φονικῷ Μαξιμιανοῦ τοῦ Ἑρκουλίου συγκρινόντων, ὧν ἀπηλλάγησαν δι' αὐτοῦ. οὗτος τελευτᾷ ἐν Βρεττανίαις βασιλεύσας ἔτη ἕνδεκα, ἀναγορεύσας ἀντ' αὐτοῦ βασιλέα Κωνσταντῖνον τὸν πρωτότοκον αὐτοῦ υἱὸν ζῶν ἔτι, ἐπ' ὄψεσι παντὸς τοῦ λαοῦ, περιόντων καὶ τῶν λοιπῶν αὐτοῦ παίδων τῶν ὁμοπατρίων Κωνσταντίνῳ, Κωνσταντίου, φημί, καὶ Ἀναβαλλίνου, τοῦ καὶ Δαλματίου, γεννηθέντων ἐκ Θεοδώρας θυγατρὸς Ἑρκουλίου. ὁ γὰρ Κωνσταντῖνος ἐξ Ἑλένης ἦν τῆς προτέρας γυναικὸς Κωνσταντίου· ὁ δὲ Κωνστάντιος ὁ τούτων πατὴρ θυγατριδοῦς ἦν Κλαυδίου τοῦ βασιλέως, Γαλλέριος δὲ γαμβρὸς Διοκλητιανοῦ ἦν ἐπὶ θυγατρὶ Βαλερίᾳ. τότε Γαλ-
C λέριος Μαξιμιανὸς ἐπὶ Ἰταλίαν ἐλθών, ἐχειροτόνησε καίσαρας δύο· καὶ ἐπέστησε Μαξιμῖνον μὲν τὸν ἴδιον υἱὸν κατὰ τὴν ἑῴαν, Σευῆρον δὲ κατὰ τὴν Ἰταλίαν. οἱ δὲ ἐν Ῥώμῃ

4. τιμᾶν codd. Goari. 5. τῷ πικρῷ — καὶ τῷ φονικῷ A e, τὸ πικρὸν καὶ τὸ φονικὸν vulg. 6. Μαξιμιανοῦ τοῦ Ἑρκουλίου A e, τοῦ Μαξιμιανοῦ vulg. συγκρίνοντες A e. 9. αὐτοῦ υἱὸν A, υἱὸν αὐτοῦ vulg. ἔτι om. A. 11. Κωνσταντίνῳ A, Κωνσταντίνου vulg. Ἀναβαλίνου A, Ἀναβαλλιάνου b. 12. Δελματίου A. 14. ὁ δὲ A, ὁ γὰρ vulg. 15. θυγατριδοῦς A, θυγατρίδης vulg. 16. ἦν om. b. 18. Μαξ. μὲν τὸν ἴδιον υἱὸν A, τὸν μὲν ἰδ. υἱὸν M. vulg. 19. Σευῆρον A, Σεβῆρον vulg.

perii sorte contentus, plurima mansuetudine morumque probitate praecelluit. nulla ei de aerario cura: quinimo thesauri loco subditos habere maluit. adeo pecuniarum a possessione sibi temperabat, ut dies festos ludis exhibitis frequenter celebraret, et magnam amicorum partem cum honore conviviis exciperet. a Gallis, morum asperitatem in Diocletiano, et in Maximiano caedium consuetudinem (quibus malis per eum sunt erepti) condemnantibus, praecipuo amore colebatur. anno imperii undecimo vita fungitur in Britannia. adhuc superstes in totius populi conspectu, circumstantibus etiam reliquis eius filiis, eodem nimirum patre cum Constantino natis, Constantio, dico, et Anaballino, qui et Dalmatius, Theodora matre, Herculii filia, genitis, Constantinum primogenitum declaravit imperatorem. hic enim Constantinus Helenae prioris Constantii uxoris partus extitit. eorum pater Constantius nepos Claudii imperatoris ex filia: Galerius, filia Valeria ducta, Diocletiani gener fuit. ea tempe-

στρατιῶται ἀνηγόρευσαν Μαξέντιον τὸν υἱὸν Μαξιμιανοῦ τοῦ Ἡρκουλίου βασιλέα. ὅθεν ὁ Ἡρκούλιος εἰς ἐπιθυμίαν πάλιν τῆς βασιλείας ἀρθείς, ἐπεχείρησε μὲν ἀποδῦσαι τὸν ἴδιον υἱὸν Μαξέντιον, ἐπεχείρησε δὲ δόλῳ καὶ τὸν γαμβρὸν Κωνστάντιον ἀνελεῖν. ἀλλὰ τῆς μὲν πρὸς τὸν υἱὸν ἐπιχειρήσεως ὑπὸ τῶν στρατιωτῶν ἀπηλάθη. ἐν δὲ τῇ κατὰ τὸν γαμβρόν, ὑπὸ Φαύστης τῆς θυγατρὸς καταμηνυθείς, ἀναιρεῖται κακῶς πράξας. Εὐσέβιος δὲ ὁ Καισαρεύς φησι, ὅτι Διοκλητιανὸς παράφρων γενόμενος, καὶ σὺν τῷ Ἡρκουλίῳ τὴν βασιλείαν ἀποθέμενος ἰδιωτικὸν βίον ἀνέλαβε. καὶ ὁ μὲν ἀγχόνῃ τὸν βίον μετήλλαξε, Διοκλητιανὸς δὲ νόσῳ μακρᾷ δαπανώμενος ἐμαράνθη. Γελάσιος δὲ ὁ Καισαρείας τῆς αὐτῆς ἐπίσκοπός φησιν, ὅτι μεταμεληθέντες, καὶ πάλιν βασιλεῦσαι θελήσαντες, ψήφῳ κοινῇ τῆς συγκλήτου ἀναιροῦνται. τούτων οὖν ἐκ μέσου γενομένων, καὶ τοῦ Χριστιανόφρονος Κωνσταντίου τελευτήσαντος, τὴν βασιλείαν, ὡς προέφην, κατέσχον Κωνσταντῖνος ὁ Σεβαστός, καὶ Μαξιμιανὸς ὁ Γαλλέριος. D V. 7

Ῥωμαίων βασιλέως Κωνσταντίνου ἔτος α'. A.M. 5797

Ἀντιοχείας ἐπισκόπου Φιλογένους ἔτος α'. P. 9

2. βασιλέα A, τοῦ βασιλέως vulg. πάλιν om. a. 4. καὶ add. ex A. 6. ἐν δὲ τῇ A e, ἐκ δὲ τῆς vulg. 8. ὅτι add. ex A. 13. μεταβληθέντες a. 16. προέφην A, προέφημεν vulg.

state Galerius Maximianus in Italiam profectus, caesares duos creavit: et proprium quidem filium Maximinum orienti praefecit, Severum autem Italiae: Romae milites Maxentium, Maximiani Herculii filium, salutaverunt principem. unde Herculius in spem cupiditatemque recipiendi rursus imperii erectus, proprium filium Maxentium potestate exuere molitus est: et paribus dolis, ut Constantium generum interficeret, animum adhibuit. verum a noxa filio inferenda depulsus est a militibus: a funestis autem in generum conatibus, a fausta filia denunciatus, praepeditur, et ob prava facinora necatur. Eusebius Caesariensis refert, Diocletianum mentis morbo laborantem una cum Herculio, depositis imperii insignibus, privatam vitam resumpsisse: et hunc quidem laqueo commutasse vitam, Diocletianum vero diuturno languore consumptum penitus emarcuisse. Gelasius eiusdem Caesareae antistes narrat, eos abdicati imperii poenitentes, et regressum ad illud molitos, publico senatus decreto interfectos. illis igitur e medio sublatis, tum Constantio, cuius fides et religio Christiana fuit, defuncto, Constantinus Augustus et Maximianus Galerius, ut a nobis praemissum, obtinuerunt imperium.

Romanorum imperatoris Constantini annus primus. A.C. 297

Antiochiae episcopi Philogenis annus primus.

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος καὶ Χριστιανικώτατος Ῥωμαίων ἐβασίλευσεν ἐν Γαλλίαις καὶ Βρεττανίᾳ. κατὰ τὸν αὐτὸν οὖν χρόνον τέσσαρες οὗτοι συνεβασίλευον αὐτῷ, Μαξιμιανὸς ὁ Γαλλέριος σὺν δυσὶ καίσαρσι Σευήρῳ καὶ Μαξιμίνῳ τῷ Γαλλερίου υἱῷ καὶ Μαξεντίῳ τῷ υἱῷ τοῦ Ἡρκουλίου, ἐν Ῥώμῃ ὑπὸ τῶν στρατιωτῶν ἀναγορευθέντι βα-
B *σιλεῖ. οὗτοι ἀλλήλους ὑπερβαλεῖν ἔσπευδον εἰς τὸν κατὰ τῶν Χριστιανῶν διωγμόν. Μαξέντιος δὲ ὁ τύραννος τῇ Ῥώμῃ ἀνόμως βασιλεύων πάνδεινα εἰργάσατο κακά, μοιχείας τῶν ἐν τέλει γυναικῶν, φόνους καὶ ἁρπαγάς, καὶ ὅσα τούτοις ὅμοια. κατὰ δὲ τὴν ἀνατολὴν Μαξιμῖνος χείρονα διεπράττετο κακά, δύο κακῶν μεγίστων ἀνατολὴν καὶ δύσιν κληρωσαμένων, καὶ τὸν κατὰ τῶν Χριστιανῶν διωγμὸν ἀναρριπιζόντων. τότε καὶ Λικίνιον καίσαρα Ῥωμαῖοι ἀνηγόρευσαν, χαριζόμενοι Κωνσταντίνῳ γαμβρῷ αὐτοῦ ὄντι εἰς ἀδελφὴν*
C *Κωνσταντίαν, καὶ ὑποκρινόμενον ψευδῶς τὴν καθ' ἡμᾶς εὐσέβειαν, Σευήρου δηλαδὴ τελευτήσαντος.*

Τῷ δ' αὐτῷ ἔτει Πέτρος ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ἐν φυλακῇ ὑπάρχων προστάγματι Μαξιμιανοῦ τοῦ Γαλλερίου

7. ὑπερβαλεῖν A a, ὑπερβάλλειν vulg. τῶν add. ex A. 9. κακὰ — φόνους καὶ om A e. 11. Μαξιμινιανὸς a. 12. χειρωσαμένων a. 13. τῶν om. A. ante διωγμὸν delevi πόλεμον, quod codd. non omittunt: solus a exhibet: πόλεμον καὶ διωγμόν, b Χριστιανῶν διωγμόν. 14. Ῥωμαίων A. 18. τούτῳ τῷ ἔτει A. ἐπίσκοπος om. A e.

Hoc anno in Galliis et Britannia sacerrimus et Christianissimus Romanorum imperator Constantinus regnavit: cum eodem tempore quatuor isti cum illo eiusdem forent imperii collegae, Maximianus Galerius cum duobus Caesaribus Severo et Maximino, Galerii filio, atque etiam Maxentio, Herculii filio, qui Romae a militibus imperator fuerat renunciatus. isti, quis alter alterum in Christianis crudelius persequendis vinceret, ad invicem contendebant. Maxentius autem tyrannus quibusvis pessundatis legibus Romae imperans flagitiosa quaeque patravit facinora, nobilium feminarum adulteria, caedes, bonorum direptiones, et quotquot scelera his similia. peiora per orientem Maximinus exequebatur: duabus exitiosis pestibus orientem occidentemque inter se partientibus, et bellum adversus Christianos, persecutionem nimirum, ubique suscitantibus. tunc temporis Romani, gratiam Constantino reposituri, Licinium, ob sororem Constantiam in coniugem acceptam eius levirum, caesarem appellavere, Severo videlicet mortuo, familiarem nobis pietatem dolose simulantem.

Eodem etiam anno Petrus Alexandriae episcopus carcere detentus, Maximiani Galerii et Maximini eius filii mandato capite trun-

καὶ Μαξιμίνου τοῦ υἱοῦ αὐτοῦ, τὴν κεφαλὴν ἀποτμηθείς, ἐνδόξως ἐμαρτύρησεν· ὅστις τὸν Ἄρειον διάκονον ὄντα τῆς αὐτοῦ ἐκκλησίας ἀκοινώνητον ἐποίησεν· ὅστις μετὰ ταῦτα κακοδόξου αἱρέσεως προστάτης ὤν, πολλοὺς τῆς εὐσεβείας ἀπέστησε. πολλοὶ δὲ καὶ ἄλλοι ἐπὶ τούτων τῶν τυράννων τὸν ὑπὲρ Χριστοῦ μαρτυρικὸν στέφανον ἀνεδήσαντο, ὧν εἰσὶ Φιλέας, ἐπίσκοπος Θμούεως τῆς Αἰγύπτου, Πηδεὺς καὶ Νεῖλος ἐπίσκοποι τῆς Αἰγύπτου, Ἄνθιμος ἐπίσκοπος Νικομηδείας, Τυραννίων ἐπίσκοπος Τύρου, Σιλουανὸς ἐπίσκοπος Ἐμέσης, καὶ D Σιλουανὸς ἐπίσκοπος Γάζης, Λουκιανὸς πρεσβύτερος Ἀντιοχείας, Ζηνόβιος ἐπίσκοπος Σιδῶνος, Πάμφιλος πρεσβύτερος Καισαρείας, καὶ ἄλλοι ἀναρίθμητοι. οὗτος ὁ Γαλλέριος Μαξιμιανὸς γυναικομανέστατος ἦν, τοσοῦτον, ὥστε τοὺς ὑπ' αὐτῶν τελοῦντας μελετᾷν ποῦ κρύψωσι τὰς ἰδίας γαμετάς, ἐκτετηκὼς καὶ τῇ τῶν πλάνων δαιμόνων ἀπάτῃ, ὡς μὴ ἀνέχεσθαί τινος γεύσασθαι ἄνευ μαντείας. οὗτος πανωλεθρίαν Χριστιανῶν γενέσθαι προσέταξεν, οὐ τοσοῦτον διὰ τὴν ἑαυτοῦ ἀσέβειαν, ὅσον διὰ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων αὐτοῖς· τούτῳ οὖν θεία δίκη ἐπῆλθε διὰ τὴν ἄμετρον ἀκολασίαν, καὶ P. 10

3. μετὰ ταῦτα A a, γεγονὼς vulg. 4. ὢν add. ex A. 5. ἐκ τούτων a. 6. ἀνεδύσαντο b. 7. Πηδεὺς A, ὁ Π. vulg. Πηδεὺς — Αἰγύπτου om. e. 10. Σιλουανὸς — Ἀντιοχείας om. e, Λουκιανὸς — Ἀντ. om. A. 11. ἐπίσκοπος] πρεσβύτερος A. 14. κρύψωσι A, κρύψουσι vulg. 15. καὶ add. ex A a e. πλάνων a, πολλῶν vulg. 16. γεύσασθαι A, γεύεσθαι vulg. πανωλεθρίαν A, πανολεθρίαν vulg. 17. αὐτοῦ A. 18. τῶν add. ex A. αὐτοῖς om. e, αὐτῶν b. 19. μετῆλθε b.

catus gloriosum subiit martyrium. hic Arium, dum diaconi vices adhuc ageret, ecclesiae communione fecit extorrem: qui pravae postmodum sectae antesignanus factus, plurimos a vera religione avertit. sub iisdem tyrannis alii plerique martyrii corona sunt redimiti, quorum in numero recensentur Phileas Thmueos episcopus, Peleus et Nilus, Aegyptiaci praesules, Anthimus Nicomediae, Tyrannion Tyri, Sylvanus Emesae, alter Sylvanus Gazae antistites, Lucianus Antiochensis presbyter, Zenobius Sidonis episcopus, Pamphilus Caesareae presbyter, et innumeri alii. Galerius iste Maximinus insano penitus et effraeni mulierum amore aestuabat, adeo ut eius potestati subditi, ubi proprias coniuges occultarent, anxie meditarentur: alioquin fallacium daemonum fraudibus tantopere devinctus, ut absque oraculi praestigiis ne cibum quidem vellet delibare. idem non adeo religionis impiae cultu, quam bonorum rapiendorum cupidine motus, delendos communi internecione Christianos praecepit. eum propter immodicam et effusam petulantiam, et into-

τὴν περὶ τοὺς Χριστιανοὺς ἀνύποιστον κάκωσιν. χαλεπὸν γὰρ ἕλκος κατὰ τὸ τῆς ἀκολασίας αὐτοῦ μόριον ἐκφυὲν κρεῖττον πάσης ἀνθρωπίνης βοηθείας ἐτύγχανε, νομῆς καταλαβούσης καὶ σκωλήκων φθορᾶς τοὺς τόπους. ἦν γὰρ καὶ πολύσαρκος. οὗτος [γὰρ] ὑπολαβών, ὡς ἄρα διὰ τοὺς ἀδίκους
V. 8 φόνους πέπληκται, προστάγματα κατὰ παντὸς τόπου ὑπὲρ τῶν Χριστιανῶν ἔγραψε πάντα κελεύων καταθυμίως πράττειν, καὶ ὑπὲρ αὐτοῦ εὔχεσθαι· οὗ γεγονότος εὐθέως τοῦ
B χαλεπωτάτου πάθους τῇ εὐχῇ τῶν Χριστιανῶν θεραπευθέντος παρ' ἐλπίδα, μήπω δὲ τοῦ τραύματος καλῶς συνουλωσαντος, μειζόνως ἐμαίνετο τῶν ἀθεμίτων πράξεων ἐχόμενος. ἀλλ' εὐθὺς πάλιν πόλεμοι καὶ ἐπαναστάσεις, λιμοί τε καὶ λοιμοὶ καὶ αὐχμοὶ ἀθρόοι ἐπέσκηπτον, ὡς μὴ ἀρκεῖν θάψαι ζῶντας τοὺς τεθνεῶτας· κεραυνοί τε καὶ φόβητρα ἐξαπεστέλλετο, ὡς ἕκαστον ἑαυτοῦ μόνον φροντίζειν, καὶ τὰ πολλὰ τῶν πραγμάτων ἄπρακτα διαμένειν.

A.M. 5798 C Ἱεροσολύμων ἐπισκόπου Ἑρμῶνος ἔτος α'.
Ἀχιλλᾶ Ἀλεξανδρείας ἐπισκόπου ἔτος ἕν.

1. τοὺς add. ex A. ἀνάπυστον g. 2. τὸ om. A. 5. γὰρ om. a, fort. recte, nisi potius δὲ scribendum est. 6. φόνους] τόπους a. 7. τῶν om. A a. 9. τῇ εὐχῇ τῶν Χριστιανῶν add. ex A a e. θεραπευθέντος] ἠλευθερώθη a, ἠλευθερώθη θεραπευθέντος e. 10. μήπω A, μηδέπω vulg. 12. πόλεμοι καὶ ἐπαναστάσεις A et alii, ὁ πόλεμος καὶ ἐπανάστασις vulg. 14. ζῶντας τοὺς τεθνεῶτας A, τοὺς τεθνεῶτας οἱ ζῶντες vulg. φόβετρα Par. 15. μόνου b. 18. Ἀχιλλᾶ — ἔτος ἕν. om. A.

lerabilem Christianorum vexationem ultio divina tandem corripuit. grave siquidem ulcus adnatum ad libidinis membrum omni humana industria superius visum est in eius corpore, putredine nimirum depascente, et vermibus corruptionis loca corrodentibus. obesus enim erat, et haud leviter carnosus. is autem ob iniustas caedes plecti se arbitratus, mandata per omnes provincias Christianis profutura rescripsit, iubens agere cuncta ex animo et pro se deprecari. quo facto, curato praeter expectationem precibus Christianorum difficili morbo, plaga tamen per inductam cicatricem vix sanata, ad iniqua quaeque repetenda facinora fervidius insaniebat. verum derepente bellum, tumultus, fames, pestilentiae, ariditates aëris adeo confertim ingruebant, ut sepeliendis mortuis vivi non sufficerent homines: tonitrua insuper et prodigia crebrius emissa unumquemque de se solummodo sollicitum esse, reliquaque negotiorum quasi momenti nullius infecta permanere coegerunt.

A. C. 298 Hierosolymorum episcopi Hermonis annus primus.
Alexandriae episcopi Achillae annus primus.

Ἀλεξανδρείας ἐπισκόπου Ἀλεξάνδρου ἔτος α'. A.M. 5799
Βυζαντίου ἐπισκόπου πρώτου Μητροφάνους ἔτος α'. D
Ἀντιοχείας ἐπισκόπου Παυλίνου ἔτος α'.

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος εἰς τὴν κατὰ A.M. 5802
τῶν τυράννων διανέστη κατάλυσιν. Μαξέντιος δὲ ὁ δυσσεβὴς
ναυσὶ γεφυρώσας τὸν παραρρέοντα τῇ πόλει Ῥώμῃ ποταμὸν
παρεταξατο κατὰ τοῦ μεγάλου Κωνσταντίνου. ὁ δὲ μέγας
Κωνσταντῖνος ἐδεδίει τὰς Μαξεντίου γοητείας, βρέφη ἀνατέ-
μνοντος διὰ μαντείας ἀθεμίτους. ἐν πολλῇ δὲ ἀγωνίᾳ ὄντι
ὤφθη αὐτῷ ἐν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας ὁ τίμιος σταυρὸς ἐκ
φωτὸς κατεσκευασμένος, ἔχων ἐπιγραφήν· ἐν τούτῳ νίκα. P. 11
ἐπιστὰς δὲ αὐτῷ ὁ κύριος εἶπεν ἐν ὁράματι τῆς νυκτός·
χρῆσαι τῷ δειχθέντι σοι, καὶ νίκα. τότε σταυρὸν σχεδιάσας
χρυσοῦν, ὅς ἐστι μέχρι τῆς σήμερον, ἐκέλευσε προάγειν αὐ-
τὸν ἐν τῷ πολέμῳ. καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ
περὶ τὸν Μαξέντιον, ὧν οἱ πλείους ἀνῃροῦντο. Μαξέντιος
δὲ σὺν τοῖς λοιποῖς φεύγων, τῆς γεφύρας θείᾳ δυνάμει διαρ-
ραγείσης, ἐν τῷ ποταμῷ καταποντίζεται, ὡς πάλαι ὁ Φαραὼ
παστρατί, ὥστε πληρωθῆναι τὸν ποταμὸν ἵππων σὺν ἀνα-
βάταις πεπνιγμένοις. οἱ δὲ πολῖται τῆς Ῥώμης, ὡς αἰτησά-

2. *Βυζαντίου — ἔτος α'* om. A. 8. *ἀνατέμνοντος* A a, *ἀνατέμνων*, *ὡς* vulg. 12. *εἶπεν αὐτῷ ἐν* A. 13. *τὸ δειχθὲν* A. 14. *τῆς σήμερον* A, *τὴν σ.* vulg. *αὐτὸν* A, *αὐτῷ* vulg. 17. *διαρραγείσης* A, *διαρρηγείσης* vulg. 18. *ὁ* add. ex A. 19. *τὸν ποταμὸν πληρωθῆναι* b.

Alexandriae episcopi Alexandri annus primus. A. C. 299
Byzantii episcopi primi Metrophanis annus primus.
Antiochiae episcopi Paulini annus primus.

Hoc anno sacratissimus Constantinus ad evertendam tyrannorum A. C. 302
potestatem se movit. impius vero Maxentius ponte navibus instructo in Tiberi Romam praeterfluente adversus magnum Constantinum in acie constitit. formidabat magnus Constantinus Maxentii praestigias, qui nefandae deditus divinationi pueros dissecare soleret. illi propterea mentis in anxietate constituto, hora diei sexta, veneranda crux luce efformata visa est cum hac inscriptione: "in hoc vince." tum in nocturna visione astans ei dominus, inquit: "utere ostenso tibi signo, et vince." aurea tum cruce, quae in hanc usque diem superest, in promptu confecta, eam exercitui praeferri et in conflictu iussit se praecedere. inito igitur certamine, victi sunt qui sub Maxentio militabant, et eorum plurimi trucidati. Maxentius fuga cum reliquis arrepta, ponte divina virtute disrupto, flumine submergitur non secus ac Pharao cum toto exercitu, ita ut tam equis quam sessoribus fluminis alveus repleretur. Romani demum victorem Constan-

Bμενοι αὐτὸν διαναστῆναι εἰς τὴν βοήθειαν αὐτῶν, λυτρωθέντες τῆς τοῦ πονηροῦ Μαξεντίου τυραννίδος τὴν πόλιν στεφανώσαντες εἰσεδέξαντο μετὰ χαρᾶς τὸν νικητὴν Κωνσταντῖνον σὺν τῷ νικοποιῷ σταυρῷ σωτῆρα αὐτὸν ἀνευφημοῦντες.

A.M. 5803 V. 9 C Τούτῳ τῷ ἔτει κρατήσας τὴν Ῥώμην Κωνσταντῖνος ὁ θεοσυνέργητος πρὸ πάντων τὰ λείψανα τῶν ἁγίων μαρτύρων ἐκέλευσε συλλεγέντα ὁσίᾳ ταφῇ παραδοθῆναι. καὶ ἦσαν οἱ Ῥωμαῖοι ἄγοντες ἐπινίκιον ἑορτήν, γεραίροντες τὸν κύριον καὶ τὸν ζωοποιὸν σταυρὸν ἐπὶ ἑπτὰ ἡμέρας, καὶ Κωνσταντῖνον τὸν νικητὴν μεγαλύνοντες.

A.M. 5805 Τούτῳ τῷ ἔτει ὁ Μαξιμῖνος ὁ υἱὸς Γαλλερίου ἐπιπηδήσας, καὶ ἑαυτῷ τὴν βασιλείαν ἐπιτρέψας, αἰσχρῶς καταλύει τὸν βίον ἐν Κιλικίᾳ. ἀκούσας δὲ Μαξιμιανὸς ὁ Γαλλέριος ὁ Dτούτου πατήρ, ὅτι ὁ Μαξέντιος ὁ υἱὸς Ἐρκουλίου ἐν Ῥώμῃ ὑπὸ Κωνσταντίνου τῇ δυνάμει τοῦ σταυροῦ κατεπτώθη, φοβηθεὶς τὸν κατὰ τῶν Χριστιανῶν ἀνῆκε διωγμόν.

A.M. 5806 Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ θειότατος σὺν Λικινίῳ καίσαρι ζήλῳ θεοῦ φερόμενος, ἀπεστράτευσε κατα Μαξιμιανοῦ τοῦ Γαλλερίου τὴν ἐφ᾽ αν διέποντος· κἀκεῖνος ἀντιστρα-

4. σωτῆρα om. A e. 7. παραδοθέντα b. 8. καὶ — σταυρὸν om. b. 9. ἑπτὰ ἡμέρας A, ἡμ. ἑπτὰ vulg. 11. Μαξιμιανὸς Par. 13. ὁ Γαλλ. A, Γαλλ. vulg. 15. κατεπτώθη A a, κατεπόθη e, κατεπονήθη vulg. 18. ζήλῳ] ψήφῳ a. ἀπεστρ. A, ἐπεστρ. vulg. Μαξιμιανοῦ A a, Μαξιμίνου vulg.

tinum, ceu ad ferendam ipsis opem expetitum servatorem populique liberatorem acclamatum, urbe coronata communique tripudio exultante, improbi Maxentii tyrannide redempti, cum cruce victoriarum largitrice triumphantem exceperunt.

A. C. 303 Hoc anno divino fretus auxilio Constantinus collectas sanctorum martyrum reliquias sacrae sepulturae mandari iussit. Romani vero festis ob partam victoriam institutis, per dies septem continuos deum vitalemque crucem debitis prosequebantur honoribus, victoremque Constantinum summis laudibus extollebant.

A. C. 305 Hoc anno Maximinus Galerii filius, cum aliorum fines invaderet, et integrum sibi arrogare vellet imperium, vitam deinde turpiter amisit in Cilicia. Maximianus vero Galerius, eius pater, Maxentium Herculii filium a Constantino virtute crucis profligatum cum didicisset, nuncio territus accensam in Christianos persecutionem remisit.

A. C. 306 Hoc anno sacratissimus Constantinus divino religionis zelo motus in Maximianum Galerium orientis partes moderantem bellum, opem ferente Licinio, suscepit. ille vero ingentes copias contra in aciem

τευσάμενος ἀμέτρῳ πλήθει συνέβαλεν αὐτοῖς, πεποιθὼς ὁ Μαξιμιανὸς μαντεύμασι δαιμόνων καὶ γοητικαῖς μαγγανείαις. τοῦ δὲ ζωοποιοῦ σταυροῦ προάγοντος τῷ μεγάλῳ Κωνσταντίνῳ, ἅμα τῇ προσβολῇ τραπεὶς ὁ τύραννος σὺν τῷ πλήθει κατασφαττομένῳ, τὴν βασιλικὴν ἐσθῆτα ἀπέθετο, καὶ στρα- P. 12
τιωτικὸν περιθέμενος σχῆμα μετ' ὀλίγων εὐνουστάτων τε διαδρὰς, ἀπὸ κώμης εἰς κώμην ᾤχετο, καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων καὶ μάντεις ἀθροίσας, τοὺς διαβεβοημένους ἐπὶ μαγείαις καὶ προφήτας αὐτοῦ ὡς ἀπατεῶνας κατέσφαξεν.

Ἱεροσολύμων ἐπισκόπου λβ' Μακαρίου ἔτος α'. A.M. 5808
Ἀντιοχείας ἐπισκόπου κγ' Εὐσταθίου ἔτος α'. B

Τούτῳ τῷ ἔτει μέλλοντα τὸν εὐσεβέστατον Κωνσταντῖνον ζῶντα χειροῦσθαι τὸν Γαλλέριον Μαξιμιανόν, προλαβοῦσα θεία ὀργὴ κατέλαβε τοῦτον. φλὺξ γὰρ ἐκ μέσου τῶν σπλάγχνων καὶ μυελῶν αὐτῷ ἀναφθεῖσα, μετ' ὀδύνης ἀνυποίστου πρηνῆ κατὰ τοῦ ἐδάφους ἀσθμαίνοντα διέθετο, ὡς ἀμφότερα τὰ ὄμματα αὐτοῦ ἐκπηδῆσαι, καὶ τυφλὸν καταλιπεῖν τὸν ἀνόσιον. αἱ δὲ σάρκες αὐτοῦ συσσαπεῖσαι τῇ ἀμέτρῳ ἐκκαύσει τῶν ὀστῶν ἀπέπιπτον· καὶ οὕτως κατασαπεὶς ἀπέρριψε τὴν θεομάχον ψυχήν. C

2. μαντεῦσι a. 5. βασιλικὴν om. a. 7. ἀπὸ κώμης A, ἀπὸ κώμην vulg. 8. τοὺς om. e. μαγείαις A, μαγείᾳ vulg. 14. τοῦτον] αὐτὸν a. μέσου] βάθους b. 15. ἀνυποίστου A, ἀνοιπύστου vulg. 16. κατὰ τοῦ ἐδάφους A, κατ' ἐδάφους vulg. 17. αὐτοῦ add. ex A et aliis. 18. συσσαπεῖσαι τῇ ἀμ. A, συσσαπῆσαι ἀμ. vulg. 19. ἀπέῤῥιψε A et alii, ἀπέῤῥηξε vulg.

educens, manus cum eis conseruit. fidebat Maximinus daemonum oraculis et magorum praestigiis: vivifica crux ex adverso magno Constantino praeibat. sub primo conflictu versus in fugam tyrannus, magna exercitus eius parte caesa, exuit imperatoris vestem et insignia; militarique habitu sumpto, cum paucis sibi benevolis e vico in vicum fugitivus vagabatur; idolorumque sacerdotibus et divinis congregatis, vocatis etiam cunctis in arte magica celebrioribus ac vatibus, cunctos velut seductores mactavit.

Hierosolymorum episcopi 32. Macarii annus primus. A.C. 308
Antiochiae episcopi 23. Eustathii annus primus.

Hoc anno Galerium Maximianum vivum iamiam in piissimi Constantini manus casurum divina praeveniens ira occupavit. ardor enim in mediis eius visceribus et ossium medullis accensus cum intolerabili dolore et obstrueto anhelitu cernuum in terram deiecit; adeo ut ambo eius oculi exilirent e capite, et lumine privatum desererent impium. carnes autem eius immodica illa inflammatione putrescentes defluebant ossibus, atque ita totus iam in saniem et tabum resolutus infensam deo animam evomuit.

A.M. 5809 *Τούτῳ τῷ ἔτει Λικινίῳ συμμαχήσαντι τῷ θείῳ Κωνσταντίνῳ καὶ ὑποκρινομένῳ δολερῶς τὸν Χριστιανισμόν, ἀφορίσας μοῖραν τῆς Ῥωμαίων γῆς ἀπένειμεν, ἀναγορεύσας αὐτὸν βασιλέα, ἀπαιτήσας αὐτὸν συνθήκας μηδὲν κατὰ Χριστιανῶν πράττειν κακόν. ἐντεῦθεν ὁ τῶν τυράννων καθ' ἡμῶν*

D *χάριτι θεοῦ πέπαυται διωγμός.*

A.M. 5810 V. 10 *Τούτῳ τῷ ἔτει ὁ μέγας Κωνσταντῖνος πάσης Ῥωμαίων γῆς μονοκράτωρ γενόμενος, πᾶσαν εἰς τὰ θεῖα μετήγαγε φροντίδα, ἐκκλησίας ἀνεγείρων καὶ φιλοτίμως ταύτας πλουτῶν ἐκ τοῦ δημοσίου λόγου. οὗτος πρῶτον νόμον ἔγραψεν τοὺς εἰδώλων ναοὺς ἀποδίδοσθαι τοῖς τῷ Χριστῷ ἀφιερωμένοις*

P. 13 *(συνενομοθέτει δὲ αὐτῷ καὶ Κρίσπος ὁ υἱὸς αὐτοῦ)· δεύτερον δὲ Χριστιανοὺς μόνους [στρατεύεσθαι] ἐθνῶν τε καὶ στρατοπέδων ἄρχειν, τοὺς δὲ ἐπιμένοντας τῇ εἰδωλολατρείᾳ κεφαλικῶς τιμωρεῖσθαι· τρίτον τὰς πασχαλίους δύο ἑβδομάδας ἀπράκτους τελεῖν, τήν τε πρὸ τῆς ἀναστάσεως καὶ τὴν μετ' αὐτήν. τούτων οὕτως ἐχόντων, εἰρήνη βαθεῖα καὶ γαλήνη κατέσχε τὴν οἰκουμένην, καὶ ἀγαλλίασις τοὺς πιστούς, προστρεχόντων ὁσημέραι πάντων τῶν ἐθνῶν τῇ πίστει τοῦ Χρι-*

2. *ἀφορίσας* A, *καὶ ἀφορίσας* vulg. 5. *κακὸν* om. a. 6. *πέπαυται* A, *πέπαυσται* vulg. 7. h. l. in cod. A Metrophanes, Byzantii episcopus, primum notatur. *πάσης* A et alii, *κρατήσας* vulg. 10. *πρῶτον νόμον ἔγραψεν τοὺς* A a e, *πρὸς τὸν νόμον ἔγρ. πρῶτον τοὺς* vulg. 13. *μόνους* om. A, *μόνον* b. [*στρατεύεσθαι*] delendum esse videtur, aut fortasse scribendum: *στρατευομένων s. ἐν στρατείαις.* 18. *ἀγαλλίας* A. 19. *ὁσημέραι*] *ὡς ἡμέραι* A et alii, *ὡς ἡμέραν* vulg. *τοῦ* om. A.

A. C. 309 Hoc anno Licinio armorum socio, et religionem Christianam dolose simulanti sacratissimus Constantinus Romanorum ditionis partem administrandam assignavit: eodemque imperii collega renunciato, ne quid mali adversus Christianos moliretur, fidem exegit et pacta. ab hoc tempore tyrannorum adversum nos dei gratia cessavit persecutio.

A. C. 310 Hoc anno magnus Constantinus Romanae ditionis compos factus, et solus imperio potitus, curam omnem ad disponendas res divinas convertit, ecclesias construens, ipsasque ex publico censu liberaliter largeque ditans. hic legem scripsit, Crispo eius filio una cum eo sanciente, primum, idolorum templa viris Christo consecratis addicenda: secundum, soles Christianos in militiam ascribendos, ipsosque gentibus et exercitibus imperare: qui perstarent in idolorum cultu, capite mulctarentur: tertium, duas paschales hebdomadas, tum quae resurrectionem praecederet, tum quae sequeretur, ab omni opere feriari. his ita dispositis, profunda pax et iucunda tranquillitas, gentibus cunctis in dies ad Christi fidem studiose accedentibus et ba-

στοῦ καὶ βαπτιζομένων, καὶ τὰ πατρῷα εἴδωλα συνθλαττόντων. τὸν δὲ πῆχυν τῆς ἀναβάσεως τοῦ κατὰ τὴν Αἴγυπτον ποταμοῦ τοῦ Νείλου ἐν τῇ ἐκκλησίᾳ ἐνομοθέτησεν ἀναφέρεσθαι, καὶ οὐκ ἐν τῷ Σαραπείῳ, ὡς εἴθιστο τοῖς Ἕλλησι. B
Λικίνιος δὲ πρὸ τοῦ τελείως μανῆναι εἰς Ἀντιόχειαν ἐλθὼν Θεότεκνον γόητα καὶ τοὺς σὺν αὐτῷ μετὰ πολλὰς βασάνους ἀνεῖλε.

Τούτῳ τῷ ἔτει Λικίνιος ἤρξατο κατὰ Χριστιανῶν διε- A.M. 5811
γμὸν κινεῖν. καὶ πρῶτον μὲν τοὺς ἐν τῷ παλατίῳ Χριστιανοὺς ἐδίωξε, λήθην λαβὼν τῆς τῶν πρὸ αὐτοῦ τυράννων καθαιρέσεως καὶ τῶν πρὸς τὸν μέγαν Κωνσταντῖνον συνθηκῶν. γυναικομανῶν δὲ καὶ ἀδικῶν καὶ φονεύων Χριστιανοὺς οὐκ ἐπαύετο. τούτῳ διὰ γραμμάτων ὁ θεῖος Κωνσταντῖνος κελεύ- C
σας ἀποστῆναι τῆς μανίας οὐκ ἐπείσθη. οὗτος καὶ Βασιλέα τὸν ἐπίσκοπον Ἀμασείας, καί, ὥς τινές φασι, καὶ τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας, καὶ ἄλλους πολλοὺς διὰ βασάνων τελειωθῆναι ἐποίησε.

Βυζαντίου ἐπισκόπου β' Ἀλεξάνδρου ἔτος α'. A.M. 5812

Τούτῳ τῷ ἔτει Ἄρειος ὁ τῆς μανίας ἐπώνυμος ἐν Ἀλε- D
ξανδρείᾳ τὴν ἑαυτοῦ αἵρεσιν ἐπ' ἐκκλησίας ἐφανέρωσε, καὶ

3. τοῦ om. a. 4. Σεραπίῳ e, Σαράπιδι a. 5. μανῆσαι e, μανεῖσαι A. 11. τὸν μέγαν A, τῶν μέγα vulg. 13. θεῖος] μέγας a. 14. ἐπείσθη A, ἔπεισεν vulg. 15. Ἀμασείας A, Ἀμασίας vulg. ἁγίους add. ex A a, sed a om. τεσσαράκοντα. 19. Ἄρειος ὁ A, ὁ Ἄρειος vulg.

ptismo lustratis et patria confringentibus simulacra, universum orbem occupavit. mensuram quoque exundantis Nili, qui fluvius est in Aegypto, et aquae eius incrementorum, non iam amplius in Serapidos fanum, prout ethnicis pridem more receptum, sed in ecclesiam inferri sanxit. Licinius autem antequam insaniret penitus, Antiochiam adveniens, Theotecnum praestigiatorem una cum sociis post multos cruciatus interemit.

Hoc anno persecutionem adversus Christianos movere cepit Li- A. C. 311
cinius. et primo quidem praecedentium tyrannorum necis immemor, foederis quoque cum magno Constantino initi oblitus, Christianos omnes palatio expulit. circa insanos mulierum amores, tum scelera, et Christianorum caedes assidue versabatur: nec litteris magni Constantini iussus ab hacce vaecordia desisteret, morem gessit. hic Basileum Amaseae episcopum, et, ut quidam ferunt, quadraginta martyres, et plurimos alios tormentis consummari mandavit.

Byzantii episcopi 2. Alexandri annus primus. A. C. 312

Hoc anno Arius, ab insania nomen adeptus, in publico ecclesiae conventu excogitatam a se haeresim praedicavit: et opitulante ma-

σχίσμα εἰργάσατο, συνεργοῦντος αὐτῷ τοῦ πονηροῦ, μὴ φέροντος βλέπειν τὴν εἰρήνην τῆς ἐκκλησίας. ἐγένετο δὲ καὶ σεισμὸς ἐν Ἀλεξανδρείᾳ λαβρότατος, ὥστε πεσεῖν οἰκίας πολλὰς καὶ λαὸν πολὺν ὀλέσθαι.

A.M. 5813 V. 11 P. 14 Τούτῳ τῷ ἔτει μαθὼν ὁ μέγας Κωνσταντῖνος τὴν τοῦ Ἀρείου κίνησιν σφόδρα λυπηθείς, ἔγραψεν Ἀλεξάνδρῳ καὶ Ἀρείῳ κοινὴν ἐπιστολήν, συμβουλεύων καταλύσαι τὴν πονηρὰν κίνησιν καὶ εἰρηνεῦσαι εἰς ἀλλήλους. ἀπέστειλε δὲ καὶ Ὅσιον τὸν ἐπίσκοπον Κοδρούβης ἐν Ἀλεξανδρείᾳ περὶ Ἀρείου, καὶ ἐν τῇ ἀνατολῇ διορθωσόμενον τοὺς ἀνατολικοὺς ἐκ παλαιᾶς συνηθείας Ἰουδαϊκώτερον ἑορτάζοντας τὸ Πάσχα. ὑπέστρεψε δὲ ἄπρακτος πρὸς ἀμφότερα.

Τούτῳ τῷ ἔτει καὶ Κώνσταντα τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνος ὁ μέγας προεβάλλετο καίσαρα, καὶ ἀπέστειλεν ἐς Γαλλίας.

A.M. 5814 B Τούτῳ τῷ ἔτει, ὥς φασί τινες, Κωνσταντῖνος ὁ μέγας σὺν Κρίσπῳ τῷ υἱῷ αὐτοῦ ἐν Ῥώμῃ ὑπὸ Σιλβέστρου ἐβαπτίσθη, ὡς οἱ κατὰ τὴν πρεσβυτέραν Ῥώμην μέχρι σήμερον τὸν βαπτιστῆρα ἔχουσιν εἰς μαρτυρίαν, ὅτι ὑπὸ Σιλβέστρου

1. αὐτοῦ a. 2. καὶ add. ex A. 4. λαὸν πρὸς πολὺν ὀλέσαι A e. 10. διορθωσώμενον A a, διορθωσόμενος vulg. 12. δὲ om. A. 13. Κώνσταντα A, Κώνσταν vulg. 14. ἐς Γαλλίας A a e f, ἐν Γαλλίᾳ vulg. 16. in cod. a huic anno praemittitur haec inscriptio, quae etiam in marg. e legitur: πῶς ἐβαπτίσθη Κωνσταντῖνος ὁ βασιλεὺς ἐν τῇ Ῥώμῃ ὑπὸ Σιλβέστρου σὺν Κρίσπῳ τῷ υἱῷ αὐτοῦ. 17. ἐβαπτίσθη A et alii, ἐβαπτίσθησαν vulg. 18. ὡς οἱ A a e, ὅσοι vulg.

ligno spiritu perpetuo pacis ecclesiasticae adversario, schismatis auctorem se praebuit. horrendus autem terrae motus Alexandriae contigit, quo pleraque diruta aedificia, et innumera populi multitudo periit.

A. C. 313 Hoc anno magnus Constantinus cum Arii motum rescivisset et aegre ferret, ad Alexandrum et Arium, ut malignum omnem dissidii motum dissolverent et pacem inter se agerent, communem epistolam dedit. sed et eiusdem Arii causa Hosium Cordubensem episcopum misit Alexandriam, et mox in orientem, ad antiquam orientalium consuetudinem, qua Iudaico vicini ritui pascha celebrabant, emendandam. utraque tamen re infecta, reversus est.

Hoc eodem anno magnus Constantinus filium Constantem declaravit caesarem et in Galliam misit.

A. C. 314 Hoc anno, ut nonnulli referunt, magnus Constantinus cum Crispo filio Romae a Sylvestro baptizatus est: prout ad hanc usque diem veteris Romae incolae baptisterium eius servant, in testimonium

ἐν Ῥώμῃ ἐβαπτίσθη, μετὰ τὴν ἀναίρεσιν τῶν τυράννων. οἱ δὲ κατὰ τὴν ἀνατολὴν ἐν Νικομηδείᾳ φασὶν αὐτὸν περὶ τὸν θάνατον ὑπὸ Εὐσεβίου τοῦ Νικομηδέως Ἀρειανοῦ βεβαπτίσθαι· ἔνθα καὶ ἔτυχεν αὐτὸν κοιμηθῆναι. ἀναβαλλόμενος γὰρ ἦν τὸ βάπτισμα, φασίν, ἐλπίζων ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι ποταμῷ. ἐμοὶ δὲ ἀληθέστερον φαίνεται, τὸ ὑπὸ Σιλβέστρου ἐν Ῥώμῃ βεβαπτίσθαι αὐτόν, καὶ τὰς ἐπ' ὀνόματι αὐτοῦ φερομένας διατάξεις πρὸς Μιλτιάδην πεπλασμένας εἶναι τοῖς Ἀρειανοῖς, δόξαν ἐντεῦθεν περιποιῆσαι σπουδάζουσιν ἑαυτοῖς, ἢ τὸν εὐσεβῆ βασιλέα κακίζειν ἐθέλουσιν, ἀβάπτιστον δεικνύντες ἐντεῦθεν, ὅπερ ἄτοπον καὶ ψευδές. εἰ γὰρ οὐκ ἦν βεβαπτισμένος ἐν τῇ κατὰ Νικαίαν συνόδῳ, λοιπὸν οὐδὲ μετελάμβανε τῶν θείων μυστηρίων, οὐδὲ συνήρχετο τοῖς ἁγίοις πατράσιν, ὅπερ ἀτοπώτατόν ἐστι καὶ λέγειν καὶ φρονεῖν. ἄλλοι δὲ Ἀρειανοὶ καὶ Ἕλληνες ὡς νόθον διαβάλλουσι τὸν μέγαν Κωνσταντῖνον· ψεύδονται δὲ καὶ οὗτοι. ἡ γὰρ γενεαλογία αὐτοῦ βασιλικὴ ὑπῆρχε καὶ πρὸ Διοκλητιανοῦ. ὁ γὰρ πατὴρ αὐτοῦ Κωνστάντιος θυγατριδοῦς ἦν Κλαυδίου τοῦ βασιλέως, καὶ ἐξ Ἑλένης τῆς πρώτης αὐτοῦ γυναικὸς ἔσχε

2. περὶ] κατὰ a e. 4. αὐτὸν om. a. 5. τὸ βάπτ. A, τῷ β. vulg. φησὶν A. Ἰορδάνῃ A, Ἰορδάνει vulg. 6. ἀληθέστερον A, τὸ ἀληθὲς vulg. τὸ add. ex A. 9. περιποιῆσαι A, περιποιεῖσθαι vulg. 10. τὸν εὐσεβῆ A a, τὸν πανευσεβῆ vulg. 11. δείκνυσιν a. 13. συνήρχετο A e, συνήχετο vulg. 14. ἄτοπον A. 15. δὲ om. A. διαβάλλουσι A, διαβάλλονται vulg. 16. ἡ γὰρ A et alii, καὶ γὰρ ἡ vulg. 18. θυγατρίδης Par. 19. ἐξ Ἑλένης τῆς b, Ἑλ. ἐκ τῆς vulg.

et fidem, post tyrannorum necem eum a Sylvestro Romae fuisse baptizatum: alii in oriente, Nicomediae videlicet, ab Eusebio Nicomediae praesule, Arianae partis fautore, circa mortis tempus baptismo lustratum asserunt: quo loco eundem obdormisse contigit. differebat enim, ut aiunt, Iordanis fluento se tingendum sperans. mihi sane tanquam pro vero compertum est eum a Sylvestro Romae baptizatum: perindeque constitutiones ad Miltiadem eius nomine vulgatas ab Arianis conflictas apud me indubium. hinc vel suum facere student, vel certe piissimum imperatorem infamare conantur, absque baptismate eum decessisse declarantes, quod absurdum est et a vero alienum. nondum enim lustratus si Nicaenae interfuisset synodo, sane neque divinorum mysteriorum extitisset particeps neque omnino cum sanctis patribus convenisset: id vero dicere, nedum sentire, iniquissimum est. alii vero Ariani et ethnici, velut spurium calumniantur magnum Constantinum: at mentiuntur et ipsi, regia siquidem est eius familia, et ante Diocletianum nobilis. pater quippe Con-

τὸν μέγαν Κωνσταντῖνον. εἶχε δὲ καὶ ἄλλους υἱοὺς ἐκ Θεοδώρας τῆς θυγατρὸς Μαξιμιανοῦ τοῦ Ἐρκουλίου, ἀδελφῆς δὲ Μαξεντίου, τοῦ κατὰ τὴν Ῥώμην τυραννήσαντος, καὶ ἀναιρεθέντος ὑπὸ Κωνσταντίνου περὶ Μουλνῖαν τὴν γέφυραν, ὅτε καὶ τὸ τοῦ σταυροῦ σημεῖον ἐθεάσατο ἐν τῷ οὐρανῷ, καὶ Φαύστας τῆς γαμετῆς τοῦ μεγάλου Κωνσταντίνου. καὶ μηδεὶς θαυμαζέτω, εἰ πρὸ τοῦ βαπτίσματος ἑλληνίζοντες δύο ἀδελφὰς ἔγημαν ὁ πατὴρ καὶ ὁ υἱός. εἰσὶ δὲ αἱ γενέσεις αὐτῶν οὕτως, ὡς ὑποτέτακται.

2. Μαξιμιανοῦ A, τοῦ Μαξ. vulg. 4. Μουλνῖαν b, Μουλαίαν vulg. 8. ἔγημαν A b, ἔγημον vulg.

stantius Claudii imperatoris nepos extitit, et ex priore cum Helena coniuge connubio suscepit magnum Constantinum. habuit et alios filios ex Theodora, Maximiani Herculii filia et Maxentii (qui diram Romae tyrannidem exercuit, et ad Milvium pontem a Constantino fuit occisus, cum crucis signum in caelo conspexit) sorore, sorore item Faustae, magni Constantini coniugis. nullus autem miretur patrem et filium ethnico ritu viventes duas sorores in matrimonium sibi copulasse. haec vero est stirpis eorum series, prout subiicitur:

Κωνστάντιος ὁ μέγας ἐκ Θεοδώρας Ἐρκουλίου θυγατρὸς γεννᾷ. P. 15 V. 12

Κωνστάντιον πατέρα Γάλλου Δαλματίου, ἐξ οὗ Ἀναβάλλινόν τε καὶ Γάλλον, Κωνσταντίαν γαμετὴν Λικινίου.

Δαλμάτιος ὁ νέος Ἰουλιανοῦ τοῦ παραβάτου.

Ἐκ δὲ Ἑλένης γεννᾷ Κωνστατῖνον τὸν μέγαν καὶ μόνον.

Ὁ δὲ μέγας Κωνσταντῖνος ἐκ Φαύστας θυγατρὸς Ἐρκουλίου γεννᾷ B

Κρίσπον, Κωνσταντῖνον, καὶ Ἑλένην γαμετὴν Ἰουλιανοῦ τοῦ παραβάτου, Κωνσιάντιον, Κώνσιαντα.

4. Ἀναβάλλιον codd. et edd. v. supra p. 14, 11.

Constantius magnus ex Theodora Herculii filia genuit

Constantium patrem Galli Dalmatii, ex quo Anaballinum et Gallum. Constantiam uxorem Licinii.

Dalmatius iunior Iuliani praevaricatoris P.

Ex Helena vero genuit magnum Constantinum solum.

Magnus vero Constantinus ex Fausta Herculii filia genuit

Crispum, Constantinum, et Helenam uxorem Iuliani praevaricatoris, Constantium, Constantem.

A.M. 5815 Τούτῳ τῷ ἔτει ἰδὼν Κωνσταντῖνος ὁ εὐσεβὴς Λικίνιον
C μανικώτερον τῷ διωγμῷ χρώμενον, καὶ ἐπιβουλὴν κατὰ τοῦ
εὐεργέτου μελετῶντα, ὁπλίζεται κατ' αὐτοῦ διὰ ξηρᾶς καὶ
θαλάσσης· καὶ δὴ πολέμου δημοσίου κροτηθέντος κατὰ τὴν
Βιθυνίαν, ζῶν συλλαμβάνεται ἐν Χρυσοπόλει, καὶ εἰς τὰς
χεῖρας Κωνσταντίνου παραδίδοται. ὁ δὲ τῇ συνήθει φιλαν-
θρωπίᾳ χρησάμενος, χαρίζεται αὐτῷ τὴν ζωήν, καὶ εἰς Θεσ-
σαλονίκην τοῦτον ἐκπέμπει φρουρεῖσθαι. μετ' οὐ πολὺ δὲ
βαρβάρους μισθωσάμενος νεωτερίζειν ἤμελλεν, εἰ μὴ προ-
γνοὺς τοῦτο ὁ πρώτατος Κωνσταντῖνος διὰ ξίφους τοῦτον
ἀποτμηθῆναι ἐκέλευσε· καὶ οὕτως λοιπὸν τελείας ἀπήλαυσε
D γαλήνης τὰ πράγματα τῆς Χριστιανῶν πολιτείας τῇ δυνάμει
τοῦ ζωοποιοῦ σταυροῦ, γεγονότων ἐκποδὼν τῶν τυράννων,
καὶ μόνου κρατήσαντος τοῦ θεοσυνεργήτου Κωνσταντίνου τῆς
τῶν Ῥωμαίων ἀρχῆς. καταστήσας οὖν τοὺς ἰδίους παῖδας
καίσαρας ἀπήλαυσεν εἰρήνης. ἦν δὲ ὁ ἀνὴρ εἰς τὰ πάντα
λαμπρός, δι' ἀνδρείαν ψυχῆς, δι' ὀξύτητα νοός, δι' εὐπαιδευ-
σίαν λόγων, διὰ δικαιοσύνης ὀρθότητα, δι' εὐεργεσίας ἑτοι-
μότητα, δι' ἀξιοπρέπειαν ὄψεως, διὰ τὴν ἐν πολέμοις ἀνδρείαν
καὶ εὐτυχίαν, ἐν τοῖς βαρβαρικοῖς μέγας, ἐν τοῖς ἐμφυλίοις

1. ἰδὼν A, ὁρῶν vulg. 3. διὰ ξηρᾶς A, διά τε ξ. vulg. 6. παρατίθεται f. τῇ add. ex A. 9. προγνοὺς γνοὺς A. 10. τοῦτον om. A. 11. ἀπήλαυσε A, ἀπέλαυσε vulg. 14. τοῦ θεοσυνεργήτου Κωνστ. A f, τῇ θεοῦ συνεργείᾳ τοῦ Κ. vulg. 15. τῶν add. ex A. καταστήσαντος A f. ἰδίους A, οἰκείους vulg. 16. ὁ ἀνὴρ εἰς τὰ πάντα A, ἀνὴρ τὰ πάντα vulg. 20. εὐτυχίαν A f, εὐφυΐαν alii, εὐψυχίαν vulg.

A.C. 315 Hoc anno maiori cum insania Licinium adversus Christianos persecutionem moventem et in se benefactorem molientem insidias pius Constantinus cernens, terra marique in ipsum arma parat: iamque bello civili moto, vivus in Bithynia ad Chrysopolim captus Licinius, in Constantini manus traditur. ille innata sibi mansuetudine ductus, vitam largitur, et Thessalonicam custodiendum ablegat. sed cum paulo post barbaris mercede conductis rebus novis studeret, hoc praeviso, clementissimus Constantinus gladio caput amputari praecepit: hocque demum pacto perfectae tranquillitatis Christianae reipublicae status compos est effectus, sublatis per vivificae crucis potentiam tyrannis et adnitente dei subsidio, commissis soli Constantino totius Romani imperii habenis. propriis igitur filiis in caesares promotis, pace potitus est. extitit vir per omnia insignis, tam animi robore, quam ingenii acumine, orationis doctrina et copia praestans, iuris et aequi amator, ad beneficia promptus, facie decora cum maiestate nitens, fortis et generosus in bellis, et in externis quidem adver-

ἀήττητος, ἐν τῇ πίστει στερρὸς καὶ ἀσάλευτος. ὅθεν καὶ κατὰ πάντων τῶν πολεμίων ἀπηγάγετο τῇ εὐχῇ τὴν νίκην. διὸ καὶ κυριακὰ πρὸς ἐπιστροφὴν τῶν ἐθνῶν κατὰ τόπους εἰς τιμὴν τοῦ Θεοῦ πεποίηκεν. P. 16

Τῷ δ' αὐτῷ ἔτει καὶ Μαρτῖνος ἐσφάγη τυραννήσας μῆνας τρεῖς. καὶ Λικινιανὸς υἱὸς Λικινίου ὁ καῖσαρ ἀπεδύθη ὑπὸ Κωνσταντίνου.

Τῷ δ' αὐτῷ ἔτει Ναρσῆς ὁ υἱὸς τοῦ τῶν Περσῶν βασιλέως κατέδραμε τὴν Μεσοποταμίαν, καὶ λαμβάνει πόλιν Ἀμιδαν. τούτῳ Κωνσταντῖνος ὁ καῖσαρ, Κωνσταντίνου παῖς, πολεμεῖ, καὶ παίσας ὀλίγον, τέλος οὕτω τῆς μάχης ἐκράτησεν, ὡς καὶ αὐτὸν ἀνελεῖν τὸν Ναρσῆν. B

Τούτῳ τῷ ἔτει ἡ εἰκοσαετηρὶς τοῦ Κωνσταντίνου τοῦ Αὐγούστου βασιλείας ἐτελέσθη. καὶ ἐγένετο ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος τῶν τιη πατέρων, ὧν οἱ πολλοὶ θαυματουργοί τε καὶ ἰσάγγελοι ὑπῆρχον, τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματι φέροντες ἐκ τῶν προλαβόντων διωγμῶν· ἐν οἷς καὶ Παφνούτιος, καὶ Σπυρίδων, καὶ Μακάριος, καὶ ὁ Νισιβῖνος Ἰάκωβος, θαυματουργοί, καὶ νεκροὺς A.M. 5816 V. 13 C

1. καὶ add. ex A. 7. Κωνσταντίνου A b f, Κωνσταντίου vulg. 10. Κωνσταντῖνος A, Κωνστάντιος vulg. 13. ἡ om. A. εἰκοσαετηρὶς a b c d e f. τοῦ add. ex A. 14. ἐτελέσθη A, ἐτελειώθη vulg. ἁγία καὶ οἰκ. A, ἁγία οἰκ. vulg. 18. καὶ post οἷς add ex. A. καὶ Μακ. A, καὶ ὁ Μ. vulg. 19. Νησιβῖνος καὶ Ἰάκ. A.

sus barbaros motis excelsus, in domesticis vero invictus: in fide adeo stabilis et inconcussus, ut ab hostibus cunctis vel solis orationibus victoriam referret. eam ob rem templa, quae dominica dicimus, ad ethnicorum conversionem per loca in dei honorem extruxit.

Eodem anno Martinus, exercita per tres menses tyrannide, occisus est: et Licinianus Licinii filius caesaris insignibus a Constantino exutus.

Eodem quoque anno Persarum regis filius Narses, in Mesopotamiam excursionibus factis, urbem Amidam coepit. Constantinus caesar Constantini filius cum eo congreditur, et adversa suo vitio fortuna aliquantum usus, demum ita superior in pugna evasit, ut profligatum Narsem interemerit.

Hoc anno vicennalia Constantini Augusti celebrata, et sancta universalis prima synodus trecentorum decem et octo patrum habita, quorum plurimi miraculorum patratores et meritis angelis aequales, ex praeviis persecutionibus Christi stigmata in corpore circumferebant: inter quos praecipui Paphnutius, Spiridon, Macarius et Nisibinus Iacobus, prodigiorum opifices, qui mortuos etiam suscitarant ad A. C. 316

ἀναστήσαντες καὶ πολλὰ παράδοξα ποιήσαντες. τῆς δὲ ἁγίας συνόδου ἐν Νικαίᾳ τῆς Βιθυνίας γενομένης, ἐξῆρχον αὐτῆς Μακάριος ὁ Ἱεροσολύμων καὶ Ἀλέξανδρος Ἀλεξανδρείας, ὑπὲρ δὲ τοῦ Ῥώμης Βίτων καὶ Βικέντιος παρῆσαν. τῆς δὲ Ἀντιοχέων ἐκκλησίας χηρευούσης, ἡ σύνοδος Εὐστάθιον ἐνύρωσε τὸν ἐπίσκοπον Βερροίας τῆς Συρίας. Ἀλέξανδρος δὲ ὁ τοῦ Βυζαντίου οὐ παρῆν ἐν τῇ συνόδῳ διὰ γῆρας βαθύτατον, καὶ ἀσθένειαν σώματος· πρεσβύτεροι δὲ αὐτοῦ τὸν τόπον ἀνεπλήρωσαν· τότε καὶ Παῦλος ὁ Νεοκαισαρείας παρῆν τῇ συνόδῳ, καὶ ἄλλο πλῆθος ἁγίων ἀνδρῶν βίῳ καὶ λόγῳ διαπρεπόντων, περὶ ὧν μεγάλους ἐπαίνους ἐν τῷ τρίτῳ λόγῳ τῷ εἰς τὸν βασιλέα Εὐσέβιος ὁ Παμφίλου ἔγραψε. πᾶσι δὲ τὰ πρὸς τὴν χρείαν δαψιλῶς ὁ Χριστιανικώτατος βασιλεὺς ἐχορήγει. αὕτη ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος συνεργείᾳ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος Ἄρειον καθεῖλε καὶ τοὺς ὁμόφρονας αὐτοῦ· Εὐσέβιον τὸν Νικομηδείας καὶ τοὺς περὶ αὐτόν, χωρὶς Εὐσεβίου τοῦ Παμφίλου, συνθεμένου τῇ φωνῇ
P. 17 τοῦ ὁμοουσίου πρὸς τὸ παρόν, καὶ τούτους ἐξορίαις παρέπεμψε, συμπαρόντος αὐτοῖς καὶ τοῦ πανευφήμου βασιλέως Κωνσταν-

3. Μακάριος ὁ Ἱερ. A, ὁ Μακ. Ἱερ. vulg. καὶ add. ex A a. 4. Βίτων A b, Βῆτος vulg. 5. χηρευούσης A et alii στερευούσης vulg. 6. Βερρόίας A et alii Βερροίης vulg. Ἀλέξανδρος] Μητροφάνης A e f. 9. καὶ Παῦλος A, καὶ ὁ Π. vulg. 13. τὴν om. A. 15. post καθεῖλε a add. καὶ Θεόγνιον τὸν Νικαίας. 16. αὐτῷ a. 18. ἐξορίαις A, ἐξορίᾳ vulg.

vitam aliaque id genus supra hominum fidem miranda ediderant. sancta itaque synodo Nicaeae Bithyniae celebrata, praesides eius consederunt Macarius Hierosolymorum et Alexander Alexandriae antistites: vice autem Romani Biton et Vincentius adfuere: vidua vero pontifice Antiochensium ecclesia, synodus Eustathium confirmavit Berrhoeae in Syria episcopum. Alexander demum Byzantii praesul ob extremam senectutem et corporis invaletudinem synodo non interfuit: presbyteri tamen ipsius locum tenuerunt. tunc etiam Paulus Neocaesareae episcopus venit ad synodum, et sanctorum virorum moribus et doctrina praestantium multitudo, quorum eximias laudes tertia in imperatorem oratione Eusebius Pamphili conscripsit: cunctis autem quae necessitas postulabat Christianissimus imperator liberaliter suppeditabat. sancta haec et universalis synodus sanctae et consubstantialis trinitatis auxilio Arium et eius sententiae sectatores damnavit: Eusebium Nicomediae et adiunctos ei socios, dempto tamen Eusebio Pamphili, qui quoad illud tempus homousii vocabulo praebuit assensum, communione interdictos misit in exilium, sancita cuncta laudatissimo imperatore Constantino sua praesentia firmante, omnibusque quae deo forent consona opitulante: insuper

τίνου καὶ συνεργοῦντος ἐν πᾶσι τοῖς κατὰ θεόν, ἄλλους τε
ἀντ' αὐτῶν χειροτονηθῆναι ἐκέλευσε, πίστεώς τε ἔκθεσιν
ἔγγραφον ἐξήνεγκε, τὴν κατὰ πᾶσαν ἐκκλησίαν ὀρθοδόξων
νῦν ἀπαγγελλομένην. τότε Ἀρείου τοῦ δυσσεβοῦς παρόντος
ἐν τῇ συνόδῳ καὶ κρινομένου, Εὐσέβιος ὁ Νικομηδείας, καὶ
Θεόγνις, καὶ Μάρις, καὶ Νάρκισσος, καὶ Θεόφαντος, καὶ
Πατρόφιλος ἀντεποιοῦντο Ἀρείου, οἳ συντάξαντες πίστεως
λόγον βλάσφημον ἐπέδωκαν τῇ συνόδῳ. τοῦ δὲ διαρρηχθέν-
τος, οἱ πεποιηκότες τοῦτον ἀντιστραφέντες κατεδίκασαν B
Ἄρειον χωρὶς Σεκούνδου Πτολεμαΐδος τῆς Αἰγύπτου, καὶ
Θεωνᾶ τοῦ Μαρμαρικῆς, ὧν ἐκβληθέντων σὺν Ἀρείῳ καὶ
ἀναθεματισθέντων, τὸ ἅγιον σύμβολον τῆς πίστεως ἀνηγόρευ-
σαν, ὑπογράψαντες ἅπαντες σὺν τῷ πανσεβασμίῳ βασιλεῖ,
καὶ εὐφήμησαν, καὶ οὕτως διελύθη ὁ σύλλογος.

Τούτῳ τῷ ἔτει Κρίσπος ὁ υἱὸς τοῦ βασιλέως Χριστια-
νὸς ἐκοιμήθη· καὶ τὸ Βυζάντιον ἤρξατο κτίζεσθαι.

Συνέστη οὖν ἡ ἁγία καὶ οἰκουμενικὴ πρώτη σύνοδος τῇ
δωδεκάτῃ ἰνδικτίωνι ἔτει εἰκοστῷ τοῦ μεγάλου Κωνσταντίνου, V. 14
μηνὶ Μαΐῳ κ΄. ἔγραψε δὲ ἐπιστολὴν ἐγκύκλιον ἡ σύνοδος ἐν C
Ἀλεξανδρείᾳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει, δι' ἧς ἐδήλωσε
τὴν ἐκβολὴν Ἀρείου, καὶ Σεκούνδου, καὶ Θεωνᾶ· ἐσήμανε

6. *Μάιρις* A et alii, *Μάρης* vulg. 11. *Μαρμαρίκης* A. 12. *ὑπηγόρευσαν* A. 13. *πανσεβασμίῳ* A, *σεβ.* vulg. 19. *δὲ* A, *δὴ* vulg.

alios in abdicatorum locum instituit ordinari: ac demum, quae nunc per omnem orthodoxorum ecclesiam publicatur, scriptis mandatam fidei expositionem evulgavit. cum vero impius Arius ad ipsam praesens astaret et examinaretur, Eusebius Nicomediae, Theognis, Maris, Narcissus, Theophantus et Patrophilus, blasphemo fidei libello composito synodoque tradito, partem eius suscepere defendendam: quo in frusta conciso, eius auctores, mutata sententia, damnaverunt Arium, excepto Secundo, Ptolemaidis Aegypti, et Theona, Marmarices episcepis: quibus mox cum Ario eiectis et anathemate percussis, una cuncti cum augustissimo imperatore subscribentes, sanctum fidei symbolum, felicibus etiam precationibus et acclamationibus additis, publicaverunt: atque ita conventus solutus est.

Hoc anno Crispus imperatoris filius Christianus effectus decessit: et Byzantium coepit condi.

Coacta est sancta et universalis prima synodus duodecima indictione, anno magni Constantini vigesimo, mensis Maii die pariter vigesimo. circularem autem epistolam in Alexandriam, Libyam et Pentapolim synodus misit, qua Arii, Secundi et Theonae depulsionem declaravit: de Meletio item, ut se quiete in propria civitate con-

δὲ καὶ περὶ Μελετίου, ὥστε ἰδιάζειν ἐν τῇ ἰδίᾳ πόλει ἡσυχάζοντα· τοὺς δὲ ὑπ' αὐτοῦ χειροτονηθέντας μυστικωτέρᾳ χειροτονίᾳ βεβαιοῦσθαι. ἔγραψε δὲ καὶ περὶ τοῦ Πάσχα μηκέτι μετὰ Ἰουδαίων αὐτὸ ποιεῖν, ἀλλὰ τῷ κατὰ Ἰταλίαν τύπῳ κατὰ τὴν κυριακὴν μᾶλλον ἡμέραν ἑορτάζοντας. ὁμοίως καὶ ὁ πανευσεβὴς βασιλεὺς ἐπιστολὰς ἔγραψε πανταχοῦ τὰ αὐτὰ κελευούσας καὶ βεβαιούσας τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκφωνηθέντα, καὶ Ἄρειον ἅμα τοῖς ὁμόφροσιν αὐτοῦ ἀποκηρύττων, Πορφυριανούς τε αὐτοὺς ὀνομάζεσθαι, καὶ τὰ συγγράμματα αὐτῶν κατακαίεσθαι, καὶ τοὺς μὴ τοῦτο ποιοῦντας θανατοῦσθαι· ἐξέθετο δὲ καὶ νόμον βασιλικὸν οὕτω ταῦτα γίνεσθαι. τῆς δὲ ἑορτῆς ἐνστάσης κατ' αὐτὸ τῆς εἰκοσαετηρίδος τῆς αὐτοῦ βασιλείας, πάντας τοὺς πατέρας εἰς ἑστίασιν προετρέψατο, συγκατακλιθεὶς αὐτοῖς καὶ λαμπρῶς τιμήσας αὐτούς· Παφνουτίου δὲ καὶ τῶν ὁμοίων ὁμολογητῶν τοὺς ἐξορυχθέντας ὀφθαλμοὺς καὶ τὰ πηρωθέντα μέλη ἐν τῷ διωγμῷ κατεφίλει, ἁγιασμὸν ἐξ αὐτῶν ποριζόμενος. παρῄνει δὲ πᾶσι τοῖς ἐπισκόποις εἰρήνην ἄγειν, καὶ τῶν κατὰ τοῦ πλησίον λοιδοριῶν ἀπέχεσθαι. τοὺς δὲ λιβέλλους, οὓς κατ' ἀλλήλων τινὲς ἐκδεδώκασι, πυρὶ κατέκαυσεν, ὅρκῳ βεβαιῶν,

D P. 18

2. ὑπ' αὐτοῦ A, ὑπ' αὐτὸν vulg. 7. κελευούσας καὶ βεβ. A, βεβαιούσας, καὶ κελεύσας vulg. 8. ἀποκηρυττούσας a. 14. προετρ. — λαμπρῶς om. A f. προτιμήσας A. 15. δὲ] τε A. 18. ἄγειν om. b. 20. ἐκδεδώκασι] ἐπιδεδ. A a f, ἐξεδώκασι vulg.

tineret, et qui ab eo electi erant, alia secretiori ordinatione confirmarentur, significavit. de paschate praeterea, ne amplius ritu Iudaico celebraretur, sed iam per Italiam recepto more dominico magis die festive coleretur, edixit. pari quoque modo litteras in provincias piissimus imperator misit, quibus cuncta, quae a s. synodo fuerant pronunciata, probarentur et nunciarentur exequenda; Ariumque una cum sectae asseclis ab ecclesia proscripsit; eos Porphyrianos vocari, libros eorum igne consumi, et qui non acquiescerent, morti tradi decrevit: et super his omnibus demum imperatorium promulgavit edictum. instante vero sub id tempus vicennalis eius imperii die festo, cunctis patribus ad epulum invitatis, una et ipse accubuit: et splendide et cum honore cunctos excipiens, Paphnutii et sociorum confessorum effossos in persecutione oculos et mutilata membra, quasi sanctimoniam in se exinde derivaturus, exosculabatur. cunctos deinde episcopos hortabatur ad concordiam, et ut a proximorum criminibus deferendis absisterent: libellos autem, quos adversus invicem nonnulli dederant, igne consumpsit: hoc addito sacramento firmans, quod si adulterantem episcopum cerneret, ipse propria purpura libenter tegeret. donis denique

ὡς εἰ ἴδοι ἐπίσκοπον μοιχεύοντα, τῇ πορφυρίδι σκέπειν αὐτὸν προθύμως. πολλὰ δὲ πάσαις ταῖς ἐκκλησίαις δωρησάμενος, καὶ τοῖς ἄρχουσι τῶν ἐθνῶν τιμᾶν τοὺς ἱερεῖς παρακελευσάμενος, χαίροντας ἅπαντας ἐξαπέστειλε. τοῦ δὲ βασιλέως ὑπὸ σοφῶν Ἑλλήνων ὀνειδισθέντος ἐν Βυζαντίῳ, ὡς οὐ πράττει καλῶς παρὰ τὰ ἔθη τῶν βασιλέων Ῥωμαίων νεωτερίζειν τὴν θρησκείαν, ἔδοξε τῷ βασιλεῖ ἕνα τῶν φιλοσόφων Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦτον πρὸς τὸ διαλεχθῆναι μετ' αὐτοῦ παραπέμψαι. ὁ δὲ Ἀλέξανδρος θεῖος μὲν ἦν ἀνήρ, B λόγων δὲ ἄπειρος. εἶπε δὲ τῷ διαλεκτικῷ φιλοσόφῳ γλωσσαλγοῦντι, ἐπιτάττω σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ σιωπᾶν, καὶ μὴ φθέγγεσθαι. ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη, καὶ γέγονεν ἄλαλος. τῷ δὲ ἐπισκόπῳ Ἱεροσολύμων Μακαρίῳ παρόντι ἐν τῇ συνόδῳ προσέταξεν ὁ βασιλεὺς ἐπανιόντι ἐρευνῆσαι τὸν τόπον τῆς ἁγίας ἀναστάσεως, καὶ τὸν τοῦ κρανίου Γολγοθᾶ, καὶ τὸ ζωοποιὸν ξύλον. τῷ δ' αὐτῷ ἔτει Ἑλένην τὴν θεόφρονα αὐτοῦ μητέρα ἔστεψε, καὶ μονῆταν ὡς βασιλίδι ἀπένειμεν. αὕτη δὲ ὀπτασίαν ἑώρακε κελεύουσαν αὐτῇ καταλαβεῖν τὰ Ἱεροσόλυμα, καὶ τοὺς ὑπὸ τῶν ἀνόμων καταχωσθέντας θείους τόπους εἰς φῶς ἀγαγεῖν. ἣ C

1. σκέπειν αὐτὸν A, σκέπτειν τοῦτον vulg. 6. πράττει A, πράττοι vulg. 7. καὶ ἔδοξε A. 11. τοῦ ἀληθ. θεοῦ A, τ. ἀλ. ἡμῶν θεοῦ vulg. 13. ἐφιμώθη: sic rescripsi ex coniectura pro vulg. ἐφημώθη etc. infra p. 46, 14. 15. τὸν τοῦ A, τὸ τοῦ vulg. 17. Ἑλένην A, τὴν Ἑλ. vulg. μονῆταν b, μονίταν vulg. 19. αὐτῇ A, αὐτὴν vulg. τῶν om. A.

immensis per omnes ecclesias distributis, provinciarum praesidibus, ut sacerdotes colerent, praecepit; laetos tandem omnes dimisit. cum autem ethnici philosophi probris imperatorem Byzantii onerarent, quod praeter Romanorum imperatorum mores, communi religione innovata, prave se gereret; e philosophorum grege selectum unum cum Alexandro episcopo in disputationis certamen committere placuit. Alexander vero vir quidem divinus erat, sed ingenio ac litteris rudis. hic versatissimo in dialecticae praeceptis philosopho, linguaeque lascivia laboranti, te, inquit, in nomine Iesu Christi veri nostri dei silere iubeo, et conticescere. eo dicto obmutuit ille et loquelae factus est expers. Macario praeterea Hierosolymorum episcopo, qui concilio interfuit, mandavit imperator, ut reversus sanctae resurrectionis locum, et Calvarii Golgotham, et vivificum crucis lignum requireret. eodem quoque anno matrem Helenam mulierem divino sensu praeditam coronavit Constantinus, et ut imperatrix monetam suo charactere cusam distribueret, donavit. ostentum autem vidit iubens eam Hierosolymam proficisci, et divina loca sub terram ab impiis et profanis defossa in lucem educere.

δὲ τὸν παῖδα Κωνσταντῖνον ᾐτήσατο τὰ θεόθεν αὐτῇ κελευσθέντα πληρῶσαι. ὁ δὲ τὴν ὑπακοὴν πεποίηκε. θείῳ δὲ νεύματι κινούμενος ὁ εὐσεβὴς Κωνσταντῖνος πόλιν εἰς ἴδιον ὄνομα κτίσαι βουληθεὶς ἐν τῷ πρὸ τοῦ Ἰλίου πεδίῳ, ὑπὲρ τὸν Αἴαντος τάφον, οὗ δή φασι τὸν ναύσταθμον ἐσχηκέναι τοὺς ἐπὶ Τροίαν στρατεύσαντας Ἕλληνας, θεὸς δὲ κατ' ὄναρ αὐτῷ ἐκέλευσεν ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν Κωνσταντινούπολιν· ἣν καὶ φιλοτίμως δειμάμενος οἴκοις περιφανέσι, τοὺς ἀπὸ Ῥώμης ἀξιολόγους μετῴκισε, καὶ ἐξ ἄλλων τόπων κατὰ
V. 15 γένος ἐπιλεξάμενος, καὶ οἴκους μεγάλους αὐτοῖς χαρισάμενος, οἰκῆσαι τὴν πόλιν πεποίηκε. τότε δὴ τὸν ναὸν τῆς
D ἁγίας Σοφίας, καὶ τῆς ἁγίας Εἰρήνης, καὶ τῶν ἀποστόλων, καὶ τοῦ ἁγίου Μωκίου, καὶ τοῦ ἀρχαγγέλου ἐν τῷ Ἀνάπλῳ ὁ φιλόχριστος βασιλεὺς ᾠκοδόμησε· τοὺς δὲ τῶν εἰδώλων εἰδωλικοὺς ναοὺς καταλύεσθαι προσέταξε, καὶ ἐκκλησίας οἰκοδομεῖσθαι. τότε κατεσκάφη ὁ ἐν Αἰγαῖς Ἀσκληπιοῦ ναός, καὶ ὁ ἐν Ἀφάκοις τῆς Ἀφροδίτης, καὶ πολλοὶ ἕτεροι· καὶ τὰς τούτων προσόδους ταῖς ἐκκλησίαις ἐδωρήσατο. τότε πολλὰ ἔθνη τῷ βαπτίσματι προσῆλθον τοῖς θαύμασι τοῖς γενομένοις ὑπὸ τῶν αἰχμαλώτων τῶν ἐπὶ Γαλιηνοῦ τοῦ βασιλέως αἰχμαλωτισθέντων
ἱερέων πρότερον ἐκ τῶν ἐπιδραμόντων τοῖς Ῥωμαίοις Γοτθῶν
P. 19 καὶ Κελτῶν καὶ Γαλατῶν τῶν ἑσπερίων. καὶ νῦν δὲ ἐπὶ τοῦ

2. δὲ alterum add. ex A et aliis. 8. καὶ add. ex A. 9. μετῴκησε vulg. 10. ἐκλεξάμενος a. 16. ἐν Αἰγαῖς] ἐναγὴς a.

tunc ipsa filium Constantinum rogat, ut divinitus sibi imposita munera adimpleret. ille divino nutu concitatus, matri morem gessit. pius idem Constantinus urbem suo de nomine condere volens, in planitie, quae Ilio subiacet ad Aiacis tumulum, ubi Graecos ad Troianam expeditionem profectos navium stationem habuisse ferunt, iussus est in somnis a deo Byzantii, quae nunc Cpolis, illud moliretur opus. urbe igitur praeclaris aedificiis extructa, viros dignitate praecipuos ab urbe Roma aliisque subinde locis selectos illuc transtulit, et, praeclaris habitationibus assignatis, urbem praecepit incolere. eo tempore sanctae Sophiae, sanctae Irenes, apostolorum, sancti Mocii et archangeli ad locum, qui Anaplus dicitur, templa Christi amans imperator extruxit: profanaque idolorum fana deiici, et ecclesias aedificari iussit. tunc templum Aesculapii ad Aegas, et Veneris in Aphacis, et alia plurima sunt eversa, atque illorum reditus ecclesiae addicti. sub hoc idem tempus multae gentes ad baptismum accesserunt, miraculis motae editis a quibusdam sacerdotibus, qui antea sub Galieno imperatore a Gothis, Celtis, et Gallis Hesperiis, qui tunc adversus Romanos incursiones faciebant, captivi ducti fuerant: nunc vero sub victore

νικητοῦ Κωνσταντίνου πλεῖστα τῶν ἐθνῶν ἐφωτίσθησαν τῷ Χριστῷ προσδραμόντα. Ἰνδοὶ οἱ ἐνδότεροι ἐπίστευσαν τῷ Χριστῷ, Μερωπίου φιλοσόφου Τύρου Αἰδέσιον καὶ Φρουμέντιον τοὺς μαθητὰς αὐτοῦ λαβόντος, καὶ εἰσελθόντος ἐκεῖ ἱστορῆσαι τοὺς τόπους, καὶ διδάξαντος αὐτοὺς τὸν λόγον τοῦ θεοῦ. πρῶτον ἐπίσκοπον Φρουμέντιον χειροτονεῖ Ἀθανάσιος ἐν αὐτοῖς. ὁμοίως καὶ Ἴβηρες ἐπ' αὐτοῦ ἐπίστευσαν ὑπὸ τῆς αἰχμαλώτου γυναικὸς Χριστιανῆς ὁρῶντες γινόμενα θαύματα, καὶ τὴν ἐπιπεσοῦσαν ἀχλὺν τῷ βασιλεῖ αὐτῶν κνηγοῦντι ἰασαμένης. ταῦτα Ῥουφῖνος ἱστορεῖ παρὰ τοῦ αὐτοῦ βασιλέως τῶν Ἰβήρων Βακκουρίου ἀκηκοώς. ὁμοίως καὶ Ἀρμένιοι τε- B
λείως ἐπ' αὐτοῦ ἐπίστευσαν διὰ Τιριδάτου τοῦ βασιλέως αὐτῶν καὶ Γρηγορίου ἐπισκόπου αὐτῶν, τὴν σωτηρίαν δεξάμενοι. τότε καὶ Δωρόθεος ἐπίσκοπος Τύρου, ὁ ἐπὶ Διοκλητιανοῦ πολλὰ κακοπαθήσας, καὶ ἕξορίας καὶ βάσανα ὑπομείνας, ἤκμαζε, πλεῖστα συγγράμματα καταλιπών, Ῥωμαϊκὰ καὶ Ἑλληνικά, ὡς ἀμφοτέρων γλωσσῶν ἐμπειρότατος, καὶ πολυΐστωρ δι' εὐφυΐαν γενόμενος. οὗτος ἀκριβῶς καὶ περὶ τῶν ἐπισκόπων τοῦ Βυζαντίου καὶ ἄλλων πολλῶν διεξῆλθεν. ὁ

1. πλεῖστα τῶν ἐθνῶν A, πλεῖστα μέρη τ. ἐ. vulg. 2. προσδραμόντα A a, προσδραμόντων vulg. 3. fort. Τυρίου. 7. ὑπὸ] τὰ b. 10. fort. παρ' αὐτοῦ τοῦ. 11. τελείως om. A f. 12. Τηριδ. vulg. 16. καὶ Ἑλληνικὰ om. A e f. 17. καὶ πολυΐστωρ om. a. 19. πολλῶν A, πολλῶν τόπων vulg. ὁ add. ex A.

Constantino innumerae ex his gentibus ad Christi cultum confugientes illuminatae sunt. Indi praeterea interiores Christi fidem susceperunt, Meropio Tyrio philosopho Aedesium et Frumentium discipulos secum assumente, et ad ibi posita loca quaeque describenda profecto, iisdemque divinum verbum praedicante: primusque Frumentius episcopus ab Athanasio apud ipsos consecratus. Iberes similiter sub Constantino fidem acceperunt, visis a Christiana muliere captiva patratis miraculis, quae inter caetera oculorum caliginem regi inter venandum ingruentem sanavit. haec Rufinus ab Iberum rege Baccurio audita narrat. pari quoque eventu ipsius aetate Armenii, Tiridatis, eorum regis, et Gregorii, eorum episcopi, hortatibus fidem una cum salute susceperunt universi. eius quoque temporibus Dorotheus Tyri episcopus pluribus sub Diocletiano malis exantlatis, exilium etiam et tormenta perpessus, florebat: qui, ut utriusque linguae Graecae pariter et Latinae peritissimus, et tum ob ingenii felicitatem, tum ob rerum experimenta variam eruditionem adeptus, praeclara nobis in utraque scripto reliquit monumenta. hic de Byzantii et aliorum plurium locorum episcopis diligenter disseruit. idem exilio revocatus

αὐτὸς ἐπανελθὼν ἐκ τῆς ἐξορίας, καὶ ἐν τῇ συνόδῳ εὑρεθείς, καταλαβὼν τὴν ἰδίαν παροικίαν, διήρκεσε ἕως Ἰουλιανοῦ τοῦ παραβάτου. καὶ ἐπειδήπερ οὐ προφανῶς, ἀλλὰ κρυπτῶς διὰ τῶν ἀρχόντων ὁ μιαρὸς ἀνὴρ εἰς τοὺς Χριστιανοὺς παροίνει, πάλιν ὁ μακάριος Δωρόθεος κατέλαβεν τὴν Ὀδυσσόπολιν, ἔνθα καὶ συσχεθεὶς ὑπὸ τῶν ἀρχόντων Ἰουλιανοῦ, καὶ πολλοὺς ὑπομείνας αἰκισμούς, ἐν βαθυτάτῳ γήρει διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν ταῖς βασάνοις ἐναπέθανεν [ἑκατὸν ἑπτὰ ἤδη τυγχάνων ἐτῶν].

A.M. 5817 D Τούτῳ τῷ ἔτει Ἰουδαῖοί τε καὶ Πέρσαι τὸν Χριστιανισμὸν ὁρῶντες ἀκμάζοντα κατὰ τὴν Περσίδα διαβάλλουσι Σαβώρῃ Περσῶν βασιλεῖ Συμεῶνα ἀρχιεπίσκοπον Κτησιφῶντος καὶ τὸν Σελευκείας, ὡς φίλους τοῦ βασιλέως Ῥωμαίων καὶ μηνυτὰς τῶν Περσικῶν πραγμάτων· ὥστε μεγάλου διωγμοῦ ἐν Περσίδι κινηθέντος πλεῖστοι τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ

P. 20 κατεκοσμήθησαν, ἐν οἷς καὶ Οὐσθαξάδης παιδαγωγὸς Σαβώ-

V. 16 ρου, καὶ Συμεὼν ὁ ἀρχιεπίσκοπος, καὶ πρὸς ἄλλοις πολλοῖς ἑκατὸν κληρικοὶ καὶ ἐπίσκοποι ἐν ἡμέρᾳ μιᾷ ἐμαρτύρησαν, καὶ πολλὰ πλήθη ἀναρίθμητα. ἐκ δὲ τῶν πόλεων τοὺς ἐπισήμους ὀκτωκαίδεκα χιλιάδας ἠρίθμησαν μαρτύρων βασάνοις

2. *ἰδίαν*] *οἰκείαν* c. ἕως A a f, *μέχρι* vulg. 7. *γήρᾳ* b e. 8. *ἐκ. — ἐτῶν* om. A e f. 12. *βασιλεῖ* om. e f. 13. *Σελευκείας* A, *Σελευκίας* vulg. *τοῦ βασιλέως Ῥωμ.* A, *τῶν Ῥωμ. βασιλέων* vulg. 16. *Οὐσθαδοξάδης* e. *Σαβωρίου* vulg. 17. *ὁ* add. ex A. 19. *πόλεων*] *πολλῶν* a.

interfuit synodo, et propriae restitutus ecclesiae ad praevaricatoris Iuliani tempora permansit in vivis. cum vero non aperta, sed occulta vi per magistratus in Christianos scelestus ille debaccharetur, beatus Dorotheus Odyssopolim rursum profectus, et a Iuliani magistratibus ibidem comprehensus, variis contusus iniuriis, in extrema senectute, ob Christi confessionem, centum et septem vitae numerans annos, in tormentis occubuit.

A. C. 317 Hoc anno Iudaei et Persae, cognito fidei Christianae per totam Persiam augmento, Symeonem Ctesiphontis et alterum Seleuciae archiepiscopum, ceu Romanorum imperatorum amicos, quique res Persicas eis revelarent, apud Saborem Persarum regem criminati sunt: unde horrenda in Perside persecutione commota, plurimi pro Christo martyrii corona fuere decorati: inter quos Usthaxades Saboris paedagogus, et Symeon archiepiscopus, et praeter alios plures centum clerici et episcopi, et alia innumera multitudo una die martyrii palmam adepti sunt. ab eodem insuper infidelissimo Sabore in praecipuis urbibus nobilissimi quique ad decem et octo millia cruciatibus

φρικώδεσι καὶ ξέναις τῆς φύσεως τελειωθέντας ὑπὸ Σαβώρου τοῦ ἀθεωτάτου. τότε καὶ Ἀκεψιμᾶς ὁ ἐπίσκοπος, καὶ Ἀειθαλᾶς πρεσβύτερος, καὶ Περβουλία ἡ ἀδελφὴ Συμεὼν τοῦ ἀρχιεπισκόπου σὺν ἑτέραις πλείσταις ἐμαρτύρησαν. Κωνσταντῖνος δὲ ὁ θειότατος βασιλεὺς Σαβώρῃ διὰ γραμμάτων παρῄνει φείσασθαι Χριστιανῶν αἰτῶν, καὶ παύσασθαι τῆς B τοσαύτης ὠμότητος· ἢ τις ἐπιστολὴ θαυμασίως συντέτακται, καὶ θειότατα· ἀλλ' οὐκ ἔπεισε.

Τῷ δ' αὐτῷ ἔτει Ἑλένην τὴν μακαρίαν μετὰ χρημάτων ἀπέστειλεν εἰς τὰ Ἱεροσόλυμα ὁ θεῖος Κωνσταντῖνος πρὸς τὸ ἀναζητῆσαι τὸν ζωοποιὸν τοῦ κυρίου σταυρόν. Μακάριος δὲ ὁ πατριάρχης Ἱεροσολύμων συναντήσας τῇ βασιλίδι μετὰ τῆς δεούσης τιμῆς, τὴν ζήτησιν τοῦ ποθουμένου ζωοποιοῦ ξύλου ἐποιεῖτο σὺν αὐτῇ, μεθ' ἡσυχίας καὶ προσευχῶν σπουδαίων καὶ νηστειῶν. τούτων δὲ γενομένων, ἐφάνη συντόμως θεόθεν ὁ τόπος τῷ αὐτῷ Μακαρίῳ δειχθείς, ἐν ᾧ ἵδρυτο τῆς C ἀκαθάρτου δαίμονος Ἀφροδίτης ὁ ναὸς καὶ τὸ ἄγαλμα· ὃν τῇ βασιλικῇ αὐθεντίᾳ χρωμένη συντόμως καθεῖλεν ἡ θεόστεπτος Ἑλένη διὰ πλήθους τεχνιτῶν ἐκ βαθρων κατασκαψασα,

1. ξέναις A et alii, γεέννας vulg. τελειωθέντων a. a. Ἀκεψιμᾶς A et alii, Ἀψικιμᾶς vulg. ὁ add. ex A. 3. Ἀειθαλᾶς A et alii, Αἰθαλᾶς vulg. Περβοῦλία A f, Τερβ. a, Τουρβουλία vulg. 5. Σαβωρίῳ vulg. 9. ante τῷ δ' αὐτῷ ἔτει A add. inscriptionem: περὶ Ἑλένης τῆς θείας βασιλίδος. χρημάτων καὶ στρατευμάτων b. 11. ζωοποιὸν] θεῖον a. 13. ζωοποιοῦ add. ex A a. 15. νηστειῶν A, νηστείας vulg. 16. ὁ add. ex A. 19. κατασκάψαι A e.

horrendis et ab humana penitus alienis natura martyres fuere consummati. ea tempestate Acepsimas episcopus, Aethalas presbyter, et Perbulia Symeonis archiepiscopi soror cum plurimis aliis eiusdem sexus martyrio afficiuntur. quibus auditis sacratissimus imperator Constantinus, ut Christianorum sanguini fundendo parceret, et a tanta crudelitate sibi temperaret, per litteras, additis etiam precibus, Saborem est adhortatus. mirando ac divino stilo composita est haec epistola: duram tamen viri mentem flectere non valuit.

Eodem anno beatam Helenam cum ingenti pecuniarum pondere, ad vivificam domini crucem perquirendam, divinus Constantinus Hierosolymam misit. at cum debito honore imperatrici factus obviam Macarius Hierosolymorum patriarcha una cum ipsa semotus a comitatus tumultu, mentis dico tranquillitate, fervidis orationibus et ieiuniis vacans, desiderati ligni perquisitionem agebat. quibus ita persolutis, divino tandem nutu, locus, quo Veneris impuri daemonis templum ac simulacrum erecta fuerant, ipsi Macario manifestatus est:

καὶ τὸν χοῦν ἀπορρίψασα, ὑπὸ Ἀδριανοῦ Αἰλίου πάλαι κτισθέντα πολυτελῶς. αὐτίκα δὲ τὸ ἅγιον μνῆμα καὶ ὁ τόπος τοῦ κρανίου ἀνεδείχθησαν, καὶ πρὸς ἀνατολὴν σύνεγγυς τούτων τρεῖς σταυροὶ κεχωσμένοι· ἐρευνήσαντες δὲ εὗρον καὶ τοὺς ἥλους. ἀμηχανούντων δὲ πάντων ποῖος ἄρα εἴη ὁ δεσποτικὸς σταυρός, καὶ σφόδρα τῆς μακαρίας Ἑλένης λυπουμένης, ὁ Μακάριος φερωνύμως ἐπίσκοπος διὰ πίστεως ἔλυσε
D τὸ ζητούμενον. ἀπεγνωσμένῃ γάρ τινι γυναικὶ τῶν ἐμφανῶν καὶ σχεδὸν τεθνηκυίᾳ προσαγαγὼν ἑκάτερον τῶν σταυρῶν τὸν δεσποτικὸν διέγνω. μόνον γὰρ ἤγγισε τῇ ἀσθενούσῃ ἡ σκιὰ αὐτοῦ καὶ εὐθὺς ἡ ἄπνους καὶ ἀκίνητος θείᾳ δυνάμει παραχρῆμα ἀνεπήδησε, δοξάζουσα τὸν θεὸν μεγάλῃ τῇ φωνῇ. ἡ δὲ πανευσεβὴς Ἑλένη μετὰ φόβου καὶ πολλῆς χαρᾶς ἀνελομένη τὸ ζωοποιὸν ξύλον, μέρος μὲν αὐτοῦ σὺν τοῖς ἥλοις ἤγαγε πρὸς τὸν παῖδα· τὸ δὲ λοιπὸν εἰς ἀργυροῦν καταθε-
μένη γλωσσόκομον, παρέδωκε τῷ ἐπισκόπῳ Μακαρίῳ, εἰς
P. 21 μνημόσυνον ταῖς μετ' ἔπειτα γενεαῖς. τότε δὲ καὶ ἐκκλησίας ἐκέλευσε κτισθῆναι ἔν τε τῷ ἁγίῳ μνήματι καὶ ἐν τῷ κρανίῳ, καὶ ἐπ' ὀνόματι τοῦ ἑαυτῆς υἱοῦ, ἔνθα εὑρέθη τὸ ζωοποιὸν

1. ἀποῤῥίψαι A. 4. κεχωσμ. A, χεχωσμ. vulg. 5. εἴη A, ἐστὶν vulg. 7. ἔλυσε A, ἔλυσε vulg. 9. ἑκάτερον τῶν σταυρῶν τὸν δ. A, ἑκατέρων τῶν στ. τὰ ξύλα τὸ δεσπ. vulg. 10. ἀσθενούσῃ] τεθνηκυίᾳ A. 11. καὶ prius add. ex A. 19. τοῦ ἑαυτῆς A in marg., τῆς ἑαυτ. vulg.

eumque Helena divinitus coronata imperatrix regia potestate usa, operarum adhibita multitudine, a fundamentis effossum deiecit, rudera exportavit, et cuncta ab Aelio Adriano quondam ibi magnis sumptibus constructa demolita est et expurgavit. confestim vero sanctum monumentum detectum, et Calvarii locus patefactus, et his proxime tres cruces ad orientem effossae: sed et studiosius investigantibus clavi etiam reperti. anxiis vero cunctis, quae utique crux dominica foret, et beata Helena valido moerore confecta, Macarius episcopus proprii nominis claritudine beatus, dubium omne fide sua dissolvit. illustrium enim feminarum cuidam de vita desperatae, et iam animam agenti, huius et illarum crucium admotis lignis, dominicam agnovit. nam ut ad infirmam sola accessit umbra, quae absque spiritu, et omni motu destituta iacebat, divina virtute confestim exiliit, et magna voce deo laudem reddidit. pientissima vero Helena cum tremore et plurimo cordis tripudio vivifica cruce sublata, partem quidem cum clavis ad filium detulit: aliam autem argenteo loculo inclusam Macario episcopo tradidit sequuturae deinceps posteritati monumentum. ecclesias quoque iussit extrui in sancto sepulcro Calvario, et singularem aliam de filii sui nomine, ubi vivifica crux

ξύλον, καὶ ἐν Βηθλεέμ, καὶ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, καὶ οὕτως ἐπανῆλθε πρὸς τὸν πανεύφημον Κωνσταντῖνον. ὁ δὲ δεξάμενος αὐτὴν μετὰ χαρᾶς, τὴν μὲν τοῦ ζωοποιοῦ ξύλου μοῖραν ἐν χρυσῇ θήκῃ παρέθετο, παραδοὺς τῷ ἐπισκόπῳ εἰς τήρησιν· τῶν δὲ ἥλων τοὺς μὲν εἰς τὴν ἑαυτοῦ περικεφαλαίαν ἐχάλκευσε, τοὺς δὲ ἀνέμιξε τῷ σαλιβαρίῳ τοῦ ἵππου αὐτοῦ, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τοῦ χαλινοῦ ἵππου ἅγιον τῷ κυρίῳ παντοκράτορι. ὁ δὲ αὐτὸς πανεύφημος Κωνσταντῖνος ἔγραψε τῷ φερωνύμῳ Μακαρίῳ ἐπισπεύδειν τῇ οἰκοδομῇ, καὶ ἄρχοντα τοῦ ἔργου ἀπέστειλε μετὰ δαψιλείας χρημάτων, κελεύσας οὕτως κτισθῆναι τοὺς ἁγίους τόπους, ὡς μὴ εἶναι τοιαύτην καλλονὴν ἐν ὅλῃ τῇ οἰκουμένῃ, γράψας ἡγεμόσι τῆς ἐπαρχίας συνδραμεῖν τοῖς ἔργοις σπουδαίως ἐκ τοῦ δημοσίου λόγου. ἦν δὲ ὁ βασιλεὺς φαιδρῶς ἑορτάζων καὶ εὐχαριστῶν τῷ θεῷ τῷ ποιήσαντι τοιαῦτα ἀγαθὰ ἐν τοῖς χρόνοις αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει καὶ ὁ φερώνυμος Μακάριος ὁ πατριάρχης Ἱεροσολύμων ἐκοιμήθη ἐν εἰρήνῃ, καὶ διεδέξατο τὸν θρόνον αὐτοῦ Μάξιμος πρᾶος ἀνὴρ καὶ ἐπίσημος, πολλὰς βασάνους ὑποστὰς διὰ τὸν θεὸν ἐν τῷ διωγμῷ, καὶ τὸν δεξιὸν ὀφθαλμὸν ἀπολέσας.

8. ἵππου A, τοῦ ἵππου vulg. 10. τῷ φερωνύμῳ Max. A, τῷ Max. φερ. vulg. 17. καὶ add. ex A. 20. ὑποστὰς omisso ὃς A, ὃς π. β. ὑπέστη vulg.

reperta est, in Bethleem et in olivarum monte: quibus peractis ad illustrem Constantinum reversa est. his hilare acceptis, vitalis crucis partem auro iuclusam episcopo servandam commendavit: clavorum autem hos quidem in galeam scite composuit, alios in equi eius fraenum fabrefactos admiscuit, ut adimpleretur vaticinium prophetae, dicentis: in illa die erit in equi fraeno sanctum domino omnipotenti. ipse celebratissimus Constantinus Macario, cuius viri nomen laudes etiam testatur, ut fabricam urgeret et promoveret, scripsit: ac liberali sumptu dato praefectum operis misit; qui sancta loca ex eius mandato curaret adeo sumptuose extrui, ut splendore pares in orbe universo non extarent aedes, etiam provinciae praesidibus ex aerario publico collatis expensis ad opus inceptum absolvendum opem suppeditare imperatoris rescripto iussis. quibus confectis imperator dies festos hilariter celebravit, debitasque deo, a quo imperii sui tempora tot bonis cumulata sunt, grates persolvit.

Eodem anno tanto nomine dignus Macarius Hierosolymorum patriarcha quievit in pace: in cuius thronum successit Maximus vir mansuetus et eximius, qui mota propter dei religionem persecutione dextrum oculum amisit et plurimos sustinuit cruciatus.

Κατ' αὐτὸν τὸν καιρὸν καὶ ἡ μακαρία Ἑλένη ἐκοιμήθη ἐν κυρίῳ ἐτῶν ὀγδοήκοντα, πολλὰ ἐντειλαμένη τῷ υἱῷ περὶ τῆς εἰς Χριστὸν εὐσεβείας. ἐτάφη δὲ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν Κωνσταντινουπόλει, ὃν ἔκτισεν ὁ υἱὸς αὐτῆς Κωνσταντῖνος, εἰς τὸ θάπτεσθαι τοὺς τελευτῶντας βασιλεῖς Χριστιανούς. πρώτη δὲ ἐν αὐτῷ ἐτάφη ἡ μακαρία Ἑλένη, μνήμαις φαιδραῖς καὶ παννυχίσι τιμηθεῖσα. αἱ δὲ ἐν Ἱερο-
D σολύμοις ἱεραὶ παρθένοι, αἷς ἑστῶσα δι' ἑαυτῆς, ὡς θεράπαινα, ταῖς τραπέζαις διηκόνει ἡ θεόφρων Ἑλένη, διὰ παντὸς θείαις μνήμαις αὐτὴν ἐμακάριζον. Εὐσεβίῳ δὲ τῷ Παμφίλου βίβλους ἱερὰς κατασκευάσαι ὁ βασιλεὺς προσέταξε λόγῳ τῶν ἐκκλησιῶν Κωνστατινουπόλεως, παρασχὼν αὐτῷ καὶ δημόσια χρήματα.

A M 5318 Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ μέγας κατὰ Γερμανῶν
V. 22 καὶ Σαρματῶν καὶ Γότθων στρατεύσας νίκην ἤρατο κραταιὰν διὰ τῆς τοῦ τιμίου σταυροῦ δυνάμεως, καὶ τούτους ἐρημώσας εἰς ἐσχάτην αὐτοὺς κατήγαγε δουλείαν.

3. εὐσεβείας] πίστεως A. 7. παννυχίσι Par. 9. τραπέζαις] πράξεσι e f. 14. ὁ μέγας] νικητὴς ὁ εὐσεβέστατος A e f. 15. quae in vulg. post στρατεύσας aperte corrupta et confusa leguntur: τὸν Δανοῦβιν περάσας γεφύραν ἐν αὐτῷ [ἔνθα ὁ μέγας Κωνσταντῖνος γεφύραν ἐν τῷ Δανουβίῳ ἔκτισε] λιθίνην κατασκευάσας om. cum A e f et Anastasio, quum haud dubie ex a. 320 huc transposita sint. ἤρατο A a e f, ηὔρατο vulg. 16. τιμίου om. A e f. 17. κατήγαγε A, ἤγαγε vulg.

Sub idem tempus beata Helena, annis vitae octoginta numeratis multisque Christianae vitae praeceptis filio relictis, obdormivit in domino. sepulta est Cpoli in aede sanctorum apostolorum, quam filius eius Constantinus, ut imperatores Christiani ibi post obitum humarentur, construxerat. prima vero beata Helena in hac sepulta fuit, solemnibus ecclesiae officiis et nocturnis vigiliis honorata. sacrae autem Hierosolymitanae virgines, quibus religiose de deo sentiens Helena servarum more stans propriis manibus ministrabat, iugi piaque recordatione nomen eius celebrantes, aeternam ei beatitudinem precabantur. denique in ecclesiarum Cpolis gratiam Eusebium Pamphili, suppeditatis ex aerario publico expensis, iussit imperator sacros libros colligere.

A. C. 318 Hoc anno magnus Constantinus expeditione adversus Germanos, Sarmatas et Gotthos suscepta, constructo in Danubio, quem pertransi-[illegible] lapideo ponte, venerandae crucis virtute maximam reportavit [illegible]am, devastatisque eorum agris, extremam in eos induxit ser-[illegible]

Τῷ δ' αὐτῷ ἔτει Δρεπανὰν ἐπικτίσας εἰς τιμὴν Λουκιανοῦ τοῦ ἐκεῖσε μάρτυρος ὁμώνυμον τῇ μητρὶ αὐτοῦ Ἑλενόπολιν κέκληκε. τῷ συμβόλῳ τῆς ἐκτεθείσης ἐν Νικαίᾳ ὑπὸ τῶν πατέρων πίστεως πᾶσαν ὀρθοδοξίαν Εὐσέβιος ὁ Παμφίλου μαρτυρεῖ γράφων τοῖς ἑαυτοῦ πολίταις, καὶ ἑρμηνεύων τὰ ῥήματα πρὸς τὴν διάνοιαν. Ἀθανάσιος δὲ ἐν τῇ πρὸς Ἄφρους ἐπιστολῇ μαρτυρεῖ τῷ Παμφίλῳ ὡς δεξαμένῳ τὴν φωνὴν τοῦ ὁμοουσίου. ὁ δὲ Θεοδώρητός φησιν ὅτι Εὐσέβιος ὁ Παμφίλου σύμφρων τῶν Ἀρειανῶν ὑπῆρχεν Εὐσεβίου τοῦ Νικομηδείας καὶ τῶν σὺν αὐτῷ, ὅθεν ἐν τῇ καθαιρέσει τοῦ θείου Εὐσταθίου Ἀντιοχείας συνέδραμεν, μεθ' ὧν καὶ τὸν βασιλέα πείσας δικαίως αὐτὸν καθαιρεῖσθαι ἐν τῷ Ἰλλυρικῷ παρεσκεύασεν αὐτὸν ἐξορισθῆναι. B

Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ τὸ ὀκτάγωνον κυριακὸν ἤρξατο οἰκοδομεῖσθαι. A.M. 5819 C

Τούτῳ τῷ ἔτει Κωνσταντῖνος ὁ εὐσεβὴς τὸν Δανοῦβιν περάσας, γέφυραν ἐν αὐτῷ λιθίνην πεποίηκε, καὶ τοὺς Σκύθας ὑπέταξε. A.M. 5820 V. 18 D

Ῥώμης ἐπισκόπου Μάρκου ἔτος α'. A.M. 5821

Τούτῳ τῷ ἔτει κτίζων Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν Κων-

1· ἔτει A e f, χρόνῳ vulg. ante *Δρεπανὰν* om. *καὶ* cum A. 2. ἐκεῖσε add. ex A a. ὁμώνυμον A a, ὁμωνύμῳ vulg. 6. τὴν om. c. 7. ὡς δεξαμένῳ a, εἰς δεξαμένῳ vulg. 14. τούτῳ τῷ ἔτει A b, τῷ αὐτῷ ἔτει vulg. ἐν Ἀντ. τὸ A, τὸ ἐν Ἀντ. vulg.

Eodem quoque anno Drepanam in honorem Luciani ibi martyrio consummati restaurans Helenopolim de matris nomine appellavit. fidei in Nicaena synodo a patribus expositae Eusebius Pamphili testimonium reddens, rectum et legitimum omnem sensum illud continere suis civibus scripto profitetur, et singulorum eius verborum mentem explanat. ad Africanos scribens Athanasius Eusebium voci consubstantialis assensum praebuisse affirmat. Theodoretus autem Eusebium Pamphili cum Arianis, Eusebio videlicet Nicomediae episcopo eiusque sectatoribus, sensisse refert: unde cum ipsis ad sanctum Eustathium Antiochiae praesulem dignitate deponendum concurrit: cum quibus, eius abdicationem velut iustam imperator approbans, exilium apud Illyrios eidem paravit.

Hoc anno dominicum octagonum Antiochiae aedificari coeptum. A. C. 319

Hoc anno piissimus imperator Constantinus Danubium traiecturus lapideum pontem in eo construxit et Scythas edomuit. A. C. 320

Romae episcopi Marci annus primus. A. C. 321

Hoc anno pius Constantinus Cpolim a se constructam novam Ro-

σταντινούπολιν Ῥώμην νέαν χρηματίζειν ταύτην ἐθέσπισε, καὶ σύγκλητον ἔχειν ἐκέλευσε· στήσας καὶ πορφυροῦν κίονα, καὶ ἐπάνω αὐτοῦ ἀνδρίαντα ἑαυτοῦ ἀπὸ τοῦ τόπου οὗ ἤρξατο οἰκοδομεῖν τὴν πόλιν ἐπὶ τὸ δυτικὸν μέρος τῆς ἐπὶ Ῥώμην ἐξιούσης πύλης, κοσμήσας τὴν πύλιν καὶ κομίσας ἐπ' αὐτῇ ἀπὸ πάσης ἐπαρχίας καὶ πόλεως, εἴ τι ἔργον ἦν εὐκοσμίας, καὶ ἀνδριάντων, καὶ χαλκοῦ, καὶ μαρμάρου.

A.M. 5822 Ἀλεξανδρείας ἐπισκόπου Ἀθανασίου ἔτος πρῶτον.

P. 23 Τούτῳ τῷ ἔτει ἐπέτεινε Κωνσταντῖνος ὁ εὐσεβὴς τὴν
B κατὰ τῶν εἰδώλων καὶ τῶν ναῶν αὐτῶν κατάλυσιν, καὶ κατὰ τόπους ἠφανίζοντο· καὶ αἱ πρόσοδοι αὐτῶν ταῖς ἐκκλησίαις τοῦ θεοῦ ἀπεδίδοντο.

A.M. 5823 Ῥώμης ἐπισκόπου Ἰουλίου ἔτος α'.

Τούτῳ τῷ ἔτει ἡ ἐν Νικομηδείᾳ βασιλικὴ πυρὶ θείῳ κατεφλέχθη.

A.M. 5824 Τούτῳ τῷ ἔτει μελλούσης ἑβδόμης ἰνδικτίωνος ἐπιλαμβάνεσθαι λιμὸς ἐγένετο ἐν τῇ ἀνατολῇ ἐπικρατήσας σφοδρότερον, ὥστε κώμας κατὰ τὸ αὐτὸ ἐν ὄχλῳ πολλῷ συναγομένας
Εὐνόμιόν τινα Ἀρειανὸν διάπυρον προεβάλοντο, ᾧ οὐδεὶς
τῶν Σαμοσατέων ἐκοινώνησεν, τούτου λουομένου, καὶ τὸν

2. ὡσαύτως] οὕτως δὲ b. καὶ Ἰουδαίους — — ποταμὸν· ὡσαύτως om. A. 3. ἔθαλπεν καὶ add. ex b. μόνους] μόνον a. 4. ἦν om. b. 9. ὑπάρχῳ a. συλλαβεῖν] συνελεῖν f. 13. ἔπαρχον b, ὕπαρχον vulg. δῆλον A. 15. ὅτε] ὅτι b. ἐθαυμάσθη A. 18. προεβάλοντο A, προεβάλλ. vulg.

A. C. 363 Hoc anno sacrorum et conventuum agendorum gentilibus potestatem fecit scelestus Valens: Iudaeosque praecipuo cultu prosequebatur: solos duntaxat orthodoxos persequebatur, et res ad apostolicam ecclesiam spectantes deprimebat.

A. C. 364 Hoc anno Valens Antiochiam Syriae profectus atrocia quaeque in orthodoxos exercuit supplicia, plurimos occidit gladio, alios in praeterfluentem fluvium demersit. sic etiam Edessam adveniens peiora multo patravit. modestum enim praefectum plebem orthodoxam ad S. Thomae sacram aedem congregatam concludere praecepit, et crudeliter mactare. quod autem mulieri accidit, quae cursu concitato filium parvulum ad necem trahebat, Valenti pudorem incussit, praefecti perculit animum, et dirum facinus, ne progrederetur, deo nimirum ita disponente, compescuit. Eusebium porro Samosatensium episcopum exulare iussit in Thraciam: quo factum est, ut sanctus sponte decedens ex urbe et populo quamvis obsistente agentes se properanter insequens maiorem de se mirandi causam daret. in eius vero locum Eunomium Arianarum partium insignem patronum intruserunt Ariani, cuius communionis Samosatensium nullus

λαὸν συλλούσασθαι προτρεπομένου, εἰ μὴ τὸ ὕδωρ τῆς ἐμβάτης ἐν ᾗ εἰσῆλθεν Εὐνόμιος ἐκένωσαν, καὶ ἄλλου ἐπλήρωσαν, D οὐκ ἠνείχοντο λούσασθαι, μεμιάνθαι, λέγοντες, ὑπὸ Εὐνομίου τὸ πρότερον. ὅπερ μαθὼν ἔφυγε τῆς πόλεως ἀσπόνδως μισούμενος. τούτου δὲ ὑποχωρήσαντος, Λούκιόν τινα προφανῆ λύκον Ἀρειανοὶ προεβάλοντο. ὁμοίως καὶ ἐν Καππαδοκίᾳ τὰς ἐκκλησίας Ἀρειανοῖς παραδοῦναι ἐσπούδαζεν, τῆς ἐναντιώσεως δραξάμενος, ἧς ἔσχεν παρὰ τοῦ μεγάλου Βασιλείου πρεσβυτέρου τότε τῆς μεγάλης ἐκκλησίας Καισαρείας ὑπάρχοντος, καὶ Εὐσέβιον τὸν ἐπίσκοπον διεγείροντος εἰς ζῆλον ὀρθοδοξίας, μὴ ὑπείκειν τῇ δυσσεβείᾳ Οὐάλεντος.

Περσῶν βασιλέως Ἀρταξῆρος, Ἀλεξανδρείας ἐπισκόπου A. M. 5865
Πέτρου, Ἀντιοχείας πάλιν Μελητίου ἔτος α'. P. 51

Τούτῳ τῷ ἔτει Οὐάλεντος ἐν Ἀντιοχείᾳ διάγοντος εὑρέ-
θησάν τινες ἐπιβουλὴν κατ' αὐτοῦ μελετῶντες· καὶ ἀνηρέ- V. 41
θησαν στῖφος ἀσεβῶν. διὰ γὰρ μαντειῶν καὶ θυσιῶν τὴν συσκευὴν κατειργάζοντο. τοῦ δὲ πολυάθλου καὶ πολλὰ καμόντος Ἀθανασίου μεταστάντος πρὸς κύριον, ἐπισκοπήσαντος B
ἔτη ἓξ καὶ τεσσαράκοντα, ἐν διωγμοῖς δὲ καὶ τοῖς ὑπὲρ εὐσεβείας κινδύνοις τὰ τεσσαράκοντα, Πέτρος τὴν ἐπισκοπὴν

2. *Εὐνόμιος* A, *ὁ Εὐν.* vulg. 5. *προχωρήσαντας* Par. 6. *προεβάλοντο* A, *προεβάλλ.* vulg. 7. *Ἀρειανοῖς* add. ex A. 8. *παρὰ τοῦ* A, *παρ' αὐτοῦ τοῦ* vulg. 9. *μεγάλης* om. A.

sese consortem adiunxit. hic ad publica balnea progressus, cum populum simul lavari adhortaretur, nullus lotum ire sustinuit, quin prius qua laverat aqua, receptaculum integre purgaretur, et alia recens infunderetur. infecta est, dicebant, prior aqua ab Eunomio. quod cum ille resciret, se nimirum irreconciliatis animis infensum, civitatis discessu se ipsum damnavit. eo dilapso, Lucium quendam lupum manifestum promoverunt Ariani. Cappadociae pariter ecclesias Arianis committere studebat Valens, accepta vexandi causa ex generoso Basilii tunc magnae ecclesiae Caesariensis presbyteri animo quo se tunc opposuit, et Eusebium episcopum in verae fidei defensionem, ne Valentis impietati succumberet, fortiter excitavit.

Persarum regis Artaxeris, Alexandriae episcopi Petri, Antiochiae A. C. 365
episcopi Meletii iterum annus primus.

Hoc anno Valente Antiochiae moram agente deprehensi sunt quidam in eum insidias meditati, qui omnes, ceu profanorum et impiorum hominum globum componentes, e medio sublati sunt; per divinationes enim et impura sacrificia machinam facinoris construxerant. iam vero exercitatissimo et continuis laboribus assueto illo Christi athleta, Athanasio, inquam, ad dominum migrante, post gesti episco-

διεδέξατο, ὃν οἱ Ἀρειανοὶ διά τινος Μάγνου τῶν βασιλικῶν θησαυρῶν ταμία ἀπήλασαν· Λούκιον δὲ ἀντικατέστησαν· τότε πολλοὶ τῶν ὀρθοδόξων ἀνδρῶν, καὶ γυναικῶν παρθένων ἀθέως ἠκίσθησαν, πολλοὶ δὲ καὶ ἐν βασάνοις ἐτελειώθησαν. ὁ δὲ Πέτρος φυγὰς εἰς Ῥώμην ᾤχετο πρὸς Δάμασον, ὡς ὁμόδοξον· ὅτε καὶ τὰ γενόμενα ἐν Ἀλεξανδρείᾳ δι' ἐπιστολῆς ἔγραψεν φρικώδη ὑπὸ Ἀρειανῶν· τῷ δ' αὐτῷ ἔτει ὁ Βασίλειος τῆς Καισαρέων ἐπισκόπησεν, Εὐσεβίου εὐσεβῶς κοιμηθέντος.

A.M. 5866 Τούτῳ τῷ ἔτει Ἀμβρόσιος μετὰ Αὐξέντιον τῆς ἐκκλησίας Μεδιολάνων ἠγήσατο οὕτως. τοῦ δήμου στασιάζοντος περὶ προβολῆς ἐπισκόπου, Ἀμβρόσιος ἡγεμὼν τῆς χώρας τελῶν ἐπέμφθη ὑπὸ Οὐαλεντινιανοῦ τοῦ βασιλέως ἐκεῖσε διάγοντος κωλῦσαι τὴν στάσιν, ἀβάπτιστος μὲν ἔτι ὤν, πάνυ δὲ τοῦ δικαίου φροντίζων, καὶ τοὺς μείζονας ἄρχοντας γενναίως διελέγχων ἀδικοῦντας. ὁ οὖν δῆμος παυσάμενος τῆς ἔριδος, ὁμοφώνως τὸν Ἀμβρόσιον ἐπίσκοπον ἐψηφίσαντο, ὅπερ ἀκούσας Οὐαλεντινιανὸς ἐκέλευσε μυηθέντα χειροτονηθῆναι τὸν Ἀμβρόσιον ἐπίσκοπον, εὐχαριστῶν ἐπ' ὄψεσι πάντων τῷ θεῷ

2. ταμία A, ταμεῖα vulg. ἀντεκατέστησαν Par. 4. καὶ add. ex A. 7. ἔγραψαν A et alii. 8. ἐπισκόπησεν] ἐπίσκοπος A, fort. ἠπισκόπησεν. 14. μὲν add. ex A. 16. ὁ οὖν A, ὁ δὲ vulg. 17. ὁμοφώνως A, ὁμοφρόνως vulg. ἐψηφίσαντο A, ἐψηφίσατο vulg.

patus annos sex et quadraginta, quorum integros quadraginta in persecutionibus periculisque pro fide et pietate susceptis peregerat, Petrus sedis obtinuit successionem, quem Ariani ope magni cuiusdam regio aerario praefecti, Lucio in thronum restituto, expulerunt. plerique tunc orthodoxorum, viri, mulieres, virgines verberibus foede sunt lacerati, plures etiam perierunt. Petrus autem, significatis prius per epistolam Arianorum horrendis sceleribus, Alexandria fugitivus, ad Damasum catholici dogmatis consortem Romam pergebat. eodem anno Caesariensis ecclesiae factus est episcopus Basilius, Eusebio piam nec nomine alienam mortem obeunte.

A. C. 366 Hoc anno post Auxentium Mediolanensium. ecclesiae Ambrosius praeficitur episcopus in hunc modum. tumultuante de episcopi electione populo, Ambrosius provinciae praesidem agens, tumultum sedaturus a Valentiniano ibi tunc forte moram habente mittitur. nondum ille sacro tinctus erat baptismate, iusti tamen et aequi praecipuam curam gerebat, et insignes quosque magistratus, praeter iuris placita nonnihil perpetrantes generoso ductus animo arguebat. populus dissensione deposita, una voce uuaque sententia designat episcopum Ambrosium. quod cum audiret Valentinianus, confestim Ambrosium sacro baptis-

καὶ λέγων· χάρις σοι, δέσποτα, παντοκράτορ, σῶτερ ἡμέτερε, ὅτι ψυχὰς ἐνεχείρισας τῷδε τῷ ἀνδρὶ σωμάτων ἄρχοντι P 52
παρ' ἐμοῦ γενομένῳ, καὶ τὰς ἐμὰς ψήφους δικαίας ἀπέφηνας. Λούκιος δὲ ἐν Ἀλεξανδρείᾳ πολλὰ κακὰ σὺν τοῖς Ἀρειανοῖς διεπράξατο. ᾠδὰς γὰρ δαιμόνων εἰς τὴν Θεωνᾶ ἐκκλησίαν ἦδον καὶ ὀρχηστὰς εἰσῆγον, τῶν παρθένων τὰς ἐσθῆτας ἀποσκεπάζοντες, σὺν θυμῷ ῥινοκτυποῦντες, γυμνὰς διὰ τῆς πόλεως περιῆγον, ἀσελγῶς αὐταῖς χρώμενοι· τὰς δὲ καὶ ἀνείλον, μηδὲ πρὸς ταφὴν δόντες τοῖς γονεῦσι τὰ σώματα αὐτῶν λίαν ὀδυρομένοις. εἰς δὲ τὸ θυσιαστήριον ἔνδον μειράκιον ἀσελγὲς αἰσχρουργῆσαι ἀνήγαγον. τῆς δὲ δύσεως πάσης τριάδα ὁμοούσιον πρεσβευούσης, ἠτήσαντο Οὐαλεντινιανόν, καὶ ἐποίησαν σύνοδον ἐν τῷ Ἰλλυρικῷ, καὶ τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσαν. ἴδικτον δὲ Οὐαλεντινιανὸς ἔγραψεν τοῖς ἐν Ἀσίᾳ καὶ Φρυγίᾳ καὶ πάσῃ τῇ ἀνατολῇ ἐπισκόποις ἐμμένειν τοῖς ὡρισμένοις παρὰ τῆς συνόδου παρεγγυώμενος, κοινωνὸν καὶ Οὐάλεντα τὸν ἀδελφὸν καὶ Γρατιανὸν τὸν υἱὸν V. 42
ἐν τῷ ἰδίκτῳ προσλαβόμενος. τότε καὶ Γρηγόριος ὁ Θεολό-

1. παντοκράτορ A, παντοκράτωρ vulg. 3. ἀπέφηνας A, ἀποφήνας vulg. 5. δαιμόνων b, δαιμονίων vulg. 6. εἰσῆγον A, εἰσήγαγον vulg. 12. ἠτήσαντο A, ἤτησαν vulg. 14. Ἰνδικτον A a c d e f, ut et mox ἰνδίκτῳ: sed tamen unice verum esse videtur ἤδικτον. cfr. p. 203 D. 15. τῇ add. ex A.

matis ritu initiatum praecipit episcopum ordinari, sub omnium conspectu deo gratias referens his verbis: gratias tibi domine omnipotens, salvator noster, quod huic viro, cui corporum demandaveram magistratum, tu, suffragio meo a iuris tramite nullatenus declinasse probato, animarum curam commiseris. Lucius porro iuvantibus Arianis multa mala Alexandriae perpetravit. daemonum siquidem cantilenas in ecclesia, quae Theonae nomine dicitur, una cum saltatoribus introductis cecinere; virgines etiam vestibus reductis in faciem nudas per urbem cum atrocissimis conviciis circumducentes impudentissime constupraverunt: sed et plerasque confecerunt, quarum etiam corpora parentibus misere deposcentibus in sepulturam reddere recusarunt. quinetiam intus ad ipsum altaris sacrarium puerum cynaedum ad turpia officia illic praestanda adduxerunt. cum vero totus occidens consubstantialis trinitatis fidem profiteretur, facta suis petitionibus a Valentiniano potestate, synodum in Illyrico coegerunt, qua Nicaeae fidem expositam confirmavere. Valentinianus quoque edictum ad Asiae, Phrygiae, totiusque orientis episcopos rescripsit, quo ipsos a synodo decretis stare iubebat, et in hunc finem Valentem fratrem et Gratianum filium datae sententiae socios adhibuit. tum

γος τῆς κατὰ Κωνσταντινούπολιν ἐκκλησίας προέστη ταῖς Βασιλείου, καὶ Μελετίου, καὶ τῶν λοιπῶν τῆς εὐσεβείας ὑπερμάχων εἰσηγήσεσιν. καὶ εἰ μὴ φθάσας τὴν πόλιν ἀνεκαλέσατο, πᾶσα ἂν τῆς Ἀρείου καὶ Εὐνομίου λώβης ἐπεπλήρωτο· πάσας γὰρ τὰς ἐκκλησίας αὐτοὶ κατεῖχον, πλὴν τοῦ εὐκτηρίου Ἀναστασίας τῆς μάρτυρος· ἐπεσκόπει δὲ τῶν Ἀρειανῶν Δημόφιλος. Γρηγόριος δὲ τότε ὁ Νύσσης καὶ Πέτρος, ἀδελφοὶ Βασιλείου, διέλαμπον, Ὄπτιμός τε ἐν Πισιδίᾳ, καὶ Ἀμφιλόχιος ἐν Ἰκονίῳ. Βάρσην δὲ τὸν ἐπίσκοπον Ἐδέσσης καὶ Πελάγιον Λαοδικείας, ὡς προμάχους τῆς ὀρθοδοξίας ὁ Οὐάλης ἐξώρισεν· Οὐαλεντινιανὸς δὲ ὠνείδισεν Οὐάλεντα τὸν ἀδελφόν, ὡς κακόδοξον, μὴ πέμψας αὐτῷ βοήθειαν κατὰ τῶν Γότθων αἰτοῦντι, ἀλλ' εἰπών· οὐ θέμις ἀμύνειν ἀνδρὶ θεομάχῳ.

A.M. 5867 Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ μέγας ἐτελεύτησεν ἐτῶν ὀγδοήκοντα τεσσάρων, βασιλεύσας ἔτη ἕνδεκα, τρόπῳ τοιῷδε. Σαυρομάται, ἔθνος μικρόν τε καὶ οἰκτρόν, ἐπαναστάντες αὐτῷ καὶ ἡττηθέντες, πρέσβεις ἔπεμψαν αἰτοῦντες τὴν εἰρήνην. Οὐαλεντινιανοῦ δὲ τοὺς πρέσβεις ἐρωτῶντος, εἰ πάντες οἱ Σαυρομάται τοιοῦτοί εἰσιν τοῖς σώμασιν οἰκτροί; καὶ αὐτῶν

4. ἂν om. A. 5. τὰς add. ex A. 6. ἐπεσκόπει A, ἐπεσκόπησεν. 7. δὲ om. A. καὶ Πέτρος A, καὶ ὁ Πέτ. vulg. 9. Βάρσην A et alii, Βαρσὺν vulg. Ἐδέσσης A, Ἐδέσης vulg. 10. τῆς add. ex A. 11. δὲ add. ex A.

etiam Gregorius theologus Basilii, Meletii, et aliorum pietatis propugnatorum industria Cpolitanae ecclesiae regimen suscepit: ac nisi sua diligentia ad sincerum fidei sensum urbem revocasset, illam utique totam Ariana contagio suis erroribus infecisset. cunctas enim, dempto Anastasiae martyris oratorio, ecclesias illi occupaverant: quorum Demophilus episcopum agebat. eo tempore Gregorius Nyssae antistes, et Petrus Basilii fratres, Optimus quoque Pisidiae et Amphilochius Iconii praesules clari habebantur. Barsen porro Edessae episcopum, et Laodiceae Pelagium, ceu rectae fidei propugnatores, Valens in exilium eiecit: Valentinianus iniquum facinus fratri Valenti exprobravit, et auxiliares copias reprimendis Gotthorum incursibus mittere detrectavit, dicens: homini bellum deo inferenti suppetias ferre, mihi nefas est.

A.C. 367 Hoc anno magnus Valentinianus annis vitae 84 imperii undecim exactis vitam hoc pacto finivit. Sauromatae, gens pusilla et infirma, Valentiniano rebellantes, et perdomiti, pacis petendae gratia legatos ad eum miserunt. eo legatos interrogante, num Sauromatae cuncti adeo

εἰπόντων, ὅτι τοὺς κρείττονας πάντων ὧδε ἔχεις καὶ ὁρᾷς· ἀνα- P. 53
κράξας βιαίως ἔφη· δεινὰ Ῥωμαίων ἡ βασιλεία ὑπομενεῖ, εἰς Οὐαλεντινιανὸν λήξασα, εἰ Σαυρομάται τοιοῦτοι ὄντες Ῥωμαίων κατεξανίστανται. ἐκ δὲ τῆς διαστάσεως καὶ τοῦ κρότου τῶν χειρῶν φλεβὸς ῥαγείσης, καὶ πλείστου ἀναδοθέντος αἵματος, ἔν τινι φρουρίῳ Γαλλίας θνήσκει, μηνὶ Λίῳ ιζ', ἰνδικτιῶνος γ'. Γρατιανοῦ δὲ τοῦ υἱοῦ αὐτοῦ μὴ εὑρεθέντος ἐκεῖσε, καὶ Οὐάλεντος ἐν Ἀντιοχείᾳ διάγοντος, τὸ εὑρεθὲν στρατόπεδον ἐν τῷ τόπῳ, ἐν ᾧ ἐτελεύτησεν Οὐαλεντινιανὸς ὁ μέγας, Οὐαλεντινιανὸν τὸν υἱὸν αὐτοῦ, ὄντα ἐτῶν δ' ἀνηγόρευσεν Αὔγουστον, συμπαρούσης καὶ Ἰουστίνης τῆς μητρὸς αὐτοῦ ἐν τῇ Παννονίᾳ. τοῦτο μαθὼν Γρατιανὸς τὸν μὲν B ἀδελφὸν αὐτοῦ εἶχεν συμβασιλεύοντα μεθ' ἑαυτοῦ, τοὺς δὲ ἀναγορεύσαντας διαφόροις τρόποις ἐτιμωρήσατο, διὰ τὸ παρὰ γνώμην αὐτοῦ τοῦτο γενέσθαι. Οὐάλης δὲ κατὰ Γότθων Τραϊανὸν στρατηγὸν πέμπει, ὃς ἡττηθεὶς ἀτίμως, ἀνέκαμψεν. ὀνειδιζόμενος δὲ μαλακίαν ὑπὸ Οὐάλεντος, ἀπεκρίνατο· οὐκ ἐγὼ ἥττημαι, βασιλεῦ· ἀλλὰ σὺ ὁ κατὰ θεοῦ στρατευόμενος καὶ τὴν αὐτοῦ ῥοπὴν προξενῶν τοῖς βαρβάροις. πολλοὺς δὲ

1. ἔχεις καὶ ὁρᾷς A, ἔχεις, οὓς καὶ ὁρᾷς vulg. 2. ὑπομενεῖ] ὑπομείνῃ A, ἀπομένει vulg. 6. τῆς Γαλλίας alii codd. ιζ] ζ A. 10. ὄντα A, ὡς vulg. 12. τῇ Παννονίᾳ A, τῇ Παννονίᾳ χώρᾳ vulg. 13. μεθ' ἑαυτοῦ A, μετ' αὐτοῦ vulg. 15. Οὐάλης — πέμπει om. A. 16. Τραγιανὸν b f. 18. ὁ add. ex A.

misero et despicabili forent corporis aspectu? responderunt: reliquis praestantiores hic tenes et coram conspicis. violentius ille inclamans, dixit: male agitur cum Romano imperio, quod in Valentinianum desiit: cum Sauromatae adeo viles adversus Romanos insurgere audeant. ex clamoris vero contentione et manuum violento complosu rupta vena, et plurimo sanguine emisso, mensis Dii decimo septimo, indictione tertia moritur in quodam Galliae castello. Gratiano eius filio absente, et Valente Antiochiae degente, exercitus loco quo magnus Valentinianus obiit repertus, Valentinianum eius filium quadriennem, Iustina eius matre in Pannoniae provincia praesente, Augustum declaravit. Gratianus eo percepto fratrem quidem in imperii consortium admisit: quod autem ex proprio consilio id non processisset, variis modis facinoris autores ultus est. hinc Valens adversum Gothos Traianum ducem mittit, qui turpiter victus, remeavit. Valenti vero animi mollitiem exprobranti, respondit: non ego victus sum, imperator, sed tu, qui bello in deum illato victoriae momenta in partes barbarorum propendere coegisti. caeterum non modicam vi-

ἀνεῖλεν Οὐάλης διὰ τοὺς ἐκ τῶν μαντειῶν ὑπονοηθέντας βασιλεύειν ἀπὸ τοῦ στοιχείου, ἐν οἷς καὶ Θεόδωρόν τινα πρῶτον ἐν Πατρικίοις.

C Ἐν τῷ αὐτῷ δὲ χρόνῳ τινὲς τῶν Ναυατιανῶν ἐν Φρυγίᾳ τὸ Πάσχα ἤρξαντο ποιεῖν μετὰ Ἰουδαίων, συνελθόντες ἐν Πάζῳ τῇ κώμῃ, καὶ νόμον ἐξέθεντο μετὰ Ἰουδαίων πασχάζειν. ἐκ τούτων οἱ λεγόμενοι Σαββατιανοὶ ἀπὸ Σαββατίου τινὸς ἀνεφύησαν. ὕστερον καὶ Ἀπολλινάριος ὁ Σύρος τότε φανερῶς ἀπέστη τῆς ἐκκλησίας. Δάμασος δὲ ὁ Ῥώμης καὶ
V. 43 Πέτρος Ἀλεξανδρείας πρῶτοι τούτους ἀπεκήρυξαν· καὶ Εὐ-
νόμιος ὁ δυσσεβὴς ἐτόλμησε τὸ βάπτισμα ἐν μιᾷ καταδύσει τελεῖν· οὐκ εἰς τριάδα, ἀλλ' εἰς τὸν θάνατον τοῦ Χριστοῦ
D δεῖν βαπτίζεσθαι λέγων· καὶ τοὺς ἐν τριάδι βαπτιζομένους ἀνεβάπτιζεν· Ἰουλιανὸς δέ, ὃ καὶ Σάβας, ἱερὸς ἀσκητὴς εἰς Ἀντιόχειαν ἐλθὼν ἀπὸ Ἐδέσσης τοὺς τὸ ὁμοούσιον δοξάζοντας ὀρθοδόξους ὑπεστήριζεν, προφανῶς ἀναθεματίζων τοὺς Ἀρειανούς, καὶ Ἀφραάτης ὁ θεῖος μετὰ πολλῆς παρρησίας κατὰ πρόσωπον ἐν Ἀντιοχείᾳ διήλεγξεν τὴν τοῦ Οὐάλεντος ἀσέβειαν· εἷς δὲ τῶν εὐνούχων θρασέως τῷ Ἀφραάτῃ λοιδορήσας καὶ ἀπειλήσας καπελθὼν ἑτοιμάσαι βαλανεῖον τῷ βα-

2. ἀπὸ τοῦ Θ' στοιχείου A. (?) 8. τινὸς] μηνὸς A. καὶ Ἀπολλ. A, δὲ Ἀπ. vulg. 12. τὸν add. ex. A. 15. Ἐδέσσης A, Ἐδέσης vulg. 19. θρασέως] θαρσαλέως A. 20. καπελθὼν A, κατελθὼν vulg.

rorum manum, quorum nominis Theta littera caput esset et initium, quod vaticiniis imperium ipsis deberi suspicaretur, atque una cum ipsis Theodorum quendam inter Patricios primum Valens interfecit.

Eodem quoque anno quidam ex Novatianis in Phrygia ad vicum Pazum convenientes Pascha simul cum Hebraeis celebrare coeperunt: atque deinceps solemnitatem Paschalem cum Iudaeis agendam etiam lege lata sanxerunt: ex quibus Sabbatiani, a quodam Sabbatio traxerunt originem. tum demum vero Apollinarius Syrus ab ecclesia palam defecit. Damasus autem Romae et Petrus Alexandriae episcopi eos primi condemnavere. impius deinceps Eunomius baptismum unica immersione perficere attentavit: neque in trinitatis nomen, sed in Christi mortem peragi oportere asseveravit: quare qui trinitate appellata forent baptizati, repetito baptismo initiabat. Iulianus vero cognomento Sabas sacer asceta Edessa Antiochiam profectus orthodoxos, qui filium dei patri consubstantialem assererent, in fide, Arianis anathemate publice damnatis, confirmabat: sed et divinus Aphraates Valentis impietatem magna cum libertate Antiochiae coram exprobravit et obiurgavit. ex eunuchorum autem numero unus, Aphraatem conviciis et minis petulanter adortus, cum ad balneum imperatori paran-

σιλεῖ, πληγεὶς τὴν διάνοιαν, ἑαυτὸν εἰς τὸ θερμὸν ὕδωρ βαλὼν ἀπώλετο. καὶ Ἐφραὶμ ὁ μέγας ἐν ἀσκήσει καὶ θείᾳ διδασκαλίᾳ διέλαμπεν, πολλοὺς μὲν λόγους ἀσκητικούς, πλείστους P. 54
δὲ καὶ δογματικοὺς ἐκ θείου πνεύματος ἀναβλύσας· τινὰ δὲ τῶν πονημάτων αὐτοῦ καὶ ᾄδεσθαι Σύροις παρέδωκεν διὰ τοῦ μέλους τοὺς ἀργοτέρους ἐφελκόμενος· φασὶ γοῦν τριακοσίας μυριάδας στίχων αὐτὸν ἐκδεδωκέναι τὸν ὄντως θεόσοφον.

Ῥωμαίων βασιλέως Οὐάλεντος ἔτος α'. A.M. 5868

Τούτῳ τῷ ἔτει ἡ τῶν Μεσσαλιανῶν αἵρεσις, ἤγουν Εὐ- B
χητῶν, καὶ Ἐνθουσιαστῶν, ἀνεφύη. οὗτοι ψάλλοντες κυμβαλίζουσι καὶ κροταλίζουσι τὰ παρὰ τῷ Δαβὶδ παχέως ἐκλαμβάνοντες καὶ ἀνοήτως. ταύτης αἱρεσιάρχαι Δαδόης καὶ Σάββας καὶ Ἀδέλφιος, φασὶ δέ τινες, ὅτι καὶ ὁ Σεβαστείας Εὐστάθιος· οἷς ἀντέστησαν γενναίως Ἀμφιλόχιος Ἰκονίου καὶ Λητωΐος Μελιτινῆς, ὕστερον δὲ καὶ Φλαβιανὸς Ἀντιοχείας. Οὐάλης δὲ πᾶσαν ἐκκλησίαν πορθήσας, ἦκεν εἰς Καισάρειαν C
ἐξ ἀνατολῆς κατὰ τοῦ θείου Βασιλείου μαινόμενος· ἔπραξε δὲ ἃ καὶ ὁ μέγας Γρηγόριος εἰς τὸν Βασιλείου ἐπιτάφιον

4. δὲ τῶν A, δὲ καὶ τῶν vulg. 5. αὐτοῦ om. A. 10. Μεσαλιανῶν A. Εὐχητῶν A, Εὐχιτῶν vulg. 11. ἀνεφύη A b e f, ἐφύη vulg. κυμβαλίζουσι καὶ κροταλίζουσι A, βαλλίζουσι vulg. 12. τῷ Δ. A, τοῦ Δ. vulg. 13. αἱρεσιάρχαι A, αἱρεσιάρχης vulg. 14. Σεβαστιανὸς A f, Σεβάστιος e. 15. καὶ om. A. 19. ἃ καὶ ὁ A, καὶ ἃ ὁ vulg.

dum fuisset profectus, mentis impotentia subito perculsus, in ferventem aquam seipsum coniiciens interiit. magnus insuper Ephraem virtutum exercitio et eruditione plane divina clarebat: et multos quidem sermones ad monasticae vitae instructionem, plures vero ad Christianorum dogmatum stabilimentum spectantes divino spiritu effudit: quaedam etiam ex suis operibus dedit Syris decantanda, segniores videlicet ad devotionem cantus suavitate illecturum se arbitratus: trecentas quippe versuum myriadas ab homine rerum divinarum peritissimo vereque sapientissimo compositas affirmant.

Romanorum imperatoris Valentis annus primus. A.C. 368

Hoc anno Messalianorum, hoc est Euchitarum et Enthusiastarum haeresis enata est. isti Davidis verba pingui rudique captu interpretati inter concinendum psalmos tripudia choreasque ducunt. haeresis huius principes fuere Dadoës, Sabbas et Adelphius, et, ut autumant quidam, etiam Eustathius Sebasteae episcopus: quibus Amphilochius Iconii, Letoius Melitines, ac demum Flavianus Antiochiae praesules sese fortiter opposuere. caeterum Valens devastata universa ecclesia, in divinum Basilium furens ex oriente Caesaream se contulit, ubi de-

ἔλεξεν· ἡνίκα καὶ Γαλάτης ὁ Οὐάλεντος υἱὸς χαλεπῶς χειμασθεὶς ἀπέθανεν, καὶ ἡ σύμβιος Δομνίκα δεινῶς ἐνόσησεν. Δημοσθένους δὲ ἑνὸς τῶν ὀψοποιῶν Οὐάλεντος ἐν τῇ πρὸς τὸν βασιλέα συντυχίᾳ τοῦ θείου Βασιλείου καταδραμόντος, καὶ βαρβαρίσαντος μικρόν, ἔφη πρὸς αὐτὸν ὁ διδάσκαλος· ἰδού· ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον. Οὐάλης δὲ αἰδεσθεὶς Βασίλειον, πολλὰ χωρία καὶ κάλλιστα τοῖς ὑπ' αὐτοῦ φροντιζομένοις [λελωβημένοις] ἐδωρήσατο· καὶ τὸ στερ-
D ρὸν καὶ ἀκλινὲς τοῦ Βασιλείου ὁρῶν, ἐξορίαν κατ' αὐτοῦ ἐψηφίσατο. τὸ δὲ γράμμα τῆς ἐξορίας ὑπογράψαι θελήσας οὐκ ἴσχυσεν, τριῶν μὲν καλάμων συντριβέντων, ἔσχατον δὲ καὶ τῆς χειρὸς αὐτοῦ παρεθείσης.

A.M. 5869 V. 44 P. 55 Τούτῳ τῷ ἔτει Μαυΐα Σαρακηνῶν βασίλισσα πολλὰ κακὰ Ῥωμαίοις ποιήσασα εἰρήνην ᾐτήσατο, καὶ Μωσῆν τινα τῶν ἀσκούντων κατὰ τὴν ἔρημον ἐπίσκοπον δοθῆναι τοῖς χριστια-
νίζουσι παρὰ τοῖς Σαρακηνοῖς ᾔτησε. τοῦ δὲ βασιλέως σπουδαίως τοῦτο ποιήσαντος, Μωσῆς οὐ κατεδέξατο ὑπὸ Λουκίου τοῦ Ἀρειανοῦ χειροτονηθῆναι, ἀλλ' ὑπό τινος τῶν ἐν ἐξορίᾳ ὀρθοδόξων, ὅπερ καὶ γέγονεν· τοῦτον λαβοῦσα Μαυΐα πολλοὺς Χριστιανοὺς ἀπὸ Σαρακηνῶν ἐποιήσατο. φασὶ δὲ ὅτι

1. ὁ add. ex A· 5. post μικρὸν b add. μειδιάσαντος. 6. δὲ om. A. 8· λελωβημένοις om. A. 10. ὑπογράψαι A, ἐπιγρ. vulg. 14. Μωσῆν A b, Μωϋσῆν vulg. 16. παρὰ τοῖς A, παρ' αὐτοῖς vulg. 20. πολλοὺς Σαρακηνοὺς Χριστιανοὺς ἐποιήσατο a c.

mum ea admisit, quae Gregorius in funebri oratione in Basilium refert: quo tempore Galates Valentis filius gravi morbo iactatus periit, et coniux Domnica difficili aegritudine vexata est. Demosthene vero uno e coquorum Valentis numero, divinum Basilium, ea quam habuit ad imperatorem allocutione, incursante, et barbarica dialecto nonnulla interlocuto, doctor, sermone ad eum converso, en, inquit, etiam Demosthenem illiteratum conspeximus. Valens itaque Basilium reveritus, multa praedia, eaque optima, leprosis, quorum vir sanctus curam habebat, concessit: robur tamen pectoris, et inflexum Basilii animum conspicatus, exilii sententiam in eum pronunciavit. Iatis exilii tabulis cum subscribere vellet, tribus contritis calamis, luxatisque manus et obstupefactis viribus, ne litteram quidem apponere usquam valuit.

A. C. 369 Hoc anno Mavia Saracenorum regina, multis cladibus Romanorum imperio illatis, pacem expetiit, et Moysen quendam solitariam vitam in desertis agentem, conversis penes se ad Christum Saracenis, episcopum dari postulavit. imperatore sedulo id annuente, Moyses Lucii Ariani ordinationem non admisit, verum ab orthodoxorum quo-

καὶ αὐτὴ Χριστιανὴ ἦν, Ῥωμαία τῷ γένει, καὶ ληφθεῖσα αἰχμάλωτος ἤρεσεν διὰ κάλλος τῷ βασιλεῖ τῶν Σαρακηνῶν· καὶ οὕτως τῆς βασιλείας ἐκράτησεν. ἱστορεῖ δὲ πολλὰ περὶ τοῦ ἔθνους ὁ Σωζόμενος, ὅθεν τε ἤρξατο, καὶ ὀνομάζεται, καὶ ὅτι δεκατριῶν ἐτῶν περιτέμνεται. οἱ δὲ Γότθοι ὑπὸ τῶν Οὔννων πολεμηθέντες, βοήθειαν αἰτοῦνται παρὰ τοῦ βασιλέως Οὐάλεντος δι' Εὐφίλα ἐπισκόπου αὐτῶν Ἀρειανόφρονος προσυνδιατρίψαντος ἐπὶ Κωνσταντίου Εὐδοξίῳ καὶ Ἀκακίῳ τοῖς Ἀρειανοῖς. οὗτος ἀρειανίζειν τοὺς Γότθους ἐδίδαξεν. οἱ Γότθοι διῃρέθησαν εἰς δύο· καὶ τῶν μὲν ἐστρατήγει Ἀθανάριχος, τῶν δὲ Φριτιγέρνης· οὗτος ἡττηθείς, καὶ βοήθειαν λαβὼν παρὰ Οὐάλεντος, νικᾷ τοὺς περὶ Ἀθανάριχον· Οὐάλεντι δὲ χαριζόμενος, ἀρειανίζειν ἐπὶ πλεῖον τοὺς Γότθους ἐδίδαξεν.

Περσῶν βασιλέως Ἀρσαβήλου ἔτος α'. A.M. 5870

Τούτῳ τῷ ἔτει οἱ Γότθοι πάλιν ἐνωθέντες ἐξῆλθον εἰς τὴν γῆν Ῥωμαίων, καὶ ἠρήμωσαν πολλὰς ἐπαρχίας, Μυσίαν, Θράκην, Μακεδονίαν, καὶ Ἀχαΐαν, καὶ πᾶσαν τὴν Ἑλλάδα, περὶ τὰς εἴκοσι ἐπαρχίας. ἐθεάθησαν δὲ ἐν τούτῳ τῷ χρόνῳ

3. πολλὰ add. ex a b c d. 5. τῶν om. A. 7. Εὐφύλα a. 9. οὗτος] οὕτως A. 11. Φριτιγέρνης A. 12. περὶ A, παρὰ vulg. 13. πλεῖον A, πλέον vulg. 17. ante Μυσίαν A add. Σκυθίαν. 19. δὲ ἐν A, δὲ καὶ ἐν vulg.

piam in exilium misso se voluit consecrari: quod et factum est. eo secum deducto, multos ex Saracenis Christianos effecit Mavia. illam religione Christianam, genere Romanam extitisse ferunt, inter captivos autem abductam, Saracenorum regi ob vultus speciem summopere gratam, hoc pacto regni potestatem obtinuisse. de Sarâcenorum gente narrat Sozomenus, unde ceperit et acceperit nomen; et ut tertio supra decimum anno circumcidi se patiatur. Gotthi porro ab Hunnis bello superati, ab imperatore Valente per Euphilam episcopum suum Ariana labe infectum, atque cum Eudoxio et Acacio pariter Arianis sub Constantio conversatum, quo pacto Gotthos Arianum dogma edocuit, auxilium exposcunt. Gotthi in duas factiones dividebantur: et horum quidem Athanarichus, aliorum Phritigernes dux extitit. hic viribus inferior et victus, suppetiis a Valente acceptis, Athanarici comites debellat. hinc Valentem gratia promeriturus, Gotthos in Arianorum dogmate amplius obfirmavit.

Persarum regis Arsabeli annus primus. A. C. 370

Hoc anno Gotthi rursum eruptione facta in Romanam ditionem grassati, plures provincias depopulati sunt, Moesiam, Thraciam, Macedoniam, Achaiam, et omnem Graeciam, ad viginti usque provincias. eo anno visi sunt in aere viri armis instructi e nubibus formati. An-

ἐν τῷ ἀέρι ἐν ταῖς νεφέλαις ἐσχηματισμένοι ἄνδρες ἔνοπλοι. ἐγεννήθη δὲ καὶ ἐν Ἀντιοχείᾳ παιδίον ἐντελῆ μὲν τὰ ἄλλα
D μέρη, ὀφθαλμὸν δὲ ἕνα ἔχον ἐν μέσῳ τῷ μετώπῳ, χεῖρας δὲ καὶ πόδας τέσσαρας, καὶ πώγωνα. Οὐάλης δὲ διάγων ἐν Ἀντιοχείᾳ πόλει, καὶ μαθὼν περὶ τῶν Γότθων, ἦλθεν εἰς Κωνσταντινούπολιν. οἱ δὲ Βυζάντιοι ὕβριζον αὐτὸν ὡς ἄνανδρον καὶ φυγοπόλεμον. Ἰσάκιος δὲ ὁ ἱερὸς μοναχὸς κρατήσας τοῦ χαλινοῦ τοῦ ἵππου τοῦ Οὐάλεντος ἐξερχομένου κατὰ τὸ ἔσχατον εἰς πόλεμον, ἔφη πρὸς αὐτόν· ποῦ βαδίζεις, βασιλεῦ, κατὰ θεοῦ στρατευόμενος καὶ θεὸν ἔχων ἀντίπαλον; ᾧ τινι ὀργισθεὶς φρουρᾷ παρέδωκεν, ἀπειλήσας αὐτῷ θάνατον, εἰ
P. 56 ἐπανέλθοι, ὡς τῷ Μιχαίᾳ ποτὲ Ἀχάβ. μετὰ δὲ τὴν ἔξοδον αὐτοῦ ἐξομολογήσαντό τινες τῶν περὶ αὐτόν, ὡς κατ' ἐπιτροπὴν αὐτοῦ γενέσθαι μαντείας περὶ τῆς προκειμένης αὐτῷ ὁρμῆς ἐν τῷ πολέμῳ. ἐν ᾧ συμβαλὼν τοῖς Γότθοις Οὐάλης καὶ ἡττηθείς, φεύγει σὺν ὀλίγοις ἐν οἰκίσκῳ. τοῦτον δὲ καταλαβόντες οἱ βάρβαροι καὶ τὴν οἰκίαν ἀνάψαντες, ἀγνοοῦντες τοὺς ἐν αὐτῇ πάντας κατέκαυσαν. φασὶ δὲ ὅτι ὁ θεῖος Ἰσάκιος ἐν
V. 45 τῇ φρουρᾷ τῆς δυσφδίας Οὐάλεντος ἐμπριζομένου ἀντελάβετο

2. ἐντελῆ A, ἐντελὲς vulg. 3. post χεῖρ. δὲ καὶ A, δὲ τέσσαρας, καὶ vulg. 4. ἐν Ἀντιοχείᾳ A, ἐν τῇ Ἀντ. vulg. 5. εἰς] ἐπὶ A et alii. 7. ἱερομόναχος A. τὸν χαλῖνον A. 8. ἐξερχομένου κατὰ τὸ ἔσχατον εἰς πόλεμον, ἔφη A, ἐξερχομένου αὐτοῦ εἰς πόλεμον, τὸ ἔσχατον ἔφη vulg. 13. περὶ om. A. 14. post προκ. αὐτῷ A, αὐτοῦ vulg. 17. ἀγνοοῦντες add. ex A. 19. τῆς add. ex A. ἐμπριζομένου] an fortasse legendum: ἐμπυριζομένου vel ἐμπρηθομένου?

tiochiae vero puer caeteris omnibus membris constans natus, unum tantum oculum in frontis medio ferebat, manus autem quatuor, totidem pedes, et barbam. porro Valens diutius in Antiochena urbe moratus, ac tandem de Gotthorum ausibus certior factus, Cpolim se contulit. caeterum Byzantii hominem contumeliis respergebant, velut imbellem, et qui Martis opus fugeret. exin Isacius sacer monachus, apprehenso freno equi Valentis aciem ex urbe educentis, et ad bellum progredientis, quasi ultima verba praecinens, ad eum dixit: quo properas, imperator, in deum militaturus, et iamiam deum experturus adversarium? in eum frendens imperator custodiae mancipavit, mortem, ut Michaeae quondam Achab, ei minatus, si unquam rediret. post eius obitum, libere fassi sunt, qui eius utebantur familiaritate domestici, eius consilio vaticinia consulta de proposita sibi belli expeditione. demum cum Gotthis habito conflictu superatur, et fuga cum paucis arrepta casulam subit. in aediculam fugitivos se recepisse deprehendunt barbari, quapropter igne subiecto cunctos in

θεῷ χαρίσματι καὶ ψυχῆς καθαρότητι, προεῖπέ τε τὴν ἀναίρεσιν αὐτοῦ τοῖς συνοῦσιν, πρὶν ἢ παραγενέσθαι τοὺς ἀπαγγέλλοντας ἐκ τοῦ πολέμου τὰ πεπραγμένα. μετὰ δὲ τὴν ἧτ- B
ταν καὶ τὸν διὰ πυρὸς θάνατον Οὐάλεντος ἐπαρθέντες οἱ Γότθοι τῇ νίκῃ δεινῶς τὰ προάστεια τῆς Κωνσταντινουπόλεως ἐλῄζον. Μαυΐα δὲ ἡ τῶν Σαρακηνῶν βασίλισσα πέμψασα Σαρακηνῶν στρατόν, καὶ Δομνίκα ἡ γαμετὴ Οὐάλεντος ἐξαγαγοῦσα τὸν δῆμον τῆς πόλεως τοὺς βαρβάρους ἐδίωξεν. τούτων δὲ οὕτω διατεθέντων, γνοὺς Γρατιανὸς ὁ Αὔγουστος ἐν τῇ Παν- C
ονίᾳ, κατερχόμενος ὡς πρὸς βοήθειαν, ἀντὶ Οὐάλεντος ἐνέδυσε Θεοδόσιον Αὔγουστον, καὶ ἀνηγόρευσε βασιλέα, καὶ ἀπέστειλεν εἰς τὸν κατὰ Γότθων πόλεμον. Γότθους δὲ ἐπιχωρίως τοὺς Σκύθας λέγεσθαι Τραϊανὸς ὁ Πατρίκιος ἐν τῇ κατ' αὐτὸν ἱστορίᾳ φησίν. Δωρόθεος ὁ ἐν ἁγίοις ἐπὶ τοῦ δυσσε- C
βοῦς Οὐάλεντος ἐμαρτύρησεν ἐν Ἀλεξανδρείᾳ θηρίοις παραδοθεὶς ἐν τῷ Κυνηγείῳ ὑπὸ Ἀρειανῶν.

Ῥωμαίων βασιλέως Θεοδοσίου ἔτος α'. A.M. 5871

Τούτῳ τῷ ἔτει Γρατιανὸς ὁ βασιλεὺς κοινωνὸν τῆς βασιλείας Θεοδόσιον προεβάλλετο τῷ γένει μὲν Ἴβηρα Ἑσπέριον,

1. προεῖπέ τε A b, προειπών τε vulg. 3. ἐκ τοῦ A, ἀπὸ vulg. 5. τῆς om. A. ἐλῄζον A, ἐδῄουν b, ἐληΐουν vulg. 6. ἡ τῶν Σαρ. βασ. A, τῶν Σαρ. ἡ βασ. vulg. 7. ἐξαγαγοῦσα A, ἐξάγουσα vulg. 13. κατ' αὐτῶν b. 16. Κυνηγίῳ A. 19. προεβάλετο e f, προσελάβετο a.

ea inclusos incendio misere absumpsere. ferunt etiam divinum Isacium custodia detentum adustulati Valentis foetorem dei nutu et animae munditia praesensisse, ac priusquam belli eventum denuntiaturi adventassent, ipsam tyranni caedem astantibus praedixisse. parta victoria, et Valente igne sublato, elati animis Gotthi Cpoli iuncta suburbia coeperunt atrociter infestare: quibus Mavia Saracenorum regina missum a se Saracenicum exercitum opposuit, Domnica quoque Valentis coniux educto in aciem populo ab urbe remote barbaros expulit. haec ita gesta cum Gratianus Augustus in Pannonia rescivisset, quasi suppetias laturus suscepit expeditionem, et in Valentis locum Theodosium Augustum imperatoria chlamyde vestivit, et imperatorem renunciatum ad bellum adversus Gotthos misit. Scythas porro vernacula ipsorum lingua Gotthos nuncupatos Traianus Patricius in sua historia asserit. sanctus autem Dorotheus sub impio Valente Alexandriae in circo bestiis expositus clarum ab Arianis martyrium pertulit.

Romanorum imperatoris Theodosii annus primus. A.C. 371

Hoc anno Gratianus imperator Theodosium Iberum Hesperium genere, virum nobilem et bellicis in rebus versatissimum, imperii collegam

Dεὐγενῆ δέ τινα καὶ θαυμάσιον περὶ τοὺς πολέμους γενόμενον. οὗτος εὐθὺς τοὺς ἐν Θρᾴκῃ βαρβάρους κατὰ κράτος ἐνίκησεν, εὐσεβὴς ὤν, καὶ ὀρθόδοξος. Γρατιανὸς δὲ καὶ Οὐαλεντινιανὸς νόμῳ τοὺς ἐν ἐξορίᾳ ἐπισκόπους ἀνεκαλέσαντο, τοὺς δὲ ἀρειανίζοντας ἐδίωξαν, Δαμάσου τοῦ πάππα Ῥώμης συμπράττοντος. τότε καὶ Πέτρος Ἀλεξανδρείας ἐπίσκοπος ὑποστρέψας, καὶ Λούκιον ἀπελάσας, τὸν ἴδιον θρόνον ἀπέλαβεν. τούτου δὲ τελευτήσαντος, Τιμόθεος ὁ ἀδελφὸς αὐτοῦ ἀντ' αὐτοῦ χειροτονεῖται τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας τῶν ὀρθοδόξων ἐπίσκοπος. ἐν δὲ Ἀντιοχείᾳ τῆς Συρίας διχῇ διηρημένων τῶν ὀρθοδόξων μετὰ τὸν [κατὰ τὸν] θεῖον Εὐστά-
P. 57 θιον, οἱ μὲν Παυλῖνον εἶχον ἐπίσκοπον, οἱ δὲ Μελέτιον τὸν ἱερὸν μετὰ τὴν προαγωγὴν Εὐζωΐου τοῦ Ἀρειανῶν ἐπισκόπου. οἱ δὲ βασιλεῖς νόμον ἔγραψαν ὑπὲρ τῶν ὀρθοδόξων, καὶ ἐξέπεμψαν διὰ Σάπωρός τινος στρατηγοῦ κατὰ τὴν ἑῴαν, ὃς καταλαβὼν Ἀντιόχειαν, εὗρεν ἔριδα Παυλίνου τῆς ἐπισκοπῆς ἀντιποιουμένου, καὶ Ἀπολιναρίου ἐπιτρέχοντος τῷ θρόνῳ· Μελέτιον δὲ τὸν ἱερὸν ἀμάχως ἡσυχάζοντα· Φλαβιανὸν δὲ τότε πρεσβύτερον ὄντα καὶ Παυλίνῳ μὲν ἀντιτασσόμενον,

6. ἐπίσκοπος add. ex A. 8. τούτου δὲ τελευτήσαντος] ὀλίγον δὲ χρόνον ἐπιβιοὺς ἐτελεύτησεν b. 11. τὰ κατὰ τὸν θεῖον A, κατὰ τὸν om. b e. 13. προσαγωγὴν A. Ἀρειανῶν A, Ἀρειανοῦ vulg. post ἐπισκόπου A addit: ἐν Ἀντιοχείᾳ ἐξ αὐτῶν ἀποσχίσαντες. 16. Ἀντιόχειαν A, τὴν Ἀντ. vulg. εὗρεν om. A. 18. δὲ ante τότε om. A. 19. μὲν add. ex A.

ascivit. ille pietate clarus et de recta fide bene sentiens, barbaros Thraciam devastantes profligavit. Gratianus et Valentinianus Damasi papae Romani consiliis episcopos exilio damnatos data lege revocarunt ad sedes sibi proprias, Arianis ab eis omnino depulsis. tunc temporis Petrus Alexandriam reversus proprium thronum, Lucio eiecto, recepit. eo mortuo Timotheus eius frater Alexandrinae ecclesiae et orthodoxorum episcopus in eius locum consecratur. Antiochiae vero, quae urbs Syriae est, orthodoxis post divini Eustathii obitum in duas partes divisis, hi quidem Paulinum agnoscebant episcopum, alii, Euzoïo Ariano ad praesulatum evecto, sacrum virum Meletium habuere. imperatores porro legem orthodoxorum commodo latam per Saporem quendam orientis ducem miserunt. hic Antiochiam profectus, Paulini episcopatum iam assecuti, et Apollinarii thronum incursantis dissidium comperit, sacrum etiam Meletium longe a tumultu quietum, Flavianum autem tunc temporis presbyterum, Paulino quidem adversantem, Apollinarium vero probris et conviciis onerantem, et Meletio thro-

Ἀπολινάριον δὲ καταισχύναντα, καὶ Μελετίῳ τὸν θρόνον ἐκδοῦναι τὸν στρατηγὸν Σάπωρα παρεγγυώμενον. καὶ τοῦτον κυρώσας ἀνεχώρησεν. τότε Διόδωρον τὸν ἐπίσκοπον Ταρσοῦ B
ὁ μέγας Μελέτιος ἐχειροτόνησεν. Εὐσέβιός τε ὁ Σαμωσάτων ἐπίσκοπος ἐκ τῆς ἐξορίας ἐπανελθών, πολλοὺς ἐπισκόπους ἐχειροτόνησε διαφόροις πόλεσιν. ἐλθὼν δὲ καὶ ἐν Δολικῇ χειροτονῆσαι Μάριν ἐπίσκοπον, εἰσερχόμενος ἐν τῇ πόλει, φονεύεται γυναικὸς Ἀρειανῆς ἐξ ὕψους ῥιψάσης κεραμίδα κατὰ τῆς ἱερᾶς τοῦ ἁγίου κεφαλῆς, θεοῦ συγχωρήσαντος οἷοις οἶδε κρίμασι· περὶ οὗ ὁ θεολόγος Γρηγόριός φησιν· ζητῶ μου τὸ χθὲς ὑμῶν σφάγιον τὸν Ἀβραμιαῖον γέροντα.

Τότε καὶ Γρηγόριος ὁ θεολόγος παρρησιαστικώτερον ἐδί- V. 46
δασκεν ἐν Κωνσταντινουπόλει εἰς τὸ εὐκτήριον τῆς ἁγίας Ἀναστασίας, ἔνθα καὶ παράδοξα γίνεσθαι θαύματα ἐξ ἐμφανείας τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου λέγουσιν. C

Ἀλεξανδρείας ἐπισκόπου Τιμοθέου ἔτος πρῶτον. A.M. 5872

Ῥώμης ἐπισκόπου Σιρικίου ἔτος πρῶτον. A.M. 5873

Τούτῳ τῷ ἔτει Γρατιανὸς ὁ βασιλεὺς ἀνῃρέθη δόλῳ A.M. 5874
Ἀνδραγαθίου τοῦ στρατηγοῦ Μαξίμου τοῦ τυράννου. αὐτὸς D

1. Ἀπολλιναρίου A. ἀποδοῦναι b. 3. τὸν add. ex A. 4. τε om. A e. 6. καὶ add. ex A. 7. Μάριν A b e, Μάρην vulg. 10. ὁ θεολ. Γρηγ. A, ὁ Γρηγ. θεολ. vulg. 14. εἰς τὸ — Ἀναστασίας om. A. 16. δεσποίνης ἡμῶν θεοτόκου A, θεοτόκου καὶ δεσποίνης ἡμῶν vulg. 20. τοῦ ante τυράννου om. a. οὗτος γὰρ b.

num pluribus adhortantem designari. Sapor Flaviani consilium sua sententia confirmans, abscessit. eo tempore Diodorum Tarsi episcopum magnus Meletius ordinavit. Eusebius etiam Samosatensis praesul postliminio reversus variis urbibus plures assignavit episcopos: Dolicam vero adveniens Maris in episcopum praeficiendi causa, in ipso urbis ingressu, deo, quibus ipse novit consiliis, permittente, ab Ariana muliere tegulam in sacrum sancti viri caput superne deiiciente perimitur: de quo Gregorius theologus ait. requiro meum, heri vestrum, Abrahamaeum senem occisum.

Tunc etiam idem Gregorius theologus Cpoli in oratorio S. Anastasii maiori cum libertate docuit, ubi magna atque supra fidem hominum miracula ex sanctissimae dei genitricis et dominae nostrae opera fieri perhibentur.

Alexandriae episcopi Timothei annus primus. A. C. 372

Romae episcopi Siricii annus primus. A. C. 373

Hoc anno Andragathii Maximi tyranni ducis dolo Gratianus imperator occisus est. hic siquidem rhedam ingressus Gratiani coniu- A. C. 374

γὰρ ἐφ' ἁρμαμάξης εἰσελθὼν ὑπεκρίθη εἶναι ἡ γαμετὴ Γρατιανοῦ, καὶ οὕτως ὑπαντήσας ἀφυλάκτως αὐτῷ ἀνεῖλεν αὐτὸν Ἀνδραγάθιος. τούτου δὲ ἀναιρεθέντος ἐκράτησεν Οὐαλεντινιανὸς τὴν Ῥωμαίων βασιλείαν.

P. 58 Τῷ δ' αὐτῷ χρόνῳ Θεοδόσιος ὁ μέγας νόσῳ περιπεσὼν ἐν Θεσσαλονίκῃ ἐβαπτίσθη ὑπὸ Ἀχολίου τοῦ ἐπισκόπου, καὶ νόμον ὑπὲρ τῶν ὀρθοδόξων τοῦ ὁμοουσίου ἔγραψεν, ὃν ἐν Κωνσταντινουπόλει ἀπέστειλεν. ἐλθὼν δὲ ἐν Κωνσταντινουπόλει ἐδήλωσεν Δημοφίλῳ, ἢ ἀποστῆναι τῆς Ἀρείου πλάνης, ἢ ταχέως τῶν ἐκκλησιῶν ἐξελθεῖν. ὁ δὲ τὸ πλῆθος τῶν Ἀρειανῶν συνάξας, ἔξω τῆς πόλεως ἐκκλησίαζεν, ἔχων καὶ Λούκιον τὸν Ἀλεξανδρείας ἐπίσκοπον Ἀρειανὸν σὺν αὐτῷ· καὶ οὕτω λοιπὸν ὁ θεῖος Γρηγόριος, μεθ' ὧν αὐτὸς εἰς τὴν ὀρθόδοξον πίστιν ἐφώτισε, τὰς ἐκκλησίας πάσας παρέλαβεν,
B τεσσαράκοντα ἔτη τῶν Ἀρειανῶν καὶ μικρὸν πρὸς προκατασχόντων αὐτάς.

A.M. 5875 Περσῶν βασιλέως Οὐράνους ἔτος α'.

Κωνσταντινουπόλεως ἐπισκόπου Γρηγορίου τοῦ Θεολόγου ἔτος α'.

Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ ἐν γειτονίᾳ Ἰουβιτῶν, οὕτω

1. ἁρμαμάξης] codd. et edd. ἅρμα ἁμάξης. 4. τὴν — βασιλείαν A alii, τὸ — βασίλειον vulg. 6. ἐβαπτίσθη] βαπτίζεται a. Ἀχολίου A b, Ἀσχολίου vulg. 10. τῶν ἐκκλησιῶν A, τῆς ἐκκλησίας vulg. τὸ πλῆθος τῶν Ἀρ. A, πλῆθος Ἀρειανῶν vulg. 12. τὸν Ἀλ. A, τῆς Ἀλ. vulg. ὄντα σὺν αὐτῷ A. 14. πάσας καὶ παρέλ. A. 15. τεσσ. ἔτη τῶν Ἀρ. A, τῶν Ἀρ. τεσσ. ἔτη vulg.

gem se esse simulavit, cui velut delusus cum incaute occurrisset Gratianus, ipsum Andragathius interfecit. eo sublato tenuit Romanum imperium Valentinianus.

Hoc eodem anno magnus Theodosius gravi morbo Thessalonicae iactatus, ab Acholio episcopo baptizatus est. legem etiam rectam consubstantialis sententiam tenentibus faventem promulgavit, quam et Cpolim misit. ipse in urbem profectus Demophilo significavit, aut ab Arii discederet erroribus, aut mox ecclesia migraret. ille coacta Arianorum plebe cum Lucio Alexandriae episcopo, quem tum secum habebat, suos extra civitatem coetus celebravit. atque ita demum divinus Gregorius, una cum iis quos verae fidei doctrina illustraverat, omnes tandem ecclesias, quas Ariani quadraginta et amplius annis occupaverant, recepit.

A. C. 375 Persarum regis Varanis annus primus.

Cpoleos episcopi Gregorii theologi annus primus.

Hoc anno Antiochiae ad Iobitarum, quam nuncupant, viciniam,

λεγομένων, γυνὴ ἔτεκεν ὁμοῦ κατα τὸ αὐτὸ παιδία τέσσαρα αρσενικά· καὶ ἐπέζησαν μῆνας δύο, καὶ ἀπέθανον, ἓν ἐπὶ τὸ ἕν, τὰ τέσσαρα. C

Τούτῳ τῷ ἔτει ἡ μεγάλη καὶ οἰκουμενικὴ ἁγία δευτέρα A.M. 5876
σύνοδος τῶν πεντήκοντα καὶ ἑκατὸν ὀρθοδόξων ἐπισκόπων ἐν Κωνσταντινουπόλει ὑπὸ Θεοδοσίου τοῦ μεγάλου συνηθροίσθη πρὸς βεβαίωσιν τῶν ἐν Νικαίᾳ δογμάτων. μετεστείλατο δὲ καὶ ἐκ τῆς Μακεδονίου αἱρέσεως ἐπισκόπους τριάκοντα ἓξ, V. 47
ὧν ἡγεῖτο Ἐλεύσιος. τῶν δὲ ἁγίων πεντήκοντα καὶ ἑκατὸν πατέρων προηγοῦντο Τιμόθεος ὁ Ἀλεξανδρείας, Μελέτιος Ἀντιοχείας, Κύριλλος ὁ ἱερώτατος Ἱεροσολύμων, καὶ ὁ θεῖος Γρηγόριος Κωνσταντινουπόλεως. οἱ δὲ τὰ Μακεδονίου φρο- D
νοῦντες τριάκοντα ἓξ ἐπίσκοποι προτραπέντες ὑπὸ τῶν πατέρων τὰ ἐν Νικαίᾳ δέξασθαι δόγματα, καθὰ καὶ Λιβερίῳ ἐπὶ Οὐάλεντος συνθέμενοι, λιβέλλους ἐπέδωκαν. οἱ δὲ περὶ Σιλβανὸν ἐν Ῥώμῃ πεμφθέντες ἀπηνήναντο τῇ ἀληθείᾳ συνθέσθαι, καὶ ἀνεχώρησαν γέλως ἅπασι γεγονότες, ἄλλα μὲν φρονοῦντες, ἄλλα δὲ συντιθέμενοι, ἀπατηλῶς τὰς Λιβερίου ἐπιστολὰς ἐπαγόμενοι μαρτυρούσας αὐτοῖς ὀρθοδοξίαν. ἡ δὲ ἁγία σύνοδος Γρηγορίῳ τῷ θεολόγῳ τὴν ἐπισκοπὴν Κωνσταν- τινουπόλεως ἐκύρωσεν, καὶ ἅκοντα τοῦτον τῷ θρόνῳ ἐνί- P. 59

8. καὶ add. ex A. 10. πατέρων add. ex A. 11. ὁ ante ἱερωτ. add. ex A. 14. Λιβέριος A, Λίβεριν b, Λιβέριον f. 15. ἐπὶ b, ὑπὸ vulg. δὲ om. A. 17. ἄλλα μὲν A, ἄλλα δὲ vulg. 20. τῷ add. ex A. 21. ἐνίδρυσεν A, ἐνίδρυσαν vulg.

mulier quatuor masculos uno partu edidit: qui cum menses duos supervixissent, unus post alium, cuncti quatuor leto sunt abrepti.

Hoc anno magna et oecumenica sancta synodus centum et quin- A.C. 376
quaginta orthodoxorum episcoporum Cpoli a magno Theodosio congregata est, ad confirmanda Nicaenae synodi dogmata. convocavit etiam ex Macedonii secta triginta sex episcopos, inter quos primas tenebat Eleusius. sanctorum autem centum et quinquaginta patrum praesides erant Timotheus Alexandriae, Meletius Antiochiae, sacerrimus Cyrillus Hierosolymorum, et divinus Gregorius Cpolis episcopi. Macedonii sententiam secuti triginta sex episcopi Nicaeae decreta ut amplecterentur, moniti, quemadmodum iam olim sub Valente cum Liberio convenerant, libellos dederunt. qui vero una cum Sylvano Romam fuerant delegati, veritati assentiri renuerunt: et ab urbe dilapsi risum cunctis moverunt, cum aliud mente tenere, aliud verbis profiteri, et Liberii litteras, quae de recto eorum circa fidem sensu testarentur, fraudulenter proferre deprehenderentur. sancta porro synodus Cpolitanum episcopatum Gregorio theologo suis suffragiis

ἄρυσεν, ὡς πολλὰ καμόντα, καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν ἐκκλησίαν ἐλευθερώσαντα. τινὰς δὲ τῶν ἐξ Αἰγύπτου μαθὼν ὁ τὰ πάντα σοφὸς καὶ μακαριώτατος φθονήσαντας τῷ πράγματι, τὸν συντακτήριον λόγον ἐπιδειξάμενος, ἑκουσίως τοῦ θρόνου τῆς βασιλίδος ὑπεχώρησε. τούτου δὲ ἀποταξαμένου, Νεκτάριον ὁ βασιλεὺς καὶ ἡ σύνοδος προχειρίζεται, Ταρσέα μὲν τῷ γένει, τὴν τοῦ Πραιτωρίου δὲ ἀρχὴν τότε διέποντα, ἀβάπτιστον μὲν ἕως τότε τυγχάνοντα, σεμνὸν δὲ καὶ εὐλαβῆ περὶ βίον. ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ σύνοδος τὸ ὁμοούσιον ἐκύρωσεν, προσέθηκεν δὲ τῷ συμβόλῳ
B καὶ τὴν θεολογίαν τοῦ πνεύματος. ἐξέθετο δὲ καὶ κανόνας ἐν οἷς τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως τὰ πρεσβεῖα νέας Ῥώμης ἀπένειμεν. τότε Γρηγόριος ὁ Νύσσης καὶ Πελάγιος Λαοδικείας Εὐλόγιός τε Ἐδέσσης καὶ Ἀμφιλόχιος Ἰκονίου ἐν ταύτῃ διέλαμπον, σὺν τῷ μεγάλῳ Γρηγορίῳ καὶ τοῖς προρρηθεῖσιν. ἡ δὲ ἁγία σύνοδος Ἀρείου τε καὶ Εὐσέβιον τὸν Νικομηδείας Εὐζωΐου τε καὶ Ἀκάκιον, Θεόγνην καὶ Εὐφρόνιον καὶ τοὺς λοιποὺς ἀνεθεμάτισεν· πρὸς τούτοις δὲ καὶ Μακεδόνιον τὸν πνευματομάχον καὶ Εὐδόξιόν τε καὶ Ἀέτιον καὶ

4. πράγματι A, προστάγματι vulg. 7. Πραιτωρος b. 9. σεμνὸν — — βίον om. e. εὐλαβῆ A a, εὐσεβῆ vulg. δὲ ante ἁγ. et τὸ add. ex A. 10. δὲ ante τῷ et καὶ ante τὴν add. ex A. 12. τῆς om. A. 18. δὲ τὸν Μακ. A. 19. καὶ ante Εὐδ. add. ex A.

confirmavit, et pro toleratis laboribus bene meritum, quodque haeresium labe expurgasset ecclesias, etiam invitum et renitentem in sede collocavit. quo facto sapientissimus aeque ac beatissimus pater quosdam Aegypti episcopos invidia motos persentiens, oratione de abdicando praesulatu evulgata, spontaneus throno sibi commisso recessit. illo hunc in modum pontificatus munere cedente, Nectarium imperator et una synodus promovet, virum genere Tarsensem, qui tum praetoris onus gerebat, ad eam quidem horam nondum baptismi ritu lustratum, honestis alioquin et devotis clarum moribus. sancta et oecumenica synodus consubstantialis dogma stabilivit, sanctamque de spiritu sancto doctrinam symbolo apposuit. promulgavit etiam canones, quibus Cpolitanae sedi novae Romae privilegia concessit. tunc Gregorius Nyssae et Pelagius Laodiceae, Eulogius quoque Edessae et Amphilochius Iconii, cum magno Gregorio et aliis memoratis ea in synodo florebant. sancta vero synodus Arium et Eusebium Nicomediensem, Euzoïum pariter et Acacium, Theognim et Euphronium, et reliquos anathemate damnavit: et praeter eos Macedonium, qui spiritum sanctum impugnabat, Eudoxiumque et Aetium et Eunomium ab-

Εὐνόμιον ἀπεκήρυξεν. Μελέτιος δὲ ὁ μέγας μετὰ τὸ πληρω-
θῆναι τὴν σύνοδον ἐν Κωνσταντινουπόλει ἐν εἰρήνῃ ἐκοιμήθη. C
τὸ δὲ ἱερὸν αὐτοῦ σῶμα διεκομίσθη εἰς Ἀντιόχειαν, καὶ ἐτέ-
θη πλησίον τῆς θήκης τοῦ ἁγίου μάρτυρος Βαβύλα. ἐχειρο-
τονήθη δὲ Φλαβιανὸς Ἀντιοχείας ἐπίσκοπος ζῶντος καὶ Παυ-
λίνου, καίπερ ὅρκων δεδομένων, ὅτι οὐ καταδέξεται ἐπισκόπου
χειροτονίαν Φλαβιανός. πάλιν οὖν ταραχὴ τὴν ἐκκλησίαν
Ἀντιοχείας εἶχεν· τῶν μὲν Παυλίνῳ, τῶν δὲ Φλαβιανῷ
ὑπεικόντων. τότε καὶ Παύλου τοῦ ὁμολογητοῦ τὸ σῶμα
ὁ βασιλεὺς εἰς Κωνσταντινούπολιν εἰσήγαγεν, καὶ ἀπέθετο
εἰς τὴν ἐκκλησίαν, ἣν ᾠκοδόμησε Μακεδόνιος ἐπιβουλεύων
Παύλῳ. D

Κωνσταντινουπόλεως ἐπισκόπου Νεκταρίου ἔτος α'. A.M. 5877

Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ Ἀγγουστος Ὀνώριον υἱὸν αὐ-
τοῦ γεννηθέντα ἐκ Πλακίλλης τῆς εὐσεβεστάτης ἐπιφανέστα-
τον καὶ ὕπατον ἀνέδειξεν. εὐτρεπίσθη δὲ πολεμεῖν τῷ τυ- V. 48
ράννῳ Μαξίμῳ. καὶ πολεμοῦντος πρὸς αὐτὸν ἐπὶ τὰ ἑσπέ-
ρια μέρη, φήμης δὲ ψευδοῦς ἐξελθούσης ὅτι νενίκηκε Μάξιμος,
οἱ Ἀρειανοὶ ἀνασυρθέντες τὴν οἰκίαν Νεκταρίου ἐνέπρησαν P. 60
τοῦ ἐπισκόπου Κωνσταντινουπόλεως.

Τούτῳ τῷ ἔτει ἐν Ἀντιοχείᾳ ἐπεκτίσθη ἐν τῇ Ταυριανῇ A.M. 5878

6. καταδέξεται A et alii, καταδέξηται vulg. 11. ἐν τῇ ἐκκλησίᾳ a c. 15. ἐπιφανέστατα Ὕπατον A. 17. Μαξίμῳ om. a. 18. φήμης δὲ ψευδοῦς ἐξελθούσης A, φήμης ψευδοῦς vulg.

dicavit. magnus autem Meletius, absoluta synodo, Cpoli in pace quievit. sacrum eius corpus Antiochiam deportatum ad loculum sancti martyris Babylae reconditum fuit. caeterum, Paulino adhuc inter vivos superstite, Flavianus Antiochiae ordinatus est episcopus, quamvis promotionem nullatenus admissurum, vel dato iuramento antea professus fuisset. exinde igitur renovati tumultus Antiochenam ecclesiam divexabant, his quidem Paulino, aliis Flaviano obsequentibus. tunc etiam Pauli confessoris corpus Cpolim induxit imperator, et in ecclesia, quam Macedonius Paulo structis insidiis aedificaverat, deposuit.

Cpolis episcopi Nectarii annus primus. A. C. 377

Hoc anno Theodosius Augustus filium Honorium e Placilla susceptum illustrissimum atque una consulem designavit. bellum etiam in Maximum tyrannum paravit: qui cum in partibus occidentis adversus eum praeliaretur, falso rumore sparso, Maximum victorem evasisse, Ariani manifesto furore rapti Nectarii Cpolis episcopi aedes incenderunt.

Hoc anno Antiochiae in porta, quae dicitur Tauriana, appendix A. C. 378

λεγομένη πύλη προσθήκη εἰς πλάτος τῆς γεφύρας καὶ ἐπεστεγάσθη· ἐκτίσθη δὲ καὶ μικρὰ βασιλικὴ ἐν τῇ παλαιᾷ πλησίον τῆς μεγάλης. ἐν δὲ Παλαιστίνῃ Ἐμμαοὺς κώμη παιδίον ἐγεννήθη
B τέλειον ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἄνω διῃρημένον, ὃ εἶχεν δύο στήθη, δύο κεφαλάς, καὶ ἑκάστων τὰς αἰσθήσεις ἔχον. τὸ ἓν ἤσθιε καὶ ἔπινε, καὶ τὸ ἕτερον οὐκ ἤσθιεν· τὸ ἓν ἐκάθευδε, καὶ τὸ ἕτερον ἐγρηγόρει· ἔστι δὲ ὅτε καὶ συνέπαιζον πρὸς ἄλληλα, καὶ ἔκλαιον ἀμφότερα, καὶ ἔτυπτον ἄλληλα. ἔζησαν δὲ μικρὸν πρὸς ἔτη δύο. καὶ τὸ μὲν ἓν ἀπέθανεν, τὸ δὲ ἕτερον ἔζησεν ἡμέρας τέσσαρας, καὶ ἀπέθανεν καὶ αὐτό.

Τῷ δ' αὐτῷ ἔτει ἔστησεν ὁ βασιλεὺς Θεοδόσιος τὸν κίονα τοῦ Ταύρου.

A.M.5879 Τούτῳ τῷ ἔτει Τιμοθέου τελευτήσαντος τοῦ ἐπισκόπου
C Ἀλεξανδρείας μηνὶ Ἐπιφὶ εἰκάδι ἕκτῃ χειροτονεῖται ἀντ' αὐτοῦ ὁ Θεόφιλος.

A.M.5880 Ἀλεξανδρείας ἐπισκόπου Θεοφίλου ἔτος πρῶτον.

Τούτῳ τῷ ἔτει Θεοδόσιος ὁ εὐσεβὴς βασιλεὺς νικήσας Μάξιμον τὸν τύραννον ἀνεῖλεν πρὸ δώδεκα καλανδῶν Αὐγούστου, καὶ Ἀνδραγάθιον τὸν στρατηγὸν αὐτοῦ, ὡς δολοφονή-
D σαντα τὸν Γρατιανόν.

5. ἕκαστον A. ἤσθιε A, ἔσθιε vulg. utroque loco. 7. ἔστι δὲ ὅτε A, καὶ ἔστι δὲ ὅτε vulg. 8. καὶ ἔκλαιον — ἄλληλα om. A f. 12. τοῦ add. ex A et aliis. 15. ὁ add. ex A. 17. ὁ εὐσεβὴς om. a.

aedificata est ad pontis latitudinem, tectoque operta: item parva basilica in veteri prope maiorem extructa. in Palaestina vero pago Emmaus infans natus est ab umbilico deorsum unus et integer, sursum autem in duas species separatas divisus: adeo ut duo pectora, geminum caput, et utriusque completos sensus haberet. unus comedebat et bibebat, alter cibum respuebat. dormiebat ille, et alius in vigiliis erat. contigit etiam ut colluderent invicem, et ambo flerent, et ad invicem colluctantes rixarentur. simul vixere autem annis amplius duobus: et uno quidem morte praerepto, alius diebus quatuor mansit superstes, et pari fato decessit.

Hoc etiam anno Theodosius imperator Tauri statuam erexit.

A.C.379 Hoc anno mensis Epiphei sexto supra vigesimum, Timotheo Alexandriae episcopo vita functo, in eius locum Theophilus est ordinatus.

A.C.380 Alexandriae episcopi Theophili annus primus.

Hoc anno Theodosius pientissimus imperator victor renunciatus Maximum tyrannum interfecit duodecimo Kalendas Augustales: Andragathium quoque ducem, quod Gratianum dolo interfecisset, morti tradidit.

Τούτῳ τῷ ἔτει ἦλθεν Θεοδόσιος ἐν Ῥώμῃ μετὰ Ὀνωρίου τοῦ υἱοῦ αὐτοῦ, καὶ ἐκάθισεν αὐτὸν βασιλέα ἐν αὐτῇ πρὸ πέντε εἰδῶν Ἰουνίου, καὶ ἀνῆλθεν ἐν Κωνσταντινουπόλει. A.M. 5881

Τούτῳ τῷ ἔτει Εὐγένιος ἐτυράννησεν ὁ ἀπὸ γραμματικῶν ἀντιγραφεὺς ὤν, καὶ σχῆμα βασιλικὸν περιθέμενος, συνόντος αὐτῷ καὶ Ἀρταβάσδου τοῦ ἀπὸ τῆς μικρᾶς Γαλατίας. καὶ ἀκούσας Οὐαλεντινιανὸς ὁ υἱὸς τοῦ Οὐαλεντινιανοῦ τοῦ μεγάλου ἐξ Ἰούστης, ἑαυτὸν ἀνεῖλεν ἀγχόνῃ. ὁ δὲ Θεοδόσιος τοῦτο μαθὼν ἐξωπλίζετο τοῦ κατελθεῖν εἰς ἐκδίκησιν αὐτοῦ. Θεόφιλος δὲ ἐπίσκοπος Ἀλεξανδρείας αἰτήσας Θεοδόσιον τὸν βασιλέα τὸ ἐν Ἀλεξανδρείᾳ ἱερὸν τῶν Ἑλλήνων ἐξεκάθηρεν, καὶ εἰς ἐκκλησίαν μετεσκεύασεν, τὰ δὲ ὄργια τῶν Ἑλλήνων ἐδημοσίευσεν, φαλλούς τε· καὶ εἴ τι τούτων ἀσελγέστερον καὶ βεβηλότερον· ὅθεν τὸ πλῆθος τῶν Ἑλλήνων αἰσχυνθέν, πολλοὺς φόνους εἰργάσατο. Θεοδόσιος δὲ μαθὼν τοὺς γεγονότας ὑπ' αὐτῶν φόνους, τοὺς μὲν ἀναιρεθέντας Χριστιανοὺς ὡς μάρτυρας ἐμακάρισεν· τοῖς δὲ Ἕλλησι συγχωρεῖν ἐπηγγείλατο, εἰ πρὸς Χριστιανισμὸν μετάθοιντο· τὰ δὲ ἱερὰ αὐτῶν καθαιρεθῆναι καὶ τὰ εἴδωλα χωνευθῆναι καὶ εἰς χρείας πενήτων δοθῆναι ἐκέλευσεν. τοῦ δὲ ναοῦ τοῦ Σεράπιδος ἐν Ἀλε- A.M. 5882 P. 61 V. 49 B

1. τούτῳ τῷ ἔτει — — Κωνσταντινουπόλει om. A. 3. ἐπὶ Κωνστ. b. 4. Εὐγ. ἐτυρ. ὁ ἀπὸ Γραμμ. A, ὁ Εὐγ. ὁ ἀπὸ Γρ. ἐτυρ. vulg. 5. ὢν om. A. 7. Οὐαλ. ὁ υἱὸς τοῦ om. A. 8. ἐξ] καὶ A. Ἰούστας A. 11. ἐξεκάθηρεν, καὶ εἰς ἐκκλησίαν μετεσκεύασεν, τὰ δὲ ὄργια τῶν Ἑλλήνων add. ex b. 13. τούτων add. ex A.

Hoc anno Theodosius cum filio suo Honorio Romam est profectus, quem velut imperatorem cum quinto idus Iunias solio collocasset, ipse Cpolim remeavit. A. C. 381

Hoc anno Eugenius artis oratoriae exprofessor, et contrarotulatoris sive ratiocinarii munere fungens imperii libidine exarsit, cui Artabasdus ex minore Galatia oriundus se socium adiunxit. quod ubi rescivit Valentinianus, magni Valentiniani filius ex Iusta, laqueo sibi ipsi vitam praescidit. eo comperto Theodosius arma movet, et in eius vindictam parat expeditionem. Theophilus Alexandriae episcopus a Theodosio imperatore licentiam precatus, gentilium fanum, mentulas, et si quid magis obscoenum atque profanum erat reconditum traduxit in publicum: unde gentilium plebs pudore perfusa caedes quam plurimas perpetravit. his porro Theodosius auditis, et de tantis caedibus certior factus, Christianos morti traditos inter martyres beatorum numero statuit recensendos. gentilibus vero, si modo se ad Christianam religionem transferrent, veniam obtulit: fana demum everti, A. C. 382

ξανδρείᾳ λυομένου, ἱερογλυφικὰ γράμματα εὑρέθησαν σταυροῦ τύπον ἔχοντα, ὅπερ οἱ ἐξ Ἑλλήνων πιστεύσαντες θεασάμενοι εἶπον, σημαίνειν τὸν σταυρὸν κατὰ τὴν τῶν ἱερογλυφι-
C κῶν γραμμάτων ἔννοιαν ζωὴν ἐπερχομένην.

A.M. 5883 Τούτῳ τῷ ἔτει Μάρκελλος ὁ Ἀπαμείας τῆς Συρίας ἐπίσκοπος ζήλῳ θείῳ κινούμενος τὰ ἱερὰ τῶν Ἑλλήνων ἐν Ἀπαμείᾳ κατέστρεψεν, καὶ διὰ τοῦτο ἀνῃρέθη ὑπὸ τῶν Ἑλλήνων. Νεκτάριος δὲ ὁ Κωνσταντινουπόλεως ἐκώλυσε τὸν ἐπὶ τῆς μετανοίας πρεσβύτερον διὰ τὸ γεγονὸς ἁμάρτημα ἐν τῇ ἐκκλησίᾳ ὑπό τινος διακόνου εἰς τὴν γυναῖκα τὴν ἐπὶ τῇ μετανοίᾳ
D σχολάζουσαν. ἐν δὲ τῇ Ῥώμῃ καὶ πάσῃ τῇ δύσει ἐπιμελῶς φυλάττεται ἕως τοῦ νῦν, καὶ τόπος ἠφώρισται τοῖς μετανοοῦσιν. Θεοδόσιος δὲ ὁ βασιλεὺς νόμον ἔγραψεν γυναῖκα εἰς διακόνισσαν μὴ προβαίνειν, εἰ μὴ ὑπερβῇ τὰ ἑξήκοντα ἔτη κατὰ τὸν ἀπόστολον. Εὐνόμιον δὲ ἐξώρισεν παρασυναγωγὰς ποιοῦντα καὶ λαοὺς ἀπατῶντα, καὶ ἐν τῇ ἐξορίᾳ ἀπέθανεν.

Τῷ δ' αὐτῷ ἔτει Πλακίλλα ἡ γαμετὴ Θεοδοσίου ἐκοιμήθη εὐσεβὴς οὖσα καὶ φιλόπτωχος οἰκείαις χερσὶ λωβοῖς καὶ νοσοῦσιν ὑπηρετοῦσα. ταύτης ἀνδριάντα κατέαξαν οἱ Ἀντιο-

1. σταυρῶν τύπους b. 2. ἔχοντα om. A. 3. τῶν om. A. 13. δὲ om. A. εἰς διακονίαν μὴ ἐπιβαίνειν b. 19. νοσοῦντας e.

idolaque conflari, et in pauperum necessitates erogari mandavit. diruto porro Alexandriae Serapidis templo, repertae sunt sacrae Aegyptiorum eruditis dictae litterae crucis formam referentes: quas quum ex gentilibus fideles conspicarentur, dixerunt, crucem iuxta sacrarum litterarum interpretationem significare vitam adventuram.

δον τεσσαράκοντα ἐπισκόπων, μετωστέλλεται τὸν Εὐτυχῆ, καὶ
B κατὰ πᾶσαν ἀκολουθίαν τῶν ἐκκλησιαστικῶν κανόνων ἀνακρίνας, καὶ εὑρὼν αὐτὸν αἱρετικὸν καὶ ὕπουλον, καθεῖλεν αὐτόν. Χρυσάφιος δὲ τούτου σύμφρων τοῦ παλατίου κρατῶν, καὶ ταῦτα μαθὼν ἐπὶ πλεῖον ἐξάπτεται εἰς ὀργὴν κατὰ Φλαβιανοῦ, καὶ δηλοῖ τῷ Διοσκόρῳ Ἀλεξανδρείας, εἰς πάντα αὐτῷ συνεργεῖν τὰ καταθύμια, εἰ ταῖς κατὰ Φλαβιανοῦ καὶ Εὐσεβίου συνδράμοι αὐτῷ κατηγορίαις καὶ ὑπὲρ Εὐτυχοῦς ἀγωνίσηται. κινεῖται δὲ πρὸς τοῦτο καὶ τὴν αὐγούσταν Εὐδοκίαν τὰ περὶ Πουλχερίας λυπηρὰ κατὰ Φλαβιανοῦ ὑπομι-
C μνήσκων αὐτήν· καὶ παρασκευάζουσιν ἀμφότεροι τὸν βασιλέα θεσπίσαι δευτέραν ἐν Ἐφέσῳ συγκροτηθῆναι σύνοδον, καὶ παρέχουσι Διοσκόρῳ ἐξάρχειν τῆς συνόδου, ἀποστείλαντες αὐτῷ στρατὸν πλεῖστον πρὸς βοήθειαν.

A.M. 5941 Τούτῳ τῷ ἔτει κελεύσει τοῦ βασιλέως Θεοδοσίου ἡ λῃστρικὴ καὶ παράνομος συνηθροίσθη σύνοδος ἐν Ἐφέσῳ τοῦ κριθῆναι τὰ περὶ Φλαβιανοῦ καὶ Εὐτυχοῦς ὑπὸ Διοσκόρου τοῦ δυσσεβοῦς κατὰ παραίνεσιν Χρυσαφίου τοῦ εὐνούχου, τὸ ἐπίκλην Ταϊουμᾶ, τὴν τοῦ βασιλέως κουφότητα παραπείσαν-

5. ταῦτα A e, τοῦτο vulg. 6. Ἀλεξανδρείας A, Ἀλεξανδρέων vulg. 7. εἰ A, ἐν vulg. 8. συνδράμοι A, συνδράμῃ vulg. 15. τοῦ add. ex A. 16. ἐν Ἐφέσῳ add. ex A. 18. τὸ ἐπίκλην A, τοῦ ἐπ. vulg.

quae sibi nota de illo forent, Eusebius detulit ad Flavianum episcopum: qui quadraginta episcoporum coacta synodo, Eutychem adesse iubet, et iuxta positum ecclesiasticorum canonum ordinem examinatum, cum haereticum et in errore tuendo subdolum deprehendisset, dignitate mulctavit. at Chrysaphius Eutychis sententiae particeps supremam in palatio exercens potestatem, his auditis magis ac magis in Flavianum accenditur, et Dioscoro Alexandriae episcopo pollicetur, se ad quaevis ei placita praestiturum operam, si ad adversa quaeque in Flavianum et Eusebium reos agendos proferenda ipsum iuvaret, ac demum Eutychis partes pro virili susciperet tuendas. commovet insuper augustam Eudociam in Flavianum, quae a Pulcheria pertulerat acerba reducens in memoriam. una igitur ambo imperatorem hortantur, secundam Ephesi congregari synodum indicat: ac simul Dioscoro, ut praesit, potestatem faciunt, non contemnenda militum manu in eius auxilium summissa.

A. C. 441 Hoc anno praedatorium et illegitimum conciliabulum Flaviani et Eutychis dirimendo ab impio Dioscoro discrimini, iubente Theodosio imperatore, et Chrysaphio eunucho, cui cognomen Taiumas, hortante, ac nimis facilem imperatoris animum, quo vellet, vertente, congre-

τος. συναθροισθέντων δὲ πάντων προκαθίσας ὁ Διόσκορος, οὐ συνεχώρησεν παρεῖναι Νοτάριον ἕτερον τῇ συνόδῳ, ἀλλὰ D τοὺς ἰδίους μόνους ἐποίησε γράφειν τὰ πραττόμενα. ζητήσεως οὖν γενομένης ἀπητεῖτο Εὐτυχὴς τὴν ἰδίαν δόξαν ἐκφώναι, καὶ ἀπεκρίνατο λέγων· ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ. τότε Διόσκορος εἶπεν· καὶ ἡμεῖς τούτοις συντιθέμεθα πάντες· καὶ οἱ μὲν τοποτηρηταὶ τοῦ πάππα Λέοντος θεασάμενοι τὴν Διοσκόρου ὁρμήν, καὶ ὅτι τὴν ἐπιστολὴν τοῦ πάππα τὴν πρὸς Φλαβιανὸν οὐ συνεχώρησεν ἀναγνωσθῆναι, οὔτε τὴν πρὸς τὴν σύνοδον, ἀλλὰ παρωράθησαν· ἔφυγον, καὶ κατῆλθον ἐν Ῥώμῃ. ὁ δὲ Διόσ- P. 87 κορος τῷ Εὐτυχεῖ μὲν τὴν ἱερωσύνην ἀποδίδωσιν, Εὐσέβιον δὲ τὸν τοῦ Δορυλαίου καὶ Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως ἑτοίμως καθεῖλεν. ὃς καὶ πρὸ τῆς καθαιρέσεως ὠθισμοῖς καὶ λακτίσμασι τοῖς ὑπὸ Διοσκόρου ἐκβαλλόμενος, τριταῖος τὸν βίον μετήλλαξεν, καὶ τῇ ἑξῆς βίᾳ τῶν στρατιωτῶν καὶ ξιφῶν ὑπογράψαι οἱ ἐπίσκοποι κατηναγκάσθησαν. ὁ δὲ Δόμνος Ἀντιοχέων ἐπίσκοπος βίᾳ ὑπογράψας, καὶ εἰς ἑαυτὸν ἐλθών, ἀντέστη Διοσκόρῳ καὶ τοῖς ἄρχουσι, καταβοῶν τῶν

7. τότε A, καὶ ὁ vulg. 9. Λέοντος θεασ. A b, Λέοντος Ῥώμης θεασ. vulg. 12. παρορᾳθεῖσαν A b. 16. λακτίσμασι A, λακτίμασι vulg. ἐκβαλλομένοις A. 17. τῶν add. ex A. 18. καιηναγκ. A, ἠναγκ. vulg.

gatum est. coactis igitur omnibus, cum praesideret Dioscorus, nullum synodo notarium adesse permisit, sed suos duntaxat acta quaeque conscribere praecepit. instituta itaque disceptatione, propriam enunciare sententiam rogabatur Eutyches, qui responsum dedit in haec verba: profiteor ex duabus naturis ante unionem dominum constitisse, post unionem solam unam naturam admitto. ad haec Dioscorus, et nos, inquit, omnes his assentimur. conspecto porro Dioscori furore, et quod papae ad Flavianum epistolam aliamque ad ipsam synodum nullatenus legi permisisset, imo se ludibrio habitos Leonis papae Romani legati cernentes, fuga se subduxerunt et Romam reversi sunt. Dioscorus autem Eutychem in pristinum sacerdotii gradum restituit, Eusebium vero Dorylaei et Flavianum Cpoleos antistites dignitate festine summovit. hic porro etiam ante exauctorationis decretum pugnis et calcibus a Dioscori ministris eiectus, triduanus cum morte vitam immutavit: et altero die minis et gladiis militum intentatis ad subscribendum episcopi sunt adacti. Domnus autem Antiochenus praesul, vi subscripto nomine, et in se ipsum re-

πραχθέντων, καὶ ἀσεβῆ τὴν σύνοδον ὀνομάζων, καὶ τὴν ἑαυτοῦ ὑπογραφὴν ζητῶν ἀναλαβεῖν. ταῦτα μαθὼν ὁ πάππας Λέων, πρέσεισι τῷ βασιλεῖ Οὐαλεντινιανῷ, καὶ ταῖς αὐγούσταις, μετὰ δακρύων αἰτῶν ἐπιστολὰς τῷ βασιλεῖ Θεοδοσίῳ γραφῆναι, διόρθωσιν γενέσθαι τῶν ἐν Ἐφέσῳ ἀθέσμως καὶ ἀκανονίστως πραχθέντων. ὁ δὲ ἀντιγράφει τῇ θυγατρὶ Εὐδοξίᾳ οὕτως· τοῦτο τῇ σῇ γλυκύτητι γνωρίσαι βούλομαι, ὅτι Φλαβιανὸς θείᾳ κρίσει τῶν ἐκκλησιῶν ἐξεβλήθη, ὡς ταραχῶν πολλῶν αἴτιος. ὁ δὲ Διόσκορος καθεῖλεν καὶ Θεοδώρητον καὶ Ἴβαν καὶ Ἀνδρέαν καὶ Δόμνον τὸν Ἀντιοχείας, καὶ τοὺς ἀνατολικοὺς ἐπισκόπους ἅπαντας. Θεοδόσιος δὲ ὁ βασιλεὺς εὐρίπιστος ἦν, παντὶ ἀνέμῳ φερόμενος, ὅθεν καὶ χάρταις ἀπαραγνώστοις πολλάκις ὑπέγραψεν· ἐν οἷς καὶ Πουλχερία ἡ σοφωτάτη δωρεὰν ὑπέβαλεν ἀπαράγνωστον ἐκχωροῦσαν πρὸς δουλείαν Εὐδοκίαν τὴν γαμετὴν αὐτοῦ, καὶ ὑπέγραψε, παρὰ Πουλχερίας ὀνειδισθείς.

Τῷ δ' αὐτῷ ἔτει Γιζέριχος τῷ Οὐανδαλικῷ πλήθει πολὺς γενόμενος, καὶ Ῥῆγα καλέσας ἑαυτὸν γῆς τε καὶ θαλάσσης, καὶ νήσων πολλῶν τοῖς Ῥωμαίοις ὑποτελῶν κατασχών,

1. ἀσέβειαν A e. 9. καθεῖλεν A, καθῆρεν vulg. 11. ἅπαντας] ἀπόντας b. 12. εὐρίπιστος A, εὐρέπιστος vulg. 13. ἀπαραγνώστοις A, ἀπαραγνώστως vulg. 16. δεινῶς ante παρὰ add. b. 19. νήσων A, νησῶν vulg.

versus, Dioscoro et optimatibus obstitit, et iis quae acta erant reluctatus, impiam pronunciavit eam synodum, datamque subscriptionem recipere postulavit. his auditis Leo papa Valentinianum imperatorem adit et augustas, et ad imperatorem Theodosium dari litteras cum lacrymis obtestatur, et quae praeter ecclesiae iura canonumque sanctiones gesta fuerant Ephesi, in melius revocari precatur. ille filiae Eudoxiae in hunc modum rescribit. hoc suavitati tuae notum volo, Flavianum tanquam tumultuum auctorem divino nutu ab ecclesiis eiectum. porro Dioscorus Theodoretum, Ibam et Andream, Domnum insuper Antiochiae cunctosque orientis episcopos ecclesiastica potestate fecit extorres. Theodosius autem imperator, in quamcunque partem impelleretur, facilis ibat, et omni suasionum vento ferebatur: ex quo schedis oblatis etiam non lectis, saepius consensum et subscriptionem adiecit: inter quas donationem, qua sibi coniux eius Eudocia in servitutem addicebatur, nec levi oculi iactu agnitam solertissima Pulcheria supposuit; cui subscripsit ille, merito deinde ob facilitatem nimiam a Pulcheria reprehensus.

Hoc eodem anno Gizerichus auctis Vandalorum copiis potentior factus, terrae marisque et plurium insularum Romanis prius subie-

ἐλύπει τὸν Θεοδόσιον. καὶ ἀποστέλλει χιλίας ἑκατὸν ὁλκάδας μετὰ δυνάμεως Ῥωμαϊκῆς Ἀρεοβίνδου καὶ Ἀσύλα καὶ Ἰννο- D
βίνδου καὶ Ἀριν θέου καὶ Γερμανοῦ τῶν στρατηγῶν. ταύτης οὖν τῆς δυνάμεως τῇ Σικελίᾳ προσορμηθείσης, καταπλαγεὶς ὁ
5 Γιζέριχος πρεσβεύεται Θεοδοσίῳ περὶ σπονδῶν.

Κωνσταντινουπόλεως ἐπισκόπου Ἀνατολίου, Ἀντιοχείας A.M. 5942
ἐπισκόπου Μαξίμου ἔτος α'.

Τούτῳ τῷ ἔτει ἐπιλογησάμενος Θεοδόσιος, καὶ γνοὺς P. 88
ἑαυτὸν ἀπατηθέντα ὑπὸ τῆς Χρυσαφίου πανουργίας, ἐλυ-
10 πεῖτο περὶ τῆς εἰς Φλαβιανὸν γεγενημένης ἀσεβείας καὶ τῆς εἰς τοὺς λοιποὺς ἐπισκόπους ἀδικίας. καὶ ἀγανακτήσας σφόδρα, πρῶτον μὲν Χρυσάφιον ἐξώρισεν εἴς τινα νῆσον. τῇ δὲ Εὐδοκίᾳ ἐπιφέρεται σφοδρῶς πάντων τῶν κακῶν αἰτίαν αὐτὴν ἀποκαλῶν, ὡς καὶ Πουλχερίαν τῶν βασιλείων
15 ἀποδιώξασαν, ἅμα δὲ καὶ τὰ κατὰ τὸν Παυλῖνον ὀνειδίζων αὐτῇ. ἡ δὲ ἀπογνοῦσα παρεκάλεσεν ἐπὶ τὰ Ἱεροσόλυμα ἀπολυθῆναι αὐτήν. καὶ λαβοῦσα μεθ' ἑαυτῆς Σευῆρον τὸν πρεσβύτερον καὶ Ἰωάνην τὸν διάκονον, ἦλθεν εἰς Ἱεροσόλυμα. B
καὶ μαθὼν ὁ βασιλεύς, ὅτι οὗτοι καὶ ἐν τῇ πόλει αὐτῇ ἐσύ-
20 χναζον, καὶ ἐν Ἱεροσολύμοις μετ' αὐτῆς εἰσι, καὶ πολλὰ αὐτοῖς δωρεῖται, ἀποστείλας ἀπεκεφάλισεν αὐτούς. τότε ὁ βα-

1. χιλίας] χιλιάδας A. 2. Ἀνσίλα A. 3. τῶν στρατηγῶν A, τοῦ στρατηγοῦ vulg. 19. οὗτοι καὶ ἐν π. A, οὗτοι ἐν πόλει vulg.

ctarum principatu arrepto, regem se ipsum renunciavit: ex quo moeror animi Theodosio incussus: qui mille et centum onerarias naves cum ingenti Romanorum exercitu Areobindo, Asylae, Innobindo, Arintheo et Germano ducibus commisit. tam valida igitur classe ad Siciliae oras appellente Gizerichus, exterritus de foederibus cum Theodosio ineundis, legationem misit.

Cpoleos episcopi Anatolii, Antiochiae episcopi Maximi annus A. C. 442
primus.

Hoc anno res proprias accuratius perpendens Theodosius, et se Chrysaphii fraudibus circumventum agnoscens, de impiis in Flavianum perpetratis sceleribus et admissis in reliquos episcopos iniuriis summum animi concepit dolorem. in iram itaque prorumpens, primo Chrysaphium in quandam insulam ablegat: tum in Eudociam graviter obiurgatam, malorum omnium auctricem eam dicens, quae Pulcheriam aula eiecisset, durius invehitur, et ea insuper, quae circa Paulinum acciderant, cum probris obiicit. illa desperatis in rebus Hierosolymam se dimitti rogat: Severoque presbytero et Ioanne diacono sociis itineris acceptis, Hierosolymam tendit. illos autem ad eam frequentius in urbe prius itasse, et modo cum ea Hierosolymis reperiri, ac insu-

σιλεὺς τὴν μακαρίαν Πουλχερίαν πολλὰ παρακαλέσας, ἤγαγεν εἰς τὰ βασίλεια· ἥτις εὐθέως ἀποστείλασα εἰς Ἔφεσον, ἤγαγεν τὸ λείψανον τοῦ ἁγίου Φλαβιανοῦ· καὶ μετὰ δορυφορίας διὰ τῆς μέσης ἐκπομίσασα, ἔθαψεν ἐν τοῖς ἁγίοις ἀποστόλοις. τότε τὴν τῶν Χαλκοπρατείων ἐκκλησίαν τῇ θεοτόκῳ ἀνήγειρεν, συναγωγὴν Ἰουδαίων πρότερον οὖσαν· τοῦ δὲ λαοῦ, ὡς προέφημεν, ἐν Σικελίᾳ ἐκδεχομένου τὴν τῶν πρεσβευτῶν Γιζερίχου ἄφιξιν καὶ τὴν τοῦ βασιλέως κέλευσιν, ἐν τῷ μεταξὺ Ἄττιλας Ὀμνουδίου παῖς, Σκύθης, γενόμενος ἀνδρεῖος καὶ ὑπερήφανος, ἀποβαλὼν Βδέλαν τὸν πρεσβύτερον ἀδελφόν, καὶ μόνος ἄρχων τὸ τῶν Σκυθῶν βασίλειον, οὓς καὶ Οὔννους καλεῖσιν, κατατρέχει τὴν Θρᾴκην, δι' ὃν καὶ μάλιστα Θεοδόσιος σπένδεται Γιζέριχον, καὶ ἐπανάγει τὸν στόλον ἐκ Σικελίας. ἀποστέλλει δὲ τὸν Ἄσπαρα σὺν τῇ ὑπ' αὐτὸν δυνάμει καὶ Ἀρεόβινδον καὶ Ἀργάλισκλον ἐπὶ τὸν Ἄττιλαν Ῥατιάρειαν ἤδη καὶ Νάσσαν καὶ Φιλιππούπολιν καὶ Ἀρκαδιούπολιν καὶ Κωνσταντίαν καὶ ἕτερα πλεῖστα πολίσματα καταστρεψάμενον, καὶ σὺν αἰχμαλώτοις πολλοῖς ὑπέρογκον συμφορήσαντα λείαν. τῶν οὖν στρατηγῶν ἐλαττωθέντων σφό-

C V. 71

1. τὴν add. ex A. 5. τῇ ἁγίᾳ θεοτ. b. 6. λαοῦ] στόλου b. 9. Ὁμνοδίου A, Ὁμουνδίου b. 12. καὶ ante μάλιστα om. A b. 15. Ἀργάλισκλον A e f, Ἀργίσκλον b, Ἀρδλισκλαν vulg. 16. Νάϊσον b. 19. τῶν οὖν στρατηγῶν b, τῶν στρατ. A, τῶν συστρατ. vulg.

per pluribus ab ea donis augeri audiens imperator, missis litteris, capite mulctari iussit: tum demum beatam Pulcheriam multis precibus sollicitatam reduxit in aulam: quae extemplo mandavit Ephesum, qui sancti Flaviani corpus asportarent, illudque magno pompae satellitio per mediam urbem stipatum in sanctorum apostolorum aedem sepeliendum inferrent. eo tempore Chalcoprateorum ecclesiam, quae Iudaeorum synagoga prius fuerat, deiparae consecravit. caeterum dum, ut supra praefatum, legatorum Gizerichi adventum et imperatoris mandata classis Romana praestolatur in Sicilia, interea Omnudii filius Attila, in Scythia natus, vir alioqui fortis et superbus, Bdela seniore fratre amisso, solus Scytharum, quos Unnos vocant, principatum arripit, et in Thraciam excurrit: quo maxime motus Theodosius pacem init cum Gizericho, et ex Sicilia classem revocat. tum Asparem, Areobindum et Argalisclam mittit adversus Attilam, qui iam Ratiariam, Nassam, Philippopolim et Arcadiopolim Constantiamque et alia pleraque oppida subverterat, quique cum innumeris captivis, etiam Romanis ducibus superatis, praedam immensam agebat. tantis victoriis auctus Attila, et ad utrumque mare, Ponticum videlicet et

δρα ταῖς μάχαις, προῆλθεν Ἄττιλας καὶ μέχρι θαλάσσης ἑκα- D
τέρας, τῆς τε τοῦ Πόντου καὶ τῆς πρὸς Καλλίπολιν καὶ Ση-
στὸν κεχυμένης, πᾶσαν πόλιν καὶ φρούρια δουλούμενος, πλὴν
Ἀδριανουπόλεως καὶ Ἡρακλείας, τῆς ποτε Περίνθου κληθεί-
σης, ὥστε καὶ εἰς τὸν Ἄθυραν αὐτὸν φρούριον ἐλθεῖν. ἀναγ-
κάζεται οὖν Θεοδόσιος πρεσβεύσασθαι πρὸς Ἄττιλαν· καὶ
ἑξάκις χιλίας μὲν αὐτῷ λίτρας ὑπὲρ τῆς ἀναχωρήσεως παρα-
σχεῖν, χιλίων δὲ λιτρῶν ἐτήσιον φόρον αὐτῷ ἠρεμοῦντι προσ-
ομολόγησε τελεῖν. τότε τοίνυν ἐπανελθούσης τῆς Ῥωμαϊκῆς
δυνάμεως ἐκ τοῦ πολέμου τοῦ πρὸς Ἄττιλαν, μετὰ βραχὺ
τελευτᾷ Θεοδόσιος μηνὶ Ἰουνίῳ εἰκοστῇ ἰνδικτιῶνι τρίτῃ. ἡ
δὲ μακαρία Πουλχερία, μήπω τινὶ τῆς τοῦ βασιλέως τελευτῆς P. 89
γνωσθείσης, μετεστείλαμένη Μαρκιανόν, ἄνδρα ἐν σωφροσύνῃ
καὶ σεμνότητι διαπρέποντα, γέροντα ὄντα ἱκανώτατον, λέγει
πρὸς αὐτόν· ἐπειδὴ ὁ βασιλεὺς ἐτελεύτησεν, ἐγὼ δὲ σὲ ἐξε-
λεξάμην ἐκ πάσης τῆς συγκλήτου, ὡς ἄριστον· δός μοι λό-
γον, ὅτι φυλάττεις τὴν παρθενίαν μου, ἣν τῷ θεῷ ἀνεθέμην,
καὶ ἀναγορεύσω σε βασιλέα. τοῦ δὲ συνθεμένου τοῦτο ποιεῖν,
μεταστέλλεται τὸν πατριάρχην καὶ τὴν σύγκλητον, καὶ ἀνα-
γορεύει αὐτὸν βασιλέα Ῥωμαίων.

1. προσῆλθεν A e f. 2. Καλλιούπολιν A. Σηστὸν A, Σέστον vulg. 4. Πειρίνθου A b. 5. Ἄθηραν b. 6. πρεσβεύσασθαι A, πρεσβεύεσθαι vulg. 7. μὲν αὐτῷ] χρυσίου b. 9. τοίνυν A, οὖν vulg. 11. Ἰουλίῳ A. 14. ὄντα ἱκανώτατον A, ὄντα καὶ ἱκαν. vulg. 18. ἀναγορεύσω A, ἀναγορεύω vulg. ποιεῖν om. A.

quod Callipolim usque ad Sestum expanditur, civitatibus cunctis munitisque locis suae servituti, praeter Adrianopolim et Heracleam, cui nomen olim Perinthus, subactis, ad Athyram usque castellum progreditur. ad Attilam itaque legationem decernere Theodosius cogitur: eique sexies mille auri libras ad recessum e Romanis finibus faciendum promittit; et insuper mille librarum tributum annuum, si pacem egerit, annuit se pensurum. porro Romanis copiis a bello contra Attilam receptis, paulo post diem obit Theodosius, mensis Iunii vigesimo, indictione tertia. caeterum beata Pulcheria, nondum ulli imperatoris morte manifestata, Marcianum, virum prudentia et honestate morum celebrem, aetate iam provectum et ad negotia gerenda idoneum, ad se accersitum alloquitur: quandoquidem decessit imperator, ego te ex omni senatu ceu virtute praestantissimum elegi. da fidem: virginitatem meam, quam deo consecravi, te servaturum inviolatam: et imperatorem renunciabo. illo sese ita facturum pollicito, patriarcham et senatum Pulcheria convocat, et Marcianum Romanorum imperatorem declarandum curat.

A.M. 5943 Ῥωμαίων βασιλέως Μαρκιανοῦ ἔτος α'.

B Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ εὐσεβὴς θείᾳ ψήφῳ αὐτοκράτωρ ἀναδειχθείς, τοὺς ἐν ἐξορίᾳ πάντας ἀνεκαλέσατο. ἡ δὲ μακαρία Πουλχερία τὸν παμμίσητον Χρυσάφιον τὸν εὐνοῦχον ἐκδέδωκεν Ἰορδάνῃ τῷ παιδὶ Ἰωάννου, τοῦ ἐν Ῥώμῃ τυραννήσαντος, καὶ προσχωρήσαντος πρὸς Ἀρδαβούριον καὶ Ἄσπαρα, καὶ εἰς τὸ Βυζάντιον ἐλθόντος, καὶ τιμῆς ἀξιωθέν-

C τος, ἀναιρεθέντος δὲ δόλῳ ὑπὸ Χρυσαφίου· ὃν λαβὼν Ἰορδάνης ἀνεῖλεν. ἄξιον δέ ἐστιν, καὶ τὴν ἐξ ἀρχῆς τοῦ θεοῦ εἰς Μαρκιανὸν τὸν βασιλέα ἐκλογὴν σημᾶναι. ἐν τοῖς παρῳχηκόσι χρόνοις, ἐν οἷς ὁ Περσικὸς πόλεμος ἐκινήθη, στρατιώτης ὢν λιτὸς ὁ Μαρκιανὸς μετὰ τοῦ ἰδίου γουμέρου ἀπὸ τῆς Ἑλλάδος κατὰ Περσῶν ἀπῆει, καὶ γενόμενος ἐν Λυκίᾳ, ἀρρωστίᾳ περιέπεσεν, καὶ καταλειφθεὶς ἐν πόλει Σύδημα, κἀκεῖσε χρονοτριβήσας, προσκολλᾶται δύο ἀδελφοῖς τισιν Ἰουλίῳ καὶ Τατιανῷ καλουμένοις· οἵ τινες εἰς τὸν ἴδιον οἶκον λαβόντες αὐτόν, διανέπαυσαν. εἰς θήραν δὲ ἐξελθόντες, ἔλαβον αὐτὸν μεθ' ἑαυτῶν. κοπιάσαντες δὲ περὶ μεσημβρίαν, ἐκοιμήθησαν.

D προεξυπνισθεὶς δὲ ὁ Τατιανὸς θεωρεῖ τὸν Μαρκιανὸν εἰς τὸν

3. ἀναδειχθεὶς A, ἀναδεχθεὶς vulg. ἐξορίαις b. 9. τοῦ θεοῦ om. a e. 10. παρῳχηκόσι A, παρῳχοικόσι vulg. 13. Λυκίᾳ] Κιλικίᾳ codd. nonnulli. 14. περιέπεσεν A, περιπεσὼν vulg.

A.C. 443 Romanorum imperatoris Marciani annus primus.

Hoc anno pientissimus Marcianus divino suffragio imperator renunciatus cunctos exules ad propria revocavit. beata porro Pulcheria Chrysaphium eunuchum cunctis exosum Iordani Ioannis (qui Romae quondam tyrannide arrepta ad Ardaburium et Asparem post deditionem se recipiens cum eis Byzantium profectus, atque ad honores et dignitates promotus, tandem a Chrysaphio mortem illatam sustinuerat) filio tradidit: quem Iordanes pari mortis poena mulctavit. caeterum operae pretium fuerit, quomodo Marcianus ad imperium a deo fuerit destinatus, scripto significare. superioribus annis, quibus Persicum bellum susceptum, Marcianus miles gregarius cum existeret, e Graecia versus Persiam cum proprio numero proficiscebatur. in Lyciam cum venisset, morbo correptus, in urbe Sidema a suis relinquitur: in ea diuturnius moratus duobus quibusdam fratribus, quorum nomina Iulius et Tatianus, amicitiae foedere connectitur. isti Marcianum in propriis aedibus acceptum curant et quietem iubent ducere: venatumque aliquando egressi, comitem eum adiungunt: ac circa meridiem fatigati sopore fruuntur. prior caeteris a somno excitatus Tatianus Marcianum ad solem adhuc dormientem conspicatus,

ἥλιον κοιμώμενον, καὶ ἀετὸν παμμεγεθέστατον ἐπ' αὐτὸν ἐλ-
θόντα καὶ τὰς ἑαυτοῦ πτέρυγας διαπετάσαντα καὶ σκιὰν ἐπ' V. 72
αὐτῷ περιποιούμενον. καὶ τοῦτο θεασάμενος, ἐγείρει τὸν ἑαυ-
τοῦ ἀδελφὸν καὶ τὸ θαῦμα ὑποδείκνυσι· καὶ ἐπὶ πολὺ θαυ-
μάζοντες τὴν τοῦ πετεινοῦ εὐνοϊκὴν δουλείαν, ἐξυπνίζουσι τὸν
Μαρκιανόν, καὶ λέγουσιν· ἐὰν βασιλεύσῃς, τί ἡμῖν χαρίζῃ;
ὁ δὲ εἶπεν· τίς γάρ εἰμι, ἵνα εἰς ἐμὲ τοῦτο γένηται; οἱ δὲ
ἐκ δευτέρου τὸν λόγον εἶπον. λέγει ὁ Μαρκιανός· ἐὰν τοῦ- P. 90
το ἐκ θεοῦ γένηται, πατέρας ὑμᾶς ἀνακηρύξω. τότε δι-
δόασιν αὐτῷ διακόσια νομίσματα, λέγοντες· πορεύου ἐν Κων-
σταντινουπόλει καὶ μέμνησο ἡμῶν, ὅτε ὁ θεός σε ὑψώσει.
ὁ δὲ ἀπελθών, προσκολλᾶται Ἀρδαβουρίῳ καὶ Ἄσπαρι Ἀρεια-
νοῖς οὖσιν, καὶ ποιήσας παρ' αὐτοῖς πεντεκαίδεκα χρόνους,
καὶ δομέστικος αὐτῶν γεγονώς, κατῆλθεν μετὰ τοῦ Ἄσπαρος
εἰς Ἀφρικὴν παρατάξασθαι εἰς Γιζέριχον, καὶ ἐν τῷ πολέμῳ
ἐκρατήθη. Γιζερίχου δὲ ἐν τῇ ἰδίᾳ αὐλῇ τοὺς αἰχμαλωτι-
σθέντας ἀποκλείσαντος, καὶ ἐκ τῶν ὑπερώων κατενόει αὐτούς.
καὶ περὶ μεσημβρίαν παρακύψας ὁρᾷ τὸν Μαρκιανὸν καθεύ-
δοντα, καὶ ἀετὸν ἐλθόντα, καὶ τὰς πτέρυγας ἐκτείνοντα καὶ B
σκιάζοντα αὐτόν· καὶ τοῦτο ἰδὼν ὁ Γιζέριχος θείαν εἶναι
οἰκονομίαν ἐλογίσατο ταύτην. καὶ μεταπεμψάμενος τὸν ἄν-

1. παμμεγεθέστατον A, παμμεγέστατον vulg. 11. ὑψώσει A, ὑψώσῃ vulg. 15. εἰς Γιζ.] πρὸς Γ. a c. 16. ἐκρατήθη ὑπὸ Γιζ. ἐν τῇ A a e. 21. ἐλογήσατο codd. et edd.

ingentem aquilam advolantem et in eum expansis alis umbram faci-
entem animadvertit. portentum miratus, fratrem excitat, miraculum
indicat. ac uterque tandem volucris benevolum officium diu miratus
Marciano somnum excutit: et his eum compellat: si nonnunquam
imperium assequaris, quid nobis gratiarum rependes? respondet ille:
quisnam sum ego, cui tale quid contingat? illi repetitis ver-
bis denuo interrogant: quibus Marcianus: si succedat a deo im-
perium, inquit, patres vos renunciabo. tunc ducentis nummis do-
nato dicunt: proficiscere Cpolim et nostri memoriam habe, ubi te
deus in meliorem fortunam evexerit. digressus ab eis Ardaburio et
Aspari Arianae opinionis hominibus adiungitur, et quindecim annos cum
eis moratus ac domesticus factus, cum Aspare tandem expeditionis
in Africam adversus Gizerichum comes, in conflictu capitur. Gizeri-
chus captivos atrio conclusos ex superiore coenaculo contemplaturus
circa meridiem procumbens in fenestram, Marcianum somno detentum
conspicatur et advolantem aquilam extentis pennis eum obumbran-
tem. re visa, Gizerichus eam divinae providentiae consilio geri mente
perpendit: ac ubi accersitum ad se Marcianum Asparis domesticum

δρα, καὶ γνοὺς εἶναι αὐτὸν δομέστικον τοῦ Ἄσπαρος, ἔγνω ὅτι εἰς βασιλέα ἀνάγεσθαι μέλλει. καὶ ἀποκτεῖναι αὐτὸν οὐκ ἠθέλησεν, λογισάμενος ὅτι τοῦ θεοῦ τὴν βουλὴν οὐδεὶς δύναται κωλῦσαι. ὅρκον δὲ αὐτὸν ἀπήτησεν, ὅτι εἰ τῷ θεῷ φίλον βασιλεύειν αὐτόν, οὐ πολεμήσει ποτὲ Οὐανδήλους. καὶ οὕτως ἀβλαβὴς ἀπολυθεὶς ὁ Μαρκιανὸς ἦλθεν εἰς τὸ Βυζάντιον. χρόνου δὲ ὀλίγου διελθόντος, καὶ Θεοδοσίου τελευτήσαντος, βασιλεὺς ἀνεδείχθη, ὡς προέφημεν. ἐγένετο δὲ χρηστὸς περὶ πάντας τοὺς ὑπηκόους. ὁ δὲ Ἄττιλας ἐπανίστα-
C ται τῷ βασιλεῖ Ῥώμης Οὐαλεντινιανῷ, διότι οὐκ ἔδωκεν αὐτῷ εἰς γυναῖκα τὴν ἰδίαν ἀδελφὴν Ὁνωρίαν· καὶ ἐλθὼν μέχρι πόλεως Αὐρηλίας, καὶ συμπλακεὶς Ἀετίῳ τῷ στρατηγῷ Ῥωμαίων, καὶ ἡττηθείς, πλείστους ἀποβαλὼν τῆς δυνάμεως παρὰ Λήγουν ποταμόν, ὑπέστρεψεν κατῃσχυμμένος. ὁ δὲ Μαρκιανὸς τῆς ἐν Λυκίᾳ γεγεννημένης αὐτῷ ὑπομνησθεὶς εὐεργε-
D σίας Τατιανὸν καὶ Ἰούλιον μεταπεμψάμενος πατέρας αὐτοὺς ἀνεκήρυξεν. καὶ τὸν μὲν Τατιανὸν ὕπαρχον ἐποίησε τῆς πόλεως· τῷ δὲ Ἰουλίῳ τὴν τῶν Λιβύων ἐνεχείρησεν ἀρχήν. ἡ δὲ μακαρία Πουλχερία πολλὰς μὲν καὶ ἄλλας τῷ Χριστῷ ἀνήγειρεν ἐκκλησίας, ἐξαιρέτως δὲ τὴν ἐν Βλαχέρναις τῆς πανυμνήτου δεσποίνης ἡμῶν θεοτόκου ἐν ἀρχῇ τῆς βασιλείας

2. βασιλείαν b. 7. δὲ om. b. 10. τῷ βασιλεῖ Ῥώμης A, τοῖς βασιλεῦσι καὶ Ῥώμης vulg. 14. Λήγην A. 17. ἔπαρχον A. τῆς add. ex A. 18. Λυκίων b, fortasse vere. 20. τῆς add. ex A.

esse novit, ad imperii culmen virum aliquando evehendum praevidit. itaque dei consilium a nullo praepediri arbitratus, mortem inferre noluit: at iusiurando exacto, ut si eum imperare deo videretur, numquam Vandalos bello lacesseret, polliceri compulit. ita Marcianus dimissus incolumis Cpolim regreditur. mox vero brevi praetercurrente tempore, ac Theodosio fatis functo, imperator, ut praemisimus, est salutatus, et in subditos omnes humanissimum se praebuit. caeterum Attila Romae principem Valentinianum maxime bello vexare studuit, quod Honoriam propriam sororem ei coniugem locare recusasset. ad Aurelianorum itaque civitatem progressus, consertis cum Aetio Romano duce manibus, pluribus suarum copiarum ad Ligerim fluvium amissis, superatur, et cum dedecore proprios repetit fines. Marcianus beneficii sibi quondam in Lycia collati memor, Tatianum et Iulium ad se accitos patres renunciat: et Tatianum quidem urbis, Iulium vero Libyca decorat praefectura. beata porro Pulcheria plures ac alias Christo construxit ecclesias: maxime vero quae celebrandae dominae nostrae deiparae dicata conspicitur in Blachernis sub pientissimi im-

τοῦ εὐσεβοῦς Μαρκιανοῦ. Λέων δὲ ὁ κατὰ πίστιν πάπας Ῥώμης ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαβιανὸν ζητηθῆναι ἐπὶ οἰκουμενικῆς συνόδου, καὶ ἐκέλευσεν ὁ βασιλεὺς συναχθῆναι πάντας τοὺς ἐπισκόπους.

Τούτῳ τῷ ἔτει ἡ ἐν Χαλκηδόνι ἁγία τετάρτη γέγονεν σύν- A.M. 5911
οδος μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος ε΄ μετὰ ἐνιαυτὸν καὶ μῆ- P. 91
νας δύο τῆς ἀναγορεύσεως Μαρκιανοῦ· πάντων δὲ τῶν ἐπισκόπων συνελθόντων ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας, καὶ τῆς συγκλήτου, καὶ γυμνασθέντα τὰ ἐπὶ τῆς πρώτης ἰνδικτιῶνος καὶ τὰ παρ' Εὐτυχοῦς πραχθέντα καὶ τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου νεωτερισθέντα, ἐγκαλούμενος ὁ Διόσκορος V. 73
περὶ τούτων ἐπὶ τὴν ἄγνοιαν τῶν πεπραγμένων καταφεύγει, καὶ μὴ δυνηθεὶς ἐκφυγεῖν τὸν ἐν τοῖς πραχθεῖσιν ἔλεγχον, ἠπορεῖτο, καὶ ἡ ἀλήθεια παρεγυμνοῦτο. τότε μὴ ἔχων ἀπολογίαν, κατῃσχύνθη. οἱ δὲ συνεδρεύσαντες αὐτῷ ἐν τῇ λῃστρικῇ συνόδῳ, ἤλεγχον αὐτῷ τὴν βίαν καὶ τὴν ἀνάγκην, ἣν ὑπέμειναν παρ' αὐτοῦ. καὶ συγγνώμην τῇ συνόδῳ αἰτήσαν- B
τες ἐδέχθησαν· ὧν εἷς ὑπῆρχεν καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων ἐπίσκοπος. ἀπορήσας δὲ ὁ Διόσκορος [καὶ μὴ ἔχων

8. τῶν add. ex A. 11. τὰ παρ'] κατὰ A, καὶ τὰ b e. 12. ὁ add. ex A. 13. ἄγνωσιν b. 14. τῶν — ἐλέγχων b. 16. ἐν τῇ — αὐτῷ om. f. 20. καὶ μὴ ἔχων ἀπολ. om. A.

peratoris Marciani exordia. caeterum beatus Leo Romanus papa, quae Dioscori et Eutychis temerariis ausibus adversus sanctum Flavianum Ephesi fuerant attentata, in generali concilio recudi ac discuti litteris expetiit: imperator vero universos episcopos congregari mandavit.

Hoc anno sancta et quarta synodus Chalcedone celebrata est, A. C. 441
mense Octobri indictione quinta, Marciano iam unum annum et duos menses imperante. cunctis igitur episcopis et senatu congregatis in aede sanctae martyri Euphemiae dicata, et quae prima indictione, tum quae ab Eutyche gesta, et quae a Dioscoro Ephesi fuerant innovata, discussis, de his interrogatus Dioscorus ad rerum actarum ignorantiam confugit: at cum argumentis, quae ab ipsis actis petebantur, convinceretur, perplexus haesitabat, ac simul veritas in apertum proferebatur. tunc quid pro defensione diceret nescius, erubuit. qui vero cum ipso in praedatoria synodo convenerant, vis sibi ab eo illatae Dioscorum arguebant: et venia sibi a synodo petita, in gratiam sunt recepti: e quorum numero Iuvenalius Hierosolymorum episcopus extitit. Dioscorus animo fluctuans, et quid responderet incertus, synodo se praesentem exhibere non ulterius est

ἀπολογίαν] οὐκ ἔτι ἐτόλμησεν ἐμφανισθῆναι τῇ συνόδῳ. τότε ἡ σύνοδος, συμπαρόντος καὶ τοῦ βασιλέως Μαρκιανοῦ ἅμα τῇ συγκλήτῳ, ἀπεφήνατο κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ τούτους καθεῖλον. [ἐν ᾗ καὶ τελειοῦται.] ὁ δὲ βασιλεὺς τὸν μὲν Διόσκορον εἰς Γάγγραν ἐξώρισεν, τὴν δὲ σύνοδον ἐπαινέσας εἶπεν· χάριν μεγίστην ὁμολογῶ τῷ πάντων ἡμῶν δεσπότῃ καὶ θεῷ, ὅτι ἀναιρεθείσης τῆς διχονοίας, εἰς μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν πάντες συνεληλύθαμεν. καὶ φιλοφρονήσας τοὺς ἑξακοσίους τριάκοντα ἁγίους πατέρας ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια ἐν εἰρήνῃ. ἐχειροτονήθη δὲ Προτέριος ἀντὶ Διοσκόρου ἐπίσκοπος Ἀλεξανδρείας.

A.M.5945 *Περσῶν βασιλέως Περόξου, Ἀλεξανδρείας ἐπισκόπου Προτερίου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Πουλχερία ἡ μακαρία καὶ εὐσεβὴς ἐκοιμήθη ἐν Χριστῷ, πολλὰ ποιήσασα κατορθώματα, καὶ πάντα τὰ ἑαυτῆς πτωχοῖς καταλείψασα, ἅπερ Μαρκιανὸς πλεῖστα ὄντα προθύμως διέδωκεν. ἔκτισεν δὲ ἡ αὐτὴ πολλοὺς εὐκτηρίους οἴκους καὶ πτωχεῖα καὶ ξενῶνας καὶ ξενοτάφια. ἐν οἷς καὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου. τοῦ δὲ Διοσκό-

3. τῇ συγκλήτῳ A, τῆς συγκλήτου vulg. 4. ἐν ᾗ καὶ τελειοῦται: obscura haec verba om. b. 5. εἰς Γ. ἐξώρισεν A e f, ἐξορίσας εἰς Γ. vulg. 6. δεσπότῃ καὶ om. A. 8. τὴν αὐτὴν A b, τὴν αὐτοῦ vulg. πάντες add. ex A. 17. διέδωκεν A, δέδωκεν vulg.

ausus. tum vero synodus, ipso imperatore Marciano et senatu praesente, adversam Dioscoro et Eutychi sententiam pronunciavit et eos depositione punivit. pronunciata sententia synodus soluta est. imperator Gangras relegato Dioscoro, in synodi laudes erumpens, dixit: deo nostrum omnium domino maximas debeo grates: quod sublata omni dissensione, in unam tandem et eandem sententiam omnes ivimus. sanctos demum sexcentos et triginta patres postquam benigne et humane suscepisset, singulos cum pace ad proprias sedes dimisit. in Dioscori vero locum Proterius Alexandriae episcopus est ordinatus.

A.C.445 Persarum regis Peroxis, Alexandriae episcopi Proterii annus primus.

Hoc anno multis rebus praeclare gestis, cunctisque suis bonis pauperibus relictis, beata et pia Pulcheria obdormivit in Christo: bona eius licet immensa Marcianus libentissime consignavit. ipsa porro quam plurimas sacras aedes sive oratoria, multa item publica pauperum loca peregrinorumque domicilia et eisdem mortuis coemeteria, in quibus sancti martyris Laurentii templum numeratur, aedifi-

ρου ἐξορισθέντος καὶ τοῦ Προτερίου προβληθέντος, οἱ σύμφρονες Διοσκόρου καὶ Εὐτυχοῦς στάσιν μεγίστην ἐποίησαν, ἀπειλήσαντες κωλύειν καὶ τὴν σιτοπομπίαν. Μαρκιανὸς δὲ μαθών, ἐκέλευσεν οὐκ εἰς Ἀλεξάνδρειαν, ἀλλ' εἰς τὸ Πηλούσιον τὸν σῖτον τῆς Αἰγύπτου καταγωγιάζεσθαι διὰ τοῦ Νείλου, καὶ οὕτως εἰς τὴν βασιλίδα διαπλωΐζεσθαι. ὅθεν Ἀλε- P. 92
ξανδρεῖς λιμώξαντες Προτέριον ἤτησαν δεηθῆναι περὶ αὐτῶν τοῦ βασιλέως, καὶ οὕτως τῆς ἀταξίας ἐπαύσαντο.

Τούτῳ τῷ ἔτει ἀνεκτίσθη τὸ Διοκλητιανὸν βαλανεῖον ἐν Ἀλεξανδρείᾳ· καὶ Ἄττιλας ἔκαυσεν τὴν Ἀκυλίαν πόλιν.

Τῷ δ' αὐτῷ ἔτει Θεοδόσιος μοναχός, ἀνὴρ λυμεών, κατελθὼν δρομαῖος μετὰ τὴν ἐν Χαλκηδόνι σύνοδον εἰς Ἱεροσόλυμα, καὶ μαθὼν Εὐδοκίαν τὴν αὐγούσταν προσκεκλίσθαι Διοσκόρῳ τῷ καθαιρεθέντι ὑπὸ τῆς συνόδου, ἤρξατο καταβοᾶν τῆς συνόδου, ὡς τὴν ὀρθὴν ἀναστρεψάσης πίστιν, καὶ συναρπάζει αὐγούσταν καὶ τοὺς μοναχούς, καὶ ταῖς ἰδίαις μιαιφο- B
νίαις χρησάμενος, βαρβαρικῷ τρόπῳ τὸν ἀρχιερατικὸν θρόνον ἁρπάζει, καὶ τοὺς τῆς αὐγούστης ἀνθρώπους ὑπουργοὺς ἔχων, χειροτονεῖ ἐπισκόπους κατὰ πόλιν, τῶν ἐπισκόπων ἔτι ὄντων

1. καὶ τοῦ *Προτ.* προβλ. om. A a f. 5. κατάγεσθαι A. 6. διαπλωΐζεσθαι A, πλωΐζ. vulg. ὅθεν b, ὅπερ vulg. 9. ἐκτίσθη A e. 13. προσκεκλίσθαι a, προσκεκλεῖσθαι A, προσκεκλῆσθαι f, προσκεῖσθαι vulg. 15. διαστρεψάσης A. 19. ἐπισκόπους om. A f.

cavit. Dioscoro vero in exilium pulso, et in eius vicem Proterio suffecto, qui cum Dioscoro et Eutyche sentiebant, magnum concitaverunt tumultum, frumentarium etiam commeatum se interclusuros minati. eo cognito, non Alexandriam, sed Pelusium per Nilum Aegyptum frumentum devehi, ac inde Cpolim reginam urbium deportari Marcianus mandavit. hinc ipsi Alexandrini fame vexati, Proterium, qui pro ipsis imperatorem deprecaretur, interposuerunt: sicque tumultuari destiterunt.

Hoc etiam anno Diocletianeum balneum Alexandriae reparatum: et Attila Aquileiam urbem incendio devastavit.

Hoc eodem anno Theodosius monachus vir exitiosus, peracto Chalcedone concilio, cursu concito Hierosolymam delatus, et de Eudociae augustae versus Dioscorum a concilio depositum affectu certior factus, adversus illud, quasi rectam pervertisset fidem, vociferari et declamare coepit: et augusta in propriam sententiam rapta, circumventis etiam monachis, familiaribus sibi caedibus usus, barbarico more in pontificium thronum, etiam ipsis augustae domesticis invasionis huiusmodi administris, intruditur, et per urbes, episcopis adhuc

ἐν τῇ συνόδῳ. Σευηριανὸν δὲ τὸν ἐπίσκοπον Σκυθοπόλεως
V. 74 μὴ ὑπαχθέντα τῇ αὐτοῦ κακοδοξίᾳ τῆς πόλεως ἐξαγαγὼν κατασφάττει, καὶ ἐγείρει διωγμὸν κατὰ τῶν μὴ κοινωνούντων αὐτῷ, καὶ πολλοὺς μὲν ἐβασάνισεν, ἄλλους δὲ ἐδήμευσε, καὶ ἑτέρων τοὺς οἴκους πυρὶ παρέδωκεν, ὥστε νομισθῆναι ὑπὸ βαρβάρων τὴν πόλιν ἐαλωκέναι. ἀπέσφαξεν δὲ καὶ Ἀθανά-
C σιον διάκονον τῆς ἁγίας Ἀναστάσεως, ἀνειδίσαντα καὶ ἐξελέγξαντα τὴν αὐτοῦ ἀθεΐαν, καὶ τὸ τούτου ἅγιον σῶμα κατὰ τὴν πόλιν πομπεύσας τοῖς κυσὶ παρέδωκεν. Δόμνος δὲ ὁ ἀρχιεπίσκοπος Ἀντιοχείας εἰς τὴν ἔρημον ἔφυγεν καὶ Ἰουβενάλιος Ἱεροσολύμων. τοῦ δὲ λυμεῶνος Θεοδοσίου ἐπὶ εἴκοσι μῆνας τὸν θρόνον Ἱεροσολύμων κρατήσαντος, γνοὺς ὁ βασιλεὺς Μαρκιανὸς ἐκέλευσεν αὐτὸν συλληφθῆναι· ὁ δὲ φυγὰς ᾤχετο ἐπὶ τὸ Σιναῖον ὄρος. τούτου δὲ ἐκ ποδῶν γεγονότος καὶ τῶν ὑπ' αὐτοῦ χειροτονηθέντων, πάλιν Ἰουβενάλιος τὸν αὐτοῦ
D θρόνον ἀπέλαβεν.

A.M. 5946 Ἀντιοχείας ἐπισκόπου Βασιλείου ἔτος α'.

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς βασιλεὺς ἐν Ῥώμῃ, ὑφορώμενος τὴν Ἀετίου τοῦ πατρικίου καὶ στρατηγοῦ δύναμιν,

2. μὴ ὑπαχθ. τῇ αὐτοῦ κακ. om. A f. 4. ἄλλους δὲ ἐδήμευσε add. ex b. 5. ἑτέρων τοὺς A, ἑτέρων δὲ τοὺς vulg. 8. ἀθεμίαν f. τὸ τούτου ἅγιον A, τὸ τοῦ ἁγίου vulg. 15. τὸν αὐτοῦ θρόνον A, τὸν θρόνον αὐτοῦ vulg. 19. καὶ στρατηγοῦ add. ex A.

in concilio considentibus, episcopos destinat: Severianum autem Scythopoleos episcopum, cum ipsius pravis erroribus assentiri nollet, civitate expulsum interfecit persecutionemque in eos, qui eius communionem aversarentur, excitat, et quosdam quidem examinat tormentis, aliorum aedes igne depopulatur, adeo ut civitatis a barbaris devastatae faciem in ipsa civitate exhiberet. tandemque Athanasium sanctae resurrectionis diaconum summam eius in deum impietatem probris et reprehensionibus insectantem necavit crudeliter, sanctique corpus per urbem publice in ludibrium raptum canibus obiecit. Domnus vero Antiochiae et Iuvenalius Hierosolymorum episcopi in eremum secessu saluti consuluerunt. cum vero illa pestis viginti menses continuos Hierosolymitanam occupasset sedem, Marcianus, re comperta, ipsum comprehendi iussit: at ille fuga Sinaeum in montem se recepit. ipso vero una cum sacrilego ordinatis eliminato, Iuvenalius in sedem sibi propriam est restitutus.

A.C. 446 Antiochiae episcopi Basilii annus primus.

Hoc anno Valentinianus imperator Aetii patricii potestatem nimiam Romae suspectam habens, Heraclio quodam eunucho adiutore

διαφορεῖ τοῦτον, Ἡρακλείου τινὸς τῶν εὐνούχων συμπραξαντος αὐτῷ. ὁ δὲ Ἄττιλας ἐνέτρεπιζετο πολεμῆσαι Μαρκιανῷ μὴ ἀνεχομένῳ τὸν φόρον αὐτῷ παρασχέσθαι τὸν ὑπὸ Θεοδοσίου ταχθέντα. μεταξὺ δὲ κόρης τινὸς ἐνήρεπους ἐρα- P. 93
σθείς, καὶ τὸν πρὸς αὐτὴν γάμον ἐπιτελῶν, οἰνωθεὶς τε σφόδρα καὶ ὕπνῳ βαρυνθείς, αἵματος ἀθρόου διὰ ῥινῶν τε καὶ τοῦ στόματος ἐνεχθέντος, τελευτᾷ τὸν βίον. τὴν δὲ τοσαύτην αὐτοῦ δυναστείαν οἱ παῖδες τούτου διαδεξάμενοι καὶ στασιάσαντες πρὸς ἀλλήλους, διαφθείρονται. οἱ μέντοι γε κατὰ τὴν ἑῴαν Ῥωμαῖοι, Μαρκιανοῦ βασιλεύοντος, πάσης ἀπήλαυον εἰρήνης καὶ δικαιοσύνης καὶ εὐφροσύνης. καὶ ἦν ἐκεῖνα τὰ ἔτη κυρίως χρυσᾶ τῇ τοῦ βασιλέως χρηστότητι, γαλήνης πάντα ἐπικεχυμένης τὰ πράγματα. B

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς ὁ τῆς Ῥώμης βασιλεὺς A.M.5947
τῶν μὲν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων ἀντελαμβάνετο, πολλὴν δὲ τὴν παρανομίαν ἐν τῇ ἑαυτοῦ διεκέχρητο διαίτῃ. εὐπρεπεστάτῃ γὰρ γυναικὶ Εὐδοξίᾳ τῇ θυγατρὶ Θεοδοσίου τοῦ βασιλέως συνοικῶν ἀλλοτρίαις δαιμονιωδῶς ἐκέχρητο. ὠμίλει δὲ συνεχῶς καὶ τοῖς τὰ περίεργα πράττουσι. διὸ καὶ αἰσχίστῳ παραδίδοται θανάτῳ. Μαξίμου γὰρ τοῦ ἐπὶ Θεοδοσίου

5. οἰνωθεὶς τε A, οἰνωθεὶς δὲ vulg. 6. βαρηθεὶς — ῥινὸς A. 10. ἀπήλαυον A, ἀπέλαυον a, ἀπολαύων f, ἀπέλαβον vulg. 12. κυρίως add. ex A e f. 14. βασιλεὺς A e f, βασιλεύων vulg. 16. ἐκέχρητο A. 19. δὲ add. ex A. 20. Μαξιμιανοῦ A e.

adscito, ipsum dolis interficit. adversus autem Marcianum pactum a Theodosio tributum reddi non ferentem Attila bellum parabat. interea puellae, cuius forma liberalis omnino fuit, amore captus, dum nuptias cum illa celebrat, vino maxime madidus ac profundo somno gravatus, copioso subinde sanguinis profluvio e naribus atque ore erumpente, vitam finiit. tam amplam vero patris ditionem excipientes filii et ad invicem dissidentes profligantur. Romani porro qui partes orientis tenebant, summa pace, iustitia et gaudio, Marciano imperante, fruebantur. et erant certe imperatoris benignitate aurea prorsus illa tempora, tranquillitate nimirum rebus omnibus superfusa.

Hoc anno Valentinianus Romae imperans recta quidem ecclesiae A. C. 447
dogmata sustinebat, innumeris licet flagitiis quotidianum vitae usum respergeret. formosissimae siquidem uxori Eudoxiae Theodosii imperatoris filiae coniunctus, alienis mulieribus per artes daemoniacas abutebatur. etiam curiosa sectantibus assidue conversabatur: quare foedissimo mortis genere plectitur. eius quippe Maximi, qui sub ma-

τοῦ μεγάλου τυραννήσαντος ἔγγονος καὶ ὁμώνυμος ἐν τοῖς κατὰ τὴν Ῥώμην πατρικίοις τελῶν, ἔνδον τοῦ παλατίου γενόμενος, τὸν Οὐαλεντινιανὸν ἀπέσφαξεν, καὶ τῇ Εὐδοξίᾳ βίᾳ
C συνεγένετο, καὶ τῆς βασιλείας ἐκράτησεν· δι' ὧν γάρ τις ἁμαρτάνει, δι' αὐτῶν καὶ παιδεύεται. ἐπὶ τούτοις ἡ Εὐδοξία ἀχθομένη, καὶ μηδεμίαν βοήθειαν ἐκ τοῦ Βυζαντίου ἔσεσθαι αὐτῇ λογισαμένη, Θεοδοσίου τοῦ πατρὸς αὐτῆς τελευτήσαντος καὶ Πουλχερίας, μεταπέμπεται Γιζέριχον εἰς Ῥώμην, παρακαλοῦσα λυτρωθῆναι ἐκ τῆς τοῦ Μαξίμου τυραν-
V. 75 νίδος. Γιζερίχου δὲ στόλῳ μεγάλῳ ἐκπλεύσαντος εἰς Ῥώμην, Μάξιμος φοβηθεὶς φυγῇ ἐχρήσατο. οἱ δὲ συνόντες αὐτῷ ἀνεῖλον αὐτὸν βασιλεύσαντα ἔτος ἕν. ὁ δὲ Γιζέριχος μηδενὸς αὐτῷ ἀντιστάντος, εἰσῆλθεν εἰς Ῥώμην τῇ τρίτῃ ἡμέρᾳ τῆς σφαγῆς Μαξίμου, καὶ λαβὼν πάντα τὰ χρήματα καὶ τὰ τῆς
D πόλεως θεάματα εἰς τὰ πλοῖα ἐμβαλών, ἐν οἷς ἦσαν κειμήλια ὁλόχρυσα καὶ διάλιθα ἐκκλησιαστικά, καὶ σκεύη Ἑβραϊκά, ἅπερ Οὐεσπασιανὸς Τῖτος μετὰ τὴν ἅλωσιν Ἱεροσολύμων εἰς Ῥώμην ἤγαγεν, σὺν τούτοις λαβὼν καὶ Εὐδοξίαν τὴν βασίλισσαν καὶ τὰς θυγατέρας αὐτῆς, εἰς Ἀφρικὴν ἀπέλυσεν· καὶ τὴν μὲν Εὐδοκίαν Ὀνωρίχῳ τῷ πρωτοτόκῳ υἱῷ αὐτοῦ συνέζευξεν, τὴν δὲ Πλακιδίαν ἄνδρα ἔχειν μαθὼν Ὀλύβριον τὸν πα-

1. ἔγγονος A, ἔγγων vulg. 3. βίᾳ om. A e f. 9. Μαξιμιανοῦ e. 14. τὰ ante χρήμ. add. ex A. 17. Οὐεσπασιανὸς A, Οὐεσπασιανοῦ vulg. 19. ἀπέλυσεν A, ἀπέπλευσεν vulg.

gno Theodosio tyrannidem fuerat aucupatus, nepos et eiusdem nominis consors, inter patricios Romae adscitus, in palatium irruens Valentinianum trucidavit, Eudoxiam vi oppressit et imperium obtinuit. etenim per quae peccat aliquis, per eadem castigatur. his afflicta Eudoxia, cum, Theodosio patre et Pulcheria iam extinctis, nullum sibi Cpoli affuturum auxilium expectaret, Gizerichum, ex Maximi tyrannide eximi se deprecata, Romam advocat. eo cum ingenti classe Romam adnavigante, deterritus Maximus fugae se committit: et a suis, cum vix annum imperasset, interimitur. Gizerichus, nullo resistente, tertio a caede Maximi die Romam ingreditur, direptisque omnibus urbis divitiis, et cunctis eius ornamentis spectatu dignioribus in naves impositis, in quibus etiam fuit copiosa ecclesiae supellex ex auro solido et gemmis conflata, et Hebraïca vasa a Vespasiani filio Tito post Hierosolymorum excidium Romam allata, et insuper Eudoxia imperatrice eiusque filiabus una secum abductis, in Africam navibus remeat: ibi demum Eudociam Honoricho filio suo maiori coniugio copulat, Placidiam vero cum Olybrium patricium virum habere compe-

τρίτον, μετὰ τῆς μητρὸς ἐφύλαξεν Εὐδοξίας. μαθὼν δὲ τὸν Μαξίμου θάνατον Μαιωρῖνος ἐβασίλευσεν ἔτη δύο, καὶ μετ' αὐτὸν Ἄβιτος τὴν τῆς Ῥώμης βασιλείαν ἐκράτησεν ἐνιαυτοὺς δύο, καὶ μετὰ τοῦτον Σεβῆρος ἔτη τρία, καὶ μετὰ τούτους P. 94
οὐκ ἔστιν βασιλεύς, ἀλλὰ Ῥεκίμερ ἐδιοίκει τὰ πράγματα στρατηγῶν καὶ μεγάλην περιχείμενος δύναμιν.

Τῷ δ' αὐτῷ ἔτει ἐτελεύτησεν Εὐδοκία ἐν Ἱεροσολύμοις πολλὰ καταλείψασα ταῖς ἐκκλησίαις.

Ἀντιοχείας ἐπισκόπου Μαρτυρίου ἔτος α'. A.M. 5948

Τούτῳ τῷ ἔτει ἐκάη ἡ Ῥάβεννα, καὶ μετ' ὀλίγας ἡμέρας B
ἐσφάγη ὁ πατρίκιος Ῥαμίτος εἰς Κλάσας. καὶ μεθ' ἡμέρας ιθ' ἐνικήθη Ἄβιτος ὑπὸ Ῥεμίκου, καὶ γέγονεν εἰς πόλιν Πλακεντίαν εἰς Γαλλίου.

Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ βασιλεὺς ἐτελεύτησεν πρὸ A.M. 5949
μιᾶς καλανδῶν Μαΐων· καὶ ἐβασίλευσε Λέων ὁ μέγας. αὐτῷ δὲ τῷ ἔτει ἀνενεώθη ἐν Ἀλεξανδρείᾳ τὸ Γρατιανὸν βαλανεῖον καὶ ἡ βασιλικὴ ἡ μεγάλη εἰς τὸ στοιχεῖον. πάνυ δὲ ἦν εὐλαβὴς καὶ φοβούμενος τὸν θεὸν ὁ Μαρκιανός, ὅστις ἐν ταῖς λιταῖς τοῦ Κάμπου πεζὸς ἔξῃει, πολλὰ τοῖς δεομένοις C

1. τὸν Μαξ. θάν. A, τοῦ M. θ. vulg. 5. ἐδιώκει A, sed cfr. p. 126, 10. 12. locum aperte corruptum Goar. sic explendum censet: καὶ γέγονεν ἐπίσκοπος εἰς πόλιν (A f πόλεμον) Πλακεντίαν, καὶ ἀπελθὼν εἰς Γαλλίας ἀπέθανεν. 16. τὸ Τραγιανὸν βαλ. A. 17. ἡ μεγάλη A, μεγάλη vulg. 18. ὁ add. ex A.

risset, una cum matre Eudoxia sub custodia tenuit. Maiorinus, audita Maximi morte, duos annos imperio potitur: eo sublato, Avitus pari annorum numero occupavit: post hunc Severus annos tres. post istos nullus Romae extitit imperator: verum Recimer dux exercitus, magna instructus potentia, rerum summam administravit.

Hoc etiam anno Eudocia, donis maximis in ecclesias collatis, Hierosolymis decessit.

Antiochiae episcopi Martyrii annus primus. A. C. 448

Hoc anno Ravenna civitas igne consumpta est: et post dies paucos Ramitus patricius ad Classas est interfectus: diesque abhinc undeviginti a Remico superatus est Avitus: factus autem Placentiae civitatis episcopus, in Gallias profectus occubuit.

Hoc anno pridie Maias kalendas Marcianus imperator decessit, et A. C. 449
in imperio successit magnus Leo. eadem tempestate Gratiani balneum Alexandriae reparatur et regia maior ad Stoechium. Marcianus porro valde pius religioso timore deum colebat, et processionibus ad Campum celebratis, pedes incedebat, et multis beneficiis sibi devinciebat egentes: quare his conspectis, non amplius sella sublatus, ut mos

δρα, καὶ γνοὺς εἶναι αὐτὸν δομέστικον τοῦ Ἄσπαρος, ἔγνω ὅτι εἰς βασιλέα ἀνάγεσθαι μέλλει. καὶ ἀποκτεῖναι αὐτὸν οὐκ ἠθέλησεν, λογισάμενος ὅτι τοῦ θεοῦ τὴν βουλὴν οὐδεὶς δύναται κωλῦσαι. ὅρκον δὲ αὐτὸν ἀπήτησεν, ὅτι εἰ τῷ θεῷ φίλον βασιλεύειν αὐτόν, οὐ πολεμήσει ποτὲ Οὐανδήλους. καὶ οὕτως ἀβλαβὴς ἀπολυθεὶς ὁ Μαρκιανός ἦλθεν εἰς τὸ Βυζάντιον. χρόνου δὲ ὀλίγου διελθόντος, καὶ Θεοδοσίου τελευτήσαντος, βασιλεὺς ἀνεδείχθη, ὡς προέφημεν. ἐγένετο δὲ χρηστὸς περὶ πάντας τοὺς ὑπηκόους. ὁ δὲ Ἄττιλας ἐπανίστα-
C ται τῷ βασιλεῖ Ῥώμης Οὐαλεντινιανῷ, διότι οὐκ ἔδωκεν αὐτῷ εἰς γυναῖκα τὴν ἰδίαν ἀδελφὴν Ὀνωρίαν· καὶ ἐλθὼν μέχρι πόλεως Αὐρηλίας, καὶ συμπλακεὶς Ἀετίῳ τῷ στρατηγῷ Ῥωμαίων, καὶ ἡττηθείς, πλείστους ἀποβαλὼν τῆς δυνάμεως παρὰ Λήγουν ποταμόν, ὑπέστρεψεν κατησχυμμένος. ὁ δὲ Μαρκιανὸς τῆς ἐν Λυκίᾳ γεγενημένης αὐτῷ ὑπομνησθεὶς εὐεργε-
D σίας Τατιανὸν καὶ Ἰούλιον μεταπεμψάμενος πατέρας αὐτοὺς ἀνεκήρυξεν. καὶ τὸν μὲν Τατιανὸν ὕπαρχον ἐποίησε τῆς πόλεως· τῷ δὲ Ἰουλίῳ τὴν τῶν Λιβύων ἐνεχείρησεν ἀρχήν. ἡ δὲ μακαρία Πουλχερία πολλὰς μὲν καὶ ἄλλας τῷ Χριστῷ ἀνήγειρεν ἐκκλησίας, ἐξαιρέτως δὲ τὴν ἐν Βλαχέρναις τῆς πανυμνήτου δεσποίνης ἡμῶν θεοτόκου ἐν ἀρχῇ τῆς βασιλείας

2. βασιλείαν b. 7. δὲ om. b. 10. τῷ βασιλεῖ Ῥώμης A, τοῖς βασιλεῦσι καὶ Ῥώμης vulg. 14. Λήγην A. 17. ἔπαρχον A. τῆς add. ex A. 18. Λυκίων b, fortasse vere. 20. τῆς add. ex A.

esse novit, ad imperii culmen virum aliquando evehendum praevidit. itaque dei consilium a nullo praepediri arbitratus, mortem inferre noluit: at iusiurando exacto, ut si eum imperare deo videretur, numquam Vandalos bello lacesseret, polliceri compulit. ita Marcianus dimissus incolumis Cpolim regreditur. mox vero brevi praetercurrente tempore, ac Theodosio fatis functo, imperator, ut praemisimus, est salutatus, et in subditos omnes humanissimum se praebuit. caeterum Attila Romae principem Valentinianum maxime bello vexare studuit, quod Honoriam propriam sororem ei coniugem locare recusasset. ad Aurelianorum itaque civitatem progressus, consertis cum Aetio Romano duce manibus, pluribus suarum copiarum ad Ligerim fluvium amissis, superatur, et cum dedecore proprios repetit fines. Marcianus beneficii sibi quondam in Lycia collati memor, Tatianum et Iulium ad se accitos patres renunciat: et Tatianum quidem urbis, Iulium vero Libyca decorat praefectura. beata porro Pulcheria plures ac aliaa Christo construxit ecclesias: maxime vero quae celebrandae dominae nostrae deiparae dicata conspicitur in Blachernis sub pientissimi im-

τοῦ εὐσεβοῦς Μαρκιανοῦ. Λέων δὲ ὁ μακάριος πάππας Ῥώμης ἔγραψε Μαρκιανῷ αἰτῶν τὰ τολμηθέντα παρὰ Διοσκόρου καὶ Εὐτυχοῦς ἐν Ἐφέσῳ εἰς τὸν ἅγιον Φλαβιανὸν ζητηθῆναι ἐπὶ οἰκουμενικῆς συνόδου, καὶ ἐκέλευσεν ὁ βασιλεὺς συναχθῆναι πάντας τοὺς ἐπισκόπους.

Τούτῳ τῷ ἔτει ἡ ἐν Χαλκηδόνι ἁγία τετάρτη γέγονεν σύν- A.M. 5944
οδος μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνος ε' μετὰ ἐνιαυτὸν καὶ μῆ- P. 91
νας δύο τῆς ἀναγορεύσεως Μαρκιανοῦ· πάντων δὲ τῶν ἐπισκόπων συνελθόντων ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας, καὶ τῆς συγκλήτου, καὶ γυμνασθέντα τὰ ἐπὶ τῆς πρώτης ἰνδικτιῶνος καὶ τὰ παρ' Εὐτυχοῦς πραχθέντα καὶ τὰ ἐν Ἐφέσῳ ὑπὸ Διοσκόρου νεωτερισθέντα, ἐγκαλούμενος ὁ Διόσκορος V. 73
περὶ τούτων ἐπὶ τὴν ἄγνοιαν τῶν πεπραγμένων καταφεύγει, καὶ μὴ δυνηθεὶς ἐκφυγεῖν τὸν ἐν τοῖς πραχθεῖσιν ἔλεγχον, ἠπορεῖτο, καὶ ἡ ἀλήθεια παρεγυμνοῦτο. τότε μὴ ἔχων ἀπολογίαν, κατῃσχύνθη. οἱ δὲ συνεδρεύσαντες αὐτῷ ἐν τῇ λῃστρικῇ συνόδῳ, ἤλεγχον αὐτῷ τὴν βίαν καὶ τὴν ἀνάγκην, ἣν ὑπέμειναν παρ' αὐτοῦ. καὶ συγγνώμην τῇ συνόδῳ αἰτήσαν- B
τες ἐδέχθησαν· ὧν εἷς ὑπῆρχεν καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων ἐπίσκοπος. ἀπορήσας δὲ ὁ Διόσκορος [καὶ μὴ ἔχων

8. τῶν add. ex A. 11. τὰ παρ'] κατὰ A, καὶ τὰ b e. 12. ὁ add. ex A. 13. ἄγνωσιν b. 14. τῶν — ἐλέγχων b. 16. ἐν τῇ — αὐτῷ om. f. 20. καὶ μὴ ἔχων ἀπολ. om. A.

peratoris Marciani exordia. caeterum beatus Leo Romanus papa, quae Dioscori et Eutychis temerariis ausibus adversus sanctum Flavianum Ephesi fuerant attentata, in generali concilio recudi ac discuti litteris expetiit: imperator vero universos episcopos congregari mandavit.

Hoc anno sancta et quarta synodus Chalcedone celebrata est, A. C. 444
mense Octobri indictione quinta, Marciano iam unum annum et duos menses imperante. cunctis igitur episcopis et senatu congregatis in aede sanctae martyri Euphemiae dicata, et quae prima indictione, tum quae ab Eutyche gesta, et quae a Dioscoro Ephesi fuerant innovata, discussis, de his interrogatus Dioscorus ad rerum actarum ignorantiam confugit: at cum argumentis, quae ab ipsis actis petebantur, convinceretur, perplexus haesitabat, ac simul veritas in apertum proferebatur. tunc quid pro defensione diceret nescius, erubuit. qui vero cum ipso in praedatoria synodo convenerant, vis sibi ab eo illatae Dioscorum arguebant: et venia sibi a synodo petita, in gratiam sunt recepti: e quorum numero Iuvenalius Hierosolymorum episcopus extitit. Dioscorus animo fluctuans, et quid responderet incertus, synodo se praesentem exhibere non ulterius est

ἀπολογίαν] οὐκ ἔτι ἐτόλμησεν ἐμφανισθῆναι τῇ συνόδῳ. τότε ἡ σύνοδος, συμπαρόντος καὶ τοῦ βασιλέως Μαρκιανοῦ ἅμα τῇ συγκλήτῳ, ἀπεφήνατο κατὰ Διοσκόρου καὶ Εὐτυχοῦς, καὶ τούτους καθεῖλον. [ἐν ᾗ καὶ τελειοῦται.] ὁ δὲ βασιλεὺς τὸν μὲν Διόσκορον εἰς Γάγγραν ἐξώρισεν, τὴν δὲ σύνοδον ἐπαινέσας εἶπεν· χάριν μεγίστην ὁμολογῶ τῷ πάντων ἡμῶν δεσπότῃ καὶ θεῷ, ὅτι ἀναιρεθείσης τῆς διχονοίας, εἰς μίαν καὶ τὴν αὐτὴν ὁμολογίαν πάντες συνεληλύθαμεν. καὶ φιλοφρονήσας τοὺς ἑξακοσίους τριάκοντα ἁγίους πατέρας ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια ἐν εἰρήνῃ. ἐχειροτονήθη δὲ Προτέριος ἀντὶ Διοσκόρου ἐπίσκοπος Ἀλεξανδρείας.

A.M.5945 Περσῶν βασιλέως Περόξου, Ἀλεξανδρείας ἐπισκόπου Προτερίου ἔτος α'.

Τούτῳ τῷ ἔτει Πουλχερία ἡ μακαρία καὶ εὐσεβὴς ἐκοιμήθη ἐν Χριστῷ, πολλὰ ποιήσασα κατορθώματα, καὶ πάντα τὰ ἑαυτῆς πτωχοῖς καταλείψασα, ἅπερ Μαρκιανὸς πλεῖστα ὄντα προθύμως διέδωκεν. ἔκτισεν δὲ ἡ αὐτὴ πολλοὺς εὐκτηρίους οἴκους καὶ πτωχεῖα καὶ ξενῶνας καὶ ξενοτάφια. ἐν οἷς καὶ τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Λαυρεντίου. τοῦ δὲ Διοσκό-

3. τῇ συγκλήτῳ A, τῆς συγκλήτου vulg. 4. ἐν ᾗ καὶ τελειοῦται: obscura haec verba om. b. 5. εἰς Γ. ἐξώρισεν A e f, ἐξορίσας εἰς Γ. vulg. 6. δεσπότῃ καὶ om. A. 8. τὴν αὐτὴν A b, τὴν αὐτοῦ vulg. πάντες add. ex A. 17. διέδωκεν A, δέδωκεν vulg.

ausus. tum vero synodus, ipso imperatore Marciano et senatu praesente, adversam Dioscoro et Eutychi sententiam pronunciavit et eos depositione punivit. pronunciata sententia synodus soluta est. imperator Gangras relegato Dioscoro, in synodi laudes erumpens, dixit: deo nostrum omnium domino maximas debeo grates: quod sublata omni dissensione, in unam tandem et eandem sententiam omnes ivimus. sanctos demum sexcentos et triginta patres postquam benigne et humane suscepisset, singulos cum pace ad proprias sedes dimisit. in Dioscori vero locum Proterius Alexandriae episcopus est ordinatus.

A.C.445 Persarum regis Peroxis, Alexandriae episcopi Proterii annus primus.

Hoc anno multis rebus praeclare gestis, cunctisque suis bonis pauperibus relictis, beata et pia Pulcheria obdormivit in Christo: bona eius licet immensa Marcianus libentissime consignavit. ipsa porro quam plurimas sacras aedes sive oratoria, multa item publica pauperum loca peregrinorumque domicilia et eisdem mortuis coemeteria, in quibus sancti martyris Laurentii templum numeratur, aedifi-

ρου ἐξορισθέντος καὶ τοῦ Προτερίου προβληθέντος, οἱ σύμφρονες Διοσκόρου καὶ Εὐτυχοῦς στάσιν μεγίστην ἐποίησαν, ἀπειλήσαντες κωλύειν καὶ τὴν σιτοπομπίαν. Μαρκιανὸς δὲ μαθών, ἐκέλευσεν οὐκ εἰς Ἀλεξάνδρειαν, ἀλλ' εἰς τὸ Πηλούσιον τὸν σῖτον τῆς Αἰγύπτου καταγωγιάζεσθαι διὰ τοῦ Νείλου, καὶ οὕτως εἰς τὴν βασιλίδα διαπλωΐζεσθαι. ὅθεν Ἀλε- P. 92
ξανδρεῖς λιμώξαντες Προτέριον ᾔτησαν δεηθῆναι περὶ αὐτῶν τοῦ βασιλέως, καὶ οὕτως τῆς ἀταξίας ἐπαύσαντο.

Τούτῳ τῷ ἔτει ἀνεκτίσθη τὸ Διοκλητιανὸν βαλανεῖον ἐν Ἀλεξανδρείᾳ· καὶ Ἄττιλας ἔκαυσεν τὴν Ἀκυλίαν πόλιν.

Τῷ δ' αὐτῷ ἔτει Θεοδόσιος μοναχός, ἀνὴρ λυμεών, κατελθὼν δρομαῖος μετὰ τὴν ἐν Χαλκηδόνι σύνοδον εἰς Ἱεροσόλυμα, καὶ μαθὼν Εὐδοκίαν τὴν αὐγούσταν προσκεκλίσθαι Διοσκόρῳ τῷ καθαιρεθέντι ὑπὸ τῆς συνόδου, ἤρξατο καταβοᾶν τῆς συνόδου, ὡς τὴν ὀρθὴν ἀναστρεψάσης πίστιν, καὶ συναρπάζει αὐγούσταν καὶ τοὺς μοναχούς, καὶ ταῖς ἰδίαις μιαιφο- B
νίαις χρησάμενος, βαρβαρικῷ τρόπῳ τὸν ἀρχιερατικὸν θρόνον ἁρπάζει, καὶ τοὺς τῆς αὐγούστης ἀνθρώπους ὑπουργοὺς ἔχων, χειροτονεῖ ἐπισκόπους κατὰ πόλιν, τῶν ἐπισκόπων ἔτι ὄντων

1. καὶ τοῦ Προτ. προβλ. om. A a f. 5. κατάγεσθαι A. 6. διαπλωΐζεσθαι A, πλωΐζ. vulg. ὅθεν b, ὅπερ vulg. 9. ἐκτίσθη A e. 13. προσκεκλίσθαι a, προσκεκλεῖσθαι A, προσκεκλῆσθαι f, προσκεῖσθαι vulg. 15. διαστρεψάσης A. 19. ἐπισκόπους om. A f.

cavit. Dioscoro vero in exilium pulso, et in eius vicem Proterio suffecto, qui cum Dioscoro et Eutyche sentiebant, magnum concitaverunt tumultum, frumentarium etiam commeatum se interclusuros minati. eo cognito, non Alexandriam, sed Pelusium per Nilum Aegyptum frumentum devehi, ac inde Cpolim reginam urbium deportari Marcianus mandavit. hinc ipsi Alexandrini fame vexati, Proterium, qui pro ipsis imperatorem deprecaretur, interposuerunt: sicque tumultuari destiterunt.

Hoc etiam anno Diocletianeum balneum Alexandriae reparatum: et Attila Aquileiam urbem incendio devastavit.

Hoc eodem anno Theodosius monachus vir exitiosus, peracto Chalcedone concilio, cursu concito Hierosolymam delatus, et de Eudociae augustae versus Dioscorum a concilio depositum affectu certior factus, adversus illud, quasi rectam pervertisset fidem, vociferari et declamare coepit: et augusta in propriam sententiam rapta, circumventis etiam monachis, familiaribus sibi caedibus usus, barbarico more in pontificium thronum, etiam ipsis augustae domesticis invasionis huiusmodi administris, intruditur, et per urbes, episcopis adhuc

ἐν τῇ συνόδῳ. Σευηριανὸν δὲ τὸν ἐπίσκοπον Σκυθοπόλεως
V. 74 μὴ ὑπαχθέντα τῇ αὐτοῦ κακοδοξίᾳ τῆς πόλεως ἐξαγαγὼν κα-
τασφάττει, καὶ ἐγείρει διωγμὸν κατὰ τῶν μὴ κοινωνούντων
αὐτῷ, καὶ πολλοὺς μὲν ἐβασάνισεν, ἄλλους δὲ ἐδήμευσε, καὶ
ἑτέρων τοὺς οἴκους πυρὶ παρέδωκεν, ὥστε νομισθῆναι ὑπὸ
βαρβάρων τὴν πόλιν ἐαλωκέναι. ἀπέσφαξεν δὲ καὶ Ἀθανά-
C σιον διάκονον τῆς ἁγίας Ἀναστάσεως, ὀνειδίσαντα καὶ ἐξελέγ-
ξαντα τὴν αὐτοῦ ἀθεΐαν, καὶ τὸ τούτου ἅγιον σῶμα κατὰ
τὴν πόλιν πομπεύσας τοῖς κυσὶ παρέδωκεν. Δόμνος δὲ ὁ ἀρ-
χιεπίσκοπος Ἀντιοχείας εἰς τὴν ἔρημον ἔφυγεν καὶ Ἰουβενά-
λιος Ἱεροσολύμων. τοῦ δὲ λυμεῶνος Θεοδοσίου ἐπὶ εἴκοσι μῆ-
νας τὸν θρόνον Ἱεροσολύμων κρατήσαντος, γνοὺς ὁ βασιλεὺς
Μαρκιανὸς ἐκέλευσεν αὐτὸν συλληφθῆναι· ὁ δὲ φυγὰς ᾔρχετο
ἐπὶ τὸ Σιναῖον ὄρος. τούτου δὲ ἐκ ποδῶν γεγονότος καὶ τῶν
ὑπ' αὐτοῦ χειροτονηθέντων, πάλιν Ἰουβενάλιος τὸν αὐτοῦ
D θρόνον ἀπέλαβεν.

A.M. 5946 Ἀντιοχείας ἐπισκόπου Βασιλείου ἔτος α'.

Τούτῳ τῷ ἔτει Οὐαλεντινιανὸς βασιλεὺς ἐν Ῥώμῃ, ὑφο-
ρώμενος τὴν Ἀετίου τοῦ πατρικίου καὶ στρατηγοῦ δύναμιν,

Τῷ δ' αὐτῷ ἔτει Περώζης πάλιν ἐπιστρατεύσας πρὸς τοὺς Λευκοὺς Οὔννους, τοὺς λεγομένους Νεφθαλίτας, ἀπώλετο παστρατί. ὀρύξαντες γὰρ τάφρον βαθεῖαν, καὶ καλά-

2. καταστρατεῦσαι A, στρατεῦσαι vulg. 8. ὑπερμαχοῦντες e f. ἁγίας om. f. 12. συντυχεῖν A, τυχεῖν vulg. 19. τοὺς Λευκοὺς Οὔννους A, τοὺς λεγομένους Λευκοὺς O. vulg.

Nephthalitarum rex concessit, quam ille pronus in terram ipsum adorasset, et interposito iuramento fuisset pactus, se non amplius bellum Nephthalitis illaturum. Perozes necessitatis vi constrictus, illubenti animo id omne praestiturum pollicetur et cum multo dedecore revertitur: latae tamen ignominiae postmodum impatiens violatis foederibus armis eos lacessere non destitit.

Alexandriae episcopi Timothei Aeluri annus primus. A.C. 468

Hoc anno cleri monachorumque Cpolitanorum agmine pro Chalcedonensi synodo decertante, territus Acacius, in unam cum eis ire sententiam dissimulans, ea de causa adversus Basiliscum et Zenonem ex ecclesiae suggestu peroravit. quo comperto, populi furorem Basiliscus metuens excessit civitate, ne quis Acacio familiaritatis aut convictus praeberet consortium, indicens senatui: iam enim populus igne civitatem devastare parabat. Daniel autem Stylites, vir ille mirandus, e monachorum et populi turba nonnullis rerum divinarum aemulatoribus assumptis, ad Basiliscum profectus, multa libertate coram eo disseruit, cuius ille sermonem respuit.

Hoc eodem anno Perozes iterum adversus Unnos Albos nomine, qui et Nephthalitae, arma movens, ex integro profligatur. fossa

μους ἐπιθέντες καὶ γῆν ἐπιχώσαντες ἔμειναν ἔνδον. ὀλίγους δὲ ὑπαντῆσαι τούτοις ἀποστείλαντες καὶ αὖθις εἰς φυγὴν
D τραπέντας καὶ κατὰ τὰ στενὰ διαβάντες, ὁμοῦ τοῖς ἄλλοις ἔφυγον. οἱ δὲ Πέρσαι μηδὲν δεινὸν ὑποπτεύσαντες, ἀκρατῶς τούτους ἐδίωκον, καὶ πάντες ὁμοῦ σὺν τῷ Περώζῃ καὶ τοῖς αὐτοῦ παισὶν εἰς τὸ βάραθρον ἐμπεσόντες, ἀπώλοντο. ὁ δὲ Περώζης αἰσθόμενος τοῦ δεινοῦ, τὸν μάργαρον, ὃν αὐτὸς εἶχεν λευκότατον καὶ μέγαν, εἰς ὑπερβολὴν ἔντιμον, ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀφελόμενος, ἔρριψεν, ὅπως μή τις αὐτὸν ὀπίσω αὐτοῦ φορέσῃ, ἐπεὶ ἀξιοθέατος ὑπερφυῶς ἦν, οἷον οὔπω πρό-
τερον ἑτέρῳ βασιλεῖ γέγονεν. οὕτω μὲν Περώζης διεφθάρη σὺν
P. 106 πάσῃ τῇ στρατιᾷ. ὅσοι δὲ Περώζῃ μὴ συστρατεύσαντες, Καβάδην βασιλέα εἵλαντο τὸν Περώζου νεώτερον υἱόν. ἦρξαν δὲ
V. 85 Περσῶν οἱ βάρβαροι χρόνους δύο εἰς φόρου ἀπαγωγήν. Καβάδης δὲ ἐπὶ τὸ βιαιότερον τῇ ἀρχῇ χρώμενος, κοινὰς τὰς γυναῖκας ἔχειν ἐνομοθέτησεν· ὅθεν οἱ Πέρσαι τοῦτον τῆς ἀρχῆς παρέλυσαν, καὶ δήσαντες εἰς φυλακὴν ἀπέθεντο, Βλάσιον δὲ τὸν καὶ Οὐαλᾶν, ἀδελφὸν Περώζου, βασιλέα ἐποίησαν διὰ τὸ μὴ εἶναι ἄλλον υἱὸν Περώζου. ἡ δὲ γυνὴ Κα-

1. καὶ καλάμους ἐπιθέντες καὶ γῆν ἐπιχώσαντες A, καὶ καλάμους καὶ γῆν ἐπιθέντες vulg. 3. κατὰ A e, καθ' εἷς vulg. 6. εἰς τὸ βάρ. A, εἰς βάρ. vulg. 9. ὀπίσω A, ὄπισθεν vulg. 10. φορέσῃ A, φορήσῃ vulg. οἷον e, ὅσον vulg. om. A. 13. ἕλοντο A, sed vid. p. 122, 1. 15. βιαιότερον A, βεβαιότερον vulg. 17. Βλασιον δὲ A, καὶ Βλάσην vulg.

quippe profundius excavata, calamos cum terra leviter aggesta desuper imponentes, latenter in ea Persas praestolabantur. paucis autem, qui Persico exercitui occurrerent, missis, iisdemque in fugam versis, et exinde locorum angustias subeuntibus singulis et una fugientibus reliquis, Persae nihil adversum suspicati effusis habenis eos insectati, omnes cum Peroze ipsiusque liberis in barathrum incidentes perierunt. Perozes dolum expertus, gemmam quam habebat candidissimam et insignem atque immensi pretii, aure dextra detractam a se proiecit, ne aliquis post eum illam gestaret, cum tam eximiae et admirandae speciei existeret, qualem nondum prius rex alius possedisset. tali strage Perozes cum omnibus copiis periit. porro in hac expeditione qui se Perozi comites non adiunxerunt, iuniorem eius filium Cabadem nomine sibi praefecerunt regem. barbari vero etiam tributi onere adiecto, duos annos Persis imperavere. Cabades porro potestate nimis violenter usus, lata lege mulieres communes haberi sanxit: qua moti Persae regno Cabade remoto, Blasium, quem Valam quoque dixerunt, Perozis fratrem instituerunt regem: alter quippe Perozi filius

βάδου διηκόνει αὐτῷ ἐν τῇ φρουρᾷ. ὁ δὲ τῆς εἱρκτῆς ἄρχων ἤρξατο ἐρᾶν τῆς γυναικὸς εὐπρεποῦς οὔσης. ὁ δὲ Καβάδης παρεκάλεσεν τὴν γυναῖκα ἐνδοῦναι τῷ ἀνθρώπῳ, εἴ πως δυνηθῇ ἐκφυγεῖν τοῦ φρουρίου. τούτου δὲ γενομένου, ἀκωλύ- B
τως ἡ γυνὴ πρὸς Καβάδην εἰσιοῦσα τοῦτον ἐθεράπευεν. φίλος δὲ Καβάδου τις, ὀνόματι Σεώσης, διὰ τῆς γυναικὸς τῷ Καβάδῃ ἐδήλου, ὅτι ἵππους τε καὶ ἄνδρας ἐμπαρασκεύους ἔχει ἔν τινι χωρίῳ. ὁ δὲ Καβάδης, νυκτὸς ἐπιλαβούσης, πείθει τὴν γυναῖκα ἐσθῆτα μὲν αὐτῷ τὴν οἰκείαν δοῦναι, τὰ δὲ αὐτοῦ ἱμάτια φορέσαι αὐτήν, καὶ ἐπὶ τῆς εἱρκτῆς καθέζεσθαι. οὕτω μὲν οὖν Καβάδης ἐξελθὼν ἐκ τοῦ δεσμωτηρίου, τῷ ἵππῳ ἐπιβὰς σὺν τῷ Σεώσῃ, εἰς Οὔννους τοὺς Νεφθαλίτας ἀφίκετο. καὶ τούτῳ τὴν θυγατέρα ὁ βασιλεὺς γυναῖκα δίδωσιν. οὕτω τε στράτευμα πολὺ τούτῳ δοὺς ἐπὶ Πέρσας συνέπεμψεν. οἱ δὲ φύλακες κατιδόντες τὴν γυναῖκα ὑπετόπαζον Καβάδην εἰς C
τὸ δεσμωτήριον εἶναι τοῖς ἱματίοις Καβάδου ἠμφιεσμένην ἐπὶ ἡμέρας ἱκανάς. ὁ δὲ Καβάδης σὺν τῷ Οὐννικῷ στρατῷ εἰς Περσίδα εἰσβαλών, πόνῳ οὐδενὶ τὴν τε βασιλείαν ἐκράτησεν καὶ Βλάσιον, τὸν Οὐαλᾶν, ἐξετύφλωσεν καὶ ἐν φυλακῇ εἶχεν, τὴν δὲ βασιλείαν ἀσφαλῶς διεφύλαξεν. ἦν γὰρ ἀγχί-

5. ἐθεράπευεν A, ἐθεράπευσεν vulg. 6. Σεώσης A, Σεούσης a, Σεόσης f, Σεῶσις vulg. 11. ἐκ add. ex A. 16. verba: τοῖς ἱματ. Καβ. ἠμφιεσμένην transponenda esse videntur ante ὑπετόπαζον. 19. Βλάσιον A a e, Βλάσην vulg. ἐν φυλακῇ A, ἐν τῇ φυλ. vulg.

non extabat. caeterum Cabadis uxore marito custodia detento debita officia praestante, custodiae praepositus, mulieris, cuius forma plane fuit elegans, amore coepit ardere. Cabades, si modo posset e vinculis evadere, uxorem, ut se dederet, rogavit. quo facto liberius illa Cabadem frequentans, impensiore cultu famulabatur. interea Seoses Cabadis amicus per uxorem significat, se in quodam agro equos et homines tenere paratos. quapropter ingruente nocte Cabades coniugi suadet, vestem propriam illa sibi daret, et quam habebat ipse, coniux assumeret et in carcere consideret. ita Cabades vinculis ereptus, equo conscenso, cum Seose ad Unnos, Nephthalitas vocatos, se recipit, quorum rex, filia Cabadi in uxorem tradita, cum copioso exercitu in Persas immittit. carceris autem custodes uxorem Cabadis vestibus indutam ipsum Cabadem esse in carcere per plures dies arbitrabantur. sed Cabades cum Unnicis copiis in Persiam irrumpens, nullo labore regnum obtinuit, Blasiumque, Valam dictum, oculis privavit et habuit sub custodia: regnum vero in tuto posuit: aeque

νους τε καὶ δραστήριος. ἐκράτησε δὲ μετὰ ταῦτα ἔτη ἕνδεκα.

A.M. 5969 D Περσῶν βασιλέως Οὐαλᾶ, Ἱεροσολύμων ἐπισκόπου Ἀναστασίου ἔτος α'.

Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Τροκοῦνδος οἱ πολιορκοῦντες Ζήνωνα, ὡς Βασιλίσκου τὰ ὑποσχεθέντα αὐτοῖς μὴ πληροῦντος, καὶ τῆς συγκλήτου βουλῆς βαρυνομένης τῇ ἀρχῇ Βασιλίσκου διὰ μοχθηρίαν τρόπων καὶ ἄνοιαν, γράφουσιν πρὸς αὐτούς, φιλιωθέντες τῷ Ζήνωνι, ὅτε Ἴλλος καὶ Τροκοῦνδος, καὶ λαβόντες αὐτὸν ἐπὶ τὴν βασιλεύουσαν ἐπανήρχοντο. τοῦτο δὲ μαθὼν ὁ Βασιλίσκος Ἁρμάτιον τὸν ἴδιον ἀνεψιὸν στρατηγὸν ὄντα τῆς Θράκης μετὰ πάσης τῆς στρατιᾶς αὐτοῦ καὶ τοῦ λαοῦ Κωνσταντινουπόλεως ἀπέστειλε κατὰ Ζήνωνος, ὁρκίσας P. 107 αὐτὸν εἰς τὸ ἅγιον βάπτισμα, μὴ προδοῦναι. ὁ δὲ Ἁρμάτιος συναντήσας τῷ Ζήνωνι κατὰ Νίκαιαν τῆς Βιθυνίας οὕτως αὐτὸν κατέπληξεν, ὡς μικροῦ δεῖν ἀναστρέψαι μετὰ τῆς Ἰσαυρικῆς βοηθείας πάσης. ἀλλὰ δώροις τοῖς παρὰ Ζήνωνος καὶ οὗτος ὡς ἐπὶ πολὺ τυφλωθεὶς καὶ ὑποσχέσει διαδόχου στρατηλατίας, καὶ τὸν υἱὸν αὐτοῦ Βασιλίσκον καίσαρα ποιῆσαι καὶ συγκάθεδρον αὐτοῦ σὺν αὐτῷ, κατὰ Βασιλίσκου ἐπανῆλ-

5. Τροκοῦνδος A a, Τρικοῦνδος f, Προκοῦνδος vulg. h. l. et infra. 8. γράφουσιν A e, καὶ γραφούσης vulg. 9. ὅ, τε Ἴλλος] ὅτε Ἴλλος A, ὅτε καὶ Ἴλλος vulg. 18. ὡς om. A.

solers enim ac strenuus fuit. regnavit autem post haec annis undecim.

A.C. 469 Persarum regis Valae, Hierosolymorum episcopi Anastasii annus primus.

Hoc anno Illo et Trocundo Zenonem obsidione bellica prementibus, Basilisco vero, quae pollicita illis fuerat, nullatenus adimplente, ac insuper senatu ob morum improbitatem et vesaniam Basiliscum non amplius ferente, litteris ad eum missis, ipsi Illus et Trocundus Zenoni reconciliati, eodem secum adducto, in regiam urbem regressi sunt. Basiliscus, his rescitis, Armatium proprium nepotem Thraciae ducem cum sibi commissis copiis et Cpoleos plebe adversus Zenonem misit eumque iuramento in sanctum baptisma dato, ne se proderet, obtestatus est. Armatius ad Nicaeam Bithyniae occurrens Zenoni tantum incussit terrorem, ut quin cum auxilaria Isaurorum manu retrocederet, parum abfuerit: verum amplorum donorum pollicitationibus etiam ipse obcaecatus, tum quod magistri militum officio succederet, inescatus spe, filiumque Basiliscum nomine creandum caesarem Zenonisque ipsius videre assessorem, Basilisco factus hostis iter convertit. Zeno deinde cum Areadna ad urbium reginam accedens exceptus

θεν. τοῦ δὲ Ζήνωνος σὺν Ἀρεάδνῃ τὴν βασιλεύουσαν καταλαβόντος, ἐδέχθη ὑπὸ τοῦ λαοῦ καὶ τῆς συγκλήτου. ὁ δὲ Βασιλίσκος ἐλθὼν ἐν τῇ ἐκκλησίᾳ καὶ τὸν βασιλικὸν ἀποθέμενος στέφανον ἐν τῇ θείᾳ τραπέζῃ, ἐν τῷ βαπτιστηρίῳ προσ- B
5 έφυγεν σὺν Ζηνωδίᾳ τῇ κακοδόξῳ αὐτοῦ γυναικί. ὁ δὲ Ζήνων καταλαβὼν εἰς τὴν ἐκκλησίαν παρεγένετο, καὶ οὕτως εἰσῆλθεν εἰς τὰ βασίλεια. ἀποστείλας δὲ εἰς τὴν ἐκκλησίαν ἔλαβε τὸν Βασιλίσκον, δοὺς αὐτῷ λόγον, μὴ ἀποκεφαλίζειν V. 86
αὐτόν τε καὶ τὰ τέκνα αὐτοῦ· ὃν ἀποστείλας εἰς Κουκουσὸν
10 τῆς Καππαδοκίας ἀποκλεισθῆναι προσέταξεν εἰς ἕνα πύργον, σὺν γυναιξὶ καὶ τέκνοις, καὶ τῷ λιμῷ διαφθαρῆναι· τινὲς δέ φασιν, ὅτι ἀπαγόμενος ἀποσφάττεται. εὐθέως δὲ ἱππικὸν ποιήσας Βασιλίσκον τὸν Ἁρματίου υἱὸν προβάλλεται ὁ Ζήνων C
καίσαρα, καὶ κατὰ τὰς ὑποσχέσεις συνεκάθισεν τῷ βασιλεῖ
15 ἐν τῷ σένσῳ, καὶ ἐτίμα τοὺς ἡνιόχους σὺν τῷ βασιλεῖ. ὁ δὲ Ζήνων ἀναλογισάμενος, ὅτι ὡς οὐκ ἐφύλαξεν Ἁρμάτιος πιστὰ τῷ βασιλεῖ ὁμόσας, οὐδὲ ἐμοὶ φυλάξει· ἀλλ' ἐὰν ἀνδρωθῇ ὁ καῖσαρ, ὁ υἱὸς αὐτοῦ, ἐπαναστήσεταί μοι· ἐγὼ δὲ ἃ συνεθέμην αὐτῷ ἐπλήρωσα καὶ στρατηλάτην αὐτὸν ἐποίησα, καὶ
20 τὸν υἱὸν αὐτοῦ καίσαρα· ἐκέλευσε σφαγῆναι αὐτὸν ὡς ἐπίορκον, καὶ ἐσφάγη εἰς τὸν κοχλίαν τοῦ παλατίου, ὡς ἀνήρχετο

9. ἀποστ. εἰς Κουκ. τ. Καππ. om. A. 14. τῷ βασ. A, αὐτῷ βασ. vulg. 15. σέντζῳ A, σένζῳ vulg. 17. ἀνδρωθῇ A, ἀνδρειωθῇ vulg. 18. ὁ υἱὸς A, ὁ καὶ υἱὸς vulg. 21. εἰς τὸν κ. A alii, εἰς τὴν κ. vulg.

est a populo et a senatu. Basiliscus in ecclesiam fugiens, deposita sacra in mensa corona, cum Zenodia coniuge pravarum opinionum sectatrice in baptisterium se recipit. ita Zeno regiam recuperavit. missis autem in ecclesiam, qui Basiliscum detinerent, nec ipsum nec eius liberos capite plectendos fidem dedit: Cucusum tamen Cappadociae missum cum uxore et liberis sub custodia servari et fame confici iussit: alii dum abduceretur iugulatum narrant. confestim vero circensibus ludis celebratis, Armatium Basilisci filium Zeno caesarem declarat: hic in regia sella iuxta patri facta pollicita ad imperatoris latus adsedit, imo cum imperatore praemia distribuit aurigantibus. porro Zeno haec secum animo volutans: ut Armatius dato iusiurando fidem oppignoratam imperatori nullatenus liberavit, ita neque mihi servaturus est in posterum: imo si vires cum aetate sumpserit filius eius caesar iam renunciatus, dubio procul in me insurget: quod promiseram implevi; patrem militiae magistrum, caesarem filium instituí. his perpensis ipsum, ut periurum, in palatii cochlea, qua ten-

εἰς το ἱπποδρόμιον· τὸν δὲ υἱὸν αὐτοῦ τὸν καίσαρα ἐχειροτόνησεν ἀναγνώστην. Ἀριάδνη γὰρ αὐτὸν ὡς ἐξάδελφον
D διέσωσεν, ὃς μετὰ ταῦτα Κυζίκου ἐπισκόπησεν ἄριστα. ὁ δὲ Ζήνων Πέτρον Γναφέα ἀπεστράφη διὰ τὸ συντρέχειν αὐτὸν τῷ Βασιλίσκῳ. ψήφῳ δὲ τῆς ἀνατολικῆς συνόδου καθῃρέθη, καὶ ἀντ' αὐτοῦ Ἰωάννης ὁ μετὰ τρίμηνον ἐκβληθείς, καὶ μετ' αὐτὸν Στέφανος ἀνὴρ εὐλαβὴς προεβλήθη Ἀντιοχείας ἐπίσκοπος. ὁ δὲ Πέτρος εἰς Πιτύους ἐξοριζόμενος, ἀπατήσας τοὺς ἀπάγοντας, προσέφυγεν εἰς τὸν ἅγιον Θεόδωρον Εὐχαΐτων. Τιμόθεος δὲ ὁ Αἴλουρος ἐν τούτοις θνήσκει, ἀντ' αὐτοῦ δὲ Πέ-
P. 108 τρος ὁ Μογγὸς εἰσάγεται, ἀνὴρ κακοῦργος καὶ τῆς ἀληθείας ἐχθρός, προκαθῃρημένος ἤδη. χειροτονεῖται δὲ ὑπὸ ἑνὸς ἐπισκόπου καὶ αὐτοῦ καθῃρημένου. τοῦτον κατὰ θεῖον ζῆλον ἐπελθόντες οἱ μοναχοὶ τριάκοντα ἓξ μόνας ἡμέρας λῃστρικῶς κρατήσαντα τῆς ἐπισκοπῆς ἀπελαύνουσι. καὶ Τιμόθεον πάλιν τὸν Σαλοφακίαλον ἀποκαθιστῶσιν ἀξίως τῷ θρόνῳ.

A.M. 5970 Ἀλεξανδρείας ἐπισκόπου Τιμοθέου τοῦ Σαλοφακιόλου, Ἀντιοχείας Στεφάνου ἔτος α'.

B Τούτῳ τῷ ἔτει ἐγένετο σεισμὸς φοβερὸς ἐν Κωνσταντι-

4. αὐτὸν A, αὐτῷ vulg. 6. post Ἰωάννης in vulg. sine codd. additum legitur: ἐχειροτονήθη, quod melius abest. 8. Πιτυοῦς A. 13. τοῦτον κατὰ θεῖον ζῆλον A, τούτῳ κατὰ θεῖον ζῆλον vulg. 15. κρατήσαντα] κρατήσαντος A e f, κρατήσαντι vulg.

ditur in circum, obtruncari, caesarem autem eius filium lectorem praecepit ordinari: Ariadne quippe ipsum ut consobrinum voluit servatum, et postmodum Cyzici episcopatum optime gessit. caeterum Petrum Fullonem, ut qui Basilisco faverat, Zeno habuit exosum. orientalis itaque synodi decreto dignitate motus est, et in eius locum Ioannes ordinatus. hic quoque post menses tres eiicitur, ac demum successor eius Stephanus vir pietate spectabilis Antiochiae promovetur episcopus. Petrus autem Pityos relegatus, custodes eludit et ad sanctum Theodorum Euchaitarum tutelarem profugit. in his Timotheus Aelurus moritur, et in eius locum Petrus Mongus inducitur, vir nequam et veritatis adversarius, olim depositionis poena mulctatus. hic ab uno episcopo eoque pariter deposito consecratur. hunc divino zelo moti monachi quidam adorti sex tantum et triginta dies pontificatus honorem assequutum deturbant: et iterato Timotheum Salophaciolum virum throno dignum restituunt.

A. C. 470 Alexandriae episcopi Timothei Salophacioli, Antiochiae episcopi Stephani annus primus.

Hoc anno horrendus terrae motus Cpoli contigit mensis Septembris die quinto ac vigesimo, indictione prima, quo plures ecclesiae,

νουπόλει μηνὶ Σεπτεμβρίῳ κέ, Ἰνδικτιῶνος πρώτης, καὶ ἔπεσον ἐκκλησίαι πολλαί, οἰκίαι τε καὶ ἔμβολοι ἕως ἐδάφους. κατεχώσθη δὲ πλήθη ἀναρίθμητα ἀνθρώπων· ἔπεσε δὲ καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ φόρου καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου ἡ εἰς τὸν κίονα τοῦ Ταύρου, καὶ τὰ ἔσω τείχη ἐπὶ διάστημα ἱκανόν· καὶ ἐκράτησεν ὁ σεισμὸς χρόνον πολύν, ὥστε τὴν πόλιν * ἐποζέσαι. Στέφανος δὲ ψήφῳ κοινῇ προβληθεὶς εἰς Ἀντιόχειαν ὑπὸ τῶν Πέτρου τοῦ Γναφέως ὁμοφρόνων, ὡς Νεστοριανὸς πρὸς Ζήνωνα κατηγορήθη. ἀλλὰ τοῦτον ἀνατολικὴ σύνοδος εἰς Λαοδίκειαν συνελθοῦσα κελεύσει τοῦ βασιλέως ὡς ἀνεύθυνον τῷ θρόνῳ ἀποκατέστησεν. C

Τῷ δ' αὐτῷ ἔτει Θευδέριχος ὁ Τριαρίου, ὁ καὶ Στράβος, ἀδελφόπαις τῆς γυναικὸς Ἄσπαρος τοῦ ὑπὸ Λέοντος ἀναιρεθέντος, ἐπανέστη τῷ Ζήνωνι μετὰ πλήθους βαρβάρων, οἰκειωθεὶς τῷ Βασιλίσκῳ καὶ στρατηγὸς ὑπ' αὐτοῦ γεγονώς. μετὰ δὲ τὴν ἐπάνοδον Ζήνωνος εἰς τὴν Θρᾴκην ἐξελθών, ἐκεῖθέν τε ἐπανέστη καὶ τὰ περὶ τὸ Βυζάντιον πάντα μέχρι τοῦ στομίου τοῦ Πόντου λῃϊσάμενος. εἶτα καὶ μέλλων ὑπὸ τῶν οἰκείων προδίδοσθαι, αἰσθόμενος τῆς ἐνέδρας καὶ ἐπανελθών, D V. 87

3. πλήθη ἀναρίθμητα A, πλῆθος ἀναρίθμητον vulg. 5. ἡ εἰς τὸν A, εἰς τὸν vulg. 7. ἐποζέσαι haud dubie corruptum et perperam in interpretatione latina redditum: fortasse leg. ἐπιζέσαι s. ὑποζέσαι: ut urbs perpetuo terrore quasi ferveret. 10. ἐλθοῦσα A f. 13. Λέοντος A, Λέοντα vulg. 15. ἐν τῷ βασιλικῷ A. 16. ἐκεῖθεν ἀνανέστη A.

domus et porticus ad solum usque funditus eversae, ruinis innumera hominum multitudo oppressa. globus quoque e manu statuae, quae est in foro, statua pariter magni Theodosii in Tauri columna posita et interiora urbis moenia ad amplum spatium conciderunt. invaluit terrae motus in adeo longum tempus, ut foetor ex eo erumpens urbem invaserit. Stephanus autem communi Petri Fullonis sequacium suffragio Antiochiae designatus episcopus, apud Zenonem quasi Nestorianus accusatur: eum tamen velut ab imposito crimine alienum orientalis synodus imperatoris mandato Laodiceae congregata suae sedi restituit.

Eodem anno Theuderichus Triarii filius, qui et Strabus, Asparis, qui a Leone fuerat occisus, uxoris ex fratre nepos, collecta barbarorum multitudine, adversus Zenonem arma movit: hic Basilisco familiaris et affectus, militiae dux ab eo declaratus, post Zenonis reditum Thraciam ingressus, inde impressionem fecit in Byzantio circumiacentes agros, et ad Ponti fauces obvia quaeque davastavit. at cum de eo prodendo familiares eius meditarentur, ipse insidias subodoratus

ἀναιρεῖ τοὺς τοῦτο βουλευομένους. τελευτᾷ δὲ αὐτὸς δόρατι περιπεσὼν πρὸ τῆς αὐτοῦ σκηνῆς ἑστῶτι αἰφνιδίως ἐν τῷ ἐπιβαίνειν τὸν ἵππον.

A.M. 5971 P. 109 Τούτῳ τῷ ἔτει Μαρκιανὸς ὁ παῖς Ἀνθεμίου τοῦ κατὰ τὴν Ῥώμην βασιλεύσαντος, ἀνὴρ δὲ Λεοντίας, Βερίνης μὲν θυγατρός, ἀδελφῆς δὲ Ἀρεάδνης τῆς βασιλίδος, ἐπανίσταται κατὰ τὸ Βυζάντιον Ζήνωνι τῷ βασιλεῖ, ὡς μετὰ τὴν βασιλείαν Λέοντος γεννηθείσης Λεοντίας τῆς αὐτοῦ γαμετῆς. ἡ γὰρ Ἀρεάδνη πρὸ τοῦ βασιλεῦσαι αὐτὸν ἐτέχθη. πολέμου δὲ κραταιοῦ μεταξὺ Ζήνωνος καὶ Μαρκιανοῦ κροτηθέντος, νικᾷ Μαρκιανὸς κατὰ κράτος πάντας συνελάσας τοὺς περὶ Ζήνωνα εἰς φρουρὰν εἰς τὰ βασίλεια, συμμαχούντων αὐτῷ Ῥωμύλλου καὶ Προκοπίου τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ μικροῦ δεῖν τὸ βασίλειον κατέσχεν. ὀλιγωρήσας δὲ τῶν πραχθέντων καὶ εἰς δεῖπνα καὶ
B ὕπνον τραπείς, πολλοὺς δὲ διὰ τῆς νυκτὸς ἀφαιρεθεὶς τῶν αὐτῷ συμμάχων ὑπὸ Ἴλλου μαγίστρου δώροις αὐτοὺς ὑποπιάσαντος, ἐλαττοῦται τῇ μάχῃ κατὰ τὴν ἐφεξῆς τοσοῦτον, ὡς εἰς τὸ τῶν ἀποστόλων εὐκτήριον καταφυγεῖν καὶ ὑπὸ Ἀκακίου χειροτονηθῆναι πρεσβύτερον κατὰ κέλευσιν Ζήνωνος, καὶ ἐξορίζεται εἰς τὸ Παπουρίου καστέλλιν εἰς Καππαδοκίαν. Προ-

2. ἐπιβαίνειν A, περιβαίνειν vulg. 5. δὲ Λεοντίας A, δὲ τῆς Λ. vulg. 13. τὸ βασίλειον A, τοῦ βασιλείου vulg. 15. πολλοὺς δὲ A, πολλούς τε vulg. 16. ὑποπιάσαντος A, ὑποπείσαντος vulg. 17. τῇ μάχῃ A, τὴν μάχην vulg. 18. τὸ add. ex A. 20. Παπυρίου καστέλλιον A h. l. et infra.

et retro iter agens, insidiarum auctores sustulit e medio. ipse vero, dum equum conscenderet, in hastam ante eius tentorium fixam ex improviso incidens extinctus est.

A. C. 471 Hoc anno Marcianus Anthemii, qui Romae imperaverat, filius idemque Leontiae, Verinae quidem filiae, imperatricis vero Areadnae sororis maritus, ad Cpolim adversus Zenonem imperatorem bellum movet: eo quod Leontia eius uxor ex Leone iam imperante, Areadna vero, priusquam imperium fuisset assequutus, nata fuerat. igitur acri praelio inter Zenonem et Marcianum commisso, Marcianus, Romulo et Procopio eius fratribus una suppetias ferentibus, viribus superior evasit, omnesque Zenonis copias in palatium tanquam in praesidium se recipere adegit: tantumque abfuit, ut palatio simul et imperio potiretur. verum de rebus gerendis parum sollicitus, ad coenae epulas somnumque capiendum versus, et Illo magistro donis copias eius subducente, belli sociis spoliatus, sequenti luce inferior adeo recessit e pugna, ut ad apostolorum aedem et tutelam confugeret, et ad Zenonis iussum ab Acacio presbyter ordinatus, ad Papurium Cappa-

κόπιος δὲ καὶ Ῥωμύλλος οἱ ἀδελφοὶ αὐτοῦ τῇ νυκτὶ λουόμενοι εἰς τὸ Ζεύξιππον ἐχειρώθησαν ὑπὸ Ἴλλου, οἳ καὶ διαφυγόντες τὴν Ῥώμην κατέλαβον.

Τούτῳ τῷ ἔτει ἐβουλεύσατο Ἴλλος ὁ μάγιστρος τῷ βα- A.M. 5972
σιλεῖ Ζήνωνι, ὅπως Βερίναν τὴν πενθερὰν αὐτοῦ ἐκβάλῃ τῆς C
πόλεως. καὶ δόλῳ τινὶ πέμψας αὐτὴν εἰς Χαλκηδόνα, μετ' ὀλίγον εἰς τὸ Παπουρίου καστέλλιν ταύτην ἀπέστειλεν συνδιάγειν Μαρκιανῷ καὶ Λεοντίᾳ τῇ ἰδίᾳ θυγατρί. ἡ δὲ ἔγραψε πρὸς τὴν ἰδίαν θυγατέρα Ἀρεάδνην παρακαλοῦσα ἀνακληθῆναι τῆς ἐξορίας· καὶ παρεκάλει ἡ βασίλισσα τὸν Ζήνωνα. ὁ δὲ ἔφη αὐτῇ· αἴτησαι τὸν πατρίκιον Ἴλλον περὶ αὐτῆς. ἡ δὲ μεταστειλαμένη, ᾔτησεν αὐτὸν μετὰ δακρύων. ὁ δὲ οὐκ ἐπείσθη εἰπών· ζητεῖς ἵνα ποιήσῃς ἄλλον βασιλέα κατὰ τοῦ σοῦ ἀνδρός. τότε θυμωθεῖσα Ἀρεάδνη εἶπεν τῷ βασιλεῖ· ὅτι ἢ Ἴλλος ἔχει εἶναι εἰς τὸ παλάτιον, ἢ ἐγώ; καὶ εἶπεν D
αὐτῇ ὁ βασιλεύς· ὅτι ἐγὼ σὲ θέλω. εἴ τι δύνῃ εἰς τὸν Ἴλλον, ποίησον. ἡ δὲ κατεσκεύασεν φονευθῆναι αὐτόν. καὶ κε- V. 88
λεύει Οὐρβικίῳ κουβικουλαρίῳ προτρέψασθαί τινα τοῦ ἀνελεῖν αὐτόν. καὶ ἀνερχομένου αὐτοῦ εἰς τὸν κοχλίαν τοῦ ἱπικοῦ, σχολάριος ὀνόματι Σπανίκιος ἐπιτραπεὶς κατὰ τῆς κεφαλῆς αὐτοῦ ἤγαγε τὸ ξίφος. προσεσχηκὼς δὲ τούτῳ ὁ

5. ἐκβάλῃ A, ἐκβάλλῃ vulg. 9. ἰδίαν A, οἰκείαν vulg. 13. καὶ ἄλλον A. 16. εἴ τι A, εἴ δέ τι vulg. εἰς τὸν Ἴλλον A, εἰς αὐτὸν vulg. 17. εἰς αὐτὸν A, εἰς τὸν Ἴλλον vulg. 21. προεσχηκὼς A.

dociae castellum exul ageretur. Procopius autem et Romulus eius fratres noctu, dum lavarentur, ab Illo comprehensi et ex eius potestate fuga dilapsi, Romam se contulerunt.

Hoc anno Zenoni imperatori, ut socrum Verinam urbe eii- A. C. 472
ceret, Illus magister consilium dedit: eamque dolosa quadam specie Chalcedonem missam, non diu post in Papurium castellum Marciano et Leontiae convicturam amandavit. illa vero litteris ab exilio revocari Areadnam propriam filiam supplex rogavit: tum imperatrix interpellabat Zenonem. ille sic eam affatur: Illum patricium pro matre deprecare. illa accersitum ad se lacrymis emollire tentabat. inflexus ille respondit: alium a tuo coniuge imperatorem fieri quaeris. tunc Areadna furore succensa dixit imperatori: aut Illus in palatio morari debet, aut ego? ad haec imperator: maneas mecum, iubeo: si quid vero potes in illum, exequere. tum Illo parans insidias, ut quempiam ad eius caedem impelleret, Urbicium cubicularium hortatur. eo vero circi cochleam ascendente, scholarius quidam nomine Spanicius, ad facinus perpetrandum incitatus, in eius caput gladium vibrat. hunc attente conspicatus magistri spatharius brachio gladium

σπαθάριος τοῦ μαγίστρου ἐδέξατο αὐτὸ εἰς τὸν βραχίονα αὐτοῦ. τὸ δὲ ἄκρον τοῦ ξίφους ἀπέτεμεν τὸ ὠτίον τοῦ Ἴλλου τὸ δεξιόν. τοῦτον δὲ Ζήνων ἀναιρεῖ, πείθων τὸν μάγι-
P. 110 στρον Ἴλλον μὴ συνεγνωκέναι τὸ γεγονός, τῇ δὲ ἀληθείᾳ ὅτι μὴ περιγέγονε τοῦ σκοποῦ. ἰαθεὶς δὲ τὴν πληγὴν ἐφόρει καμηλαύκιν. καὶ ᾐτήσατο τὸν βασιλέα ἐπὶ τὴν ἀνατολὴν ἀπελθεῖν, διὰ τὸ τοὺς ἀέρας ἀλλάξαι, ὅτι ἡσθένει ἐκ τῆς πληγῆς. ὁ δὲ βασιλεὺς θέλων αὐτὸν πληροφορῆσαι, ἐποίησεν αὐτὸν στρατηγὸν τῆς ἑῴας ἁπάσης, δοὺς αὐτῷ ἐξουσίαν πᾶσαν, ὥστε καὶ δοῦκας ποιεῖν. ὁ δὲ παραλαβὼν μεθ' ἑαυτοῦ τὸν πατρίκιον Λεόντιον Σύρον τῷ γένει, ἄριστον δὲ κατὰ παιδείαν καὶ πολέμων ἐμπειρίαν, ἡγούμενόν τε τῆς ἐν Θρᾴκῃ στρατιᾶς, καὶ σὺν αὐτῷ Μάρσον καὶ Παμπρέπιον τὸν συγκλητικόν, τὸν
B ἐπὶ μαγγανείᾳ διαβαλλόμενον, καὶ πλείστην ἁπλῶς περιβαλλόμενος δύναμιν, ἐν Ἀντιοχείᾳ ἐλθὼν τῆς Συρίας, σαφῶς ἔδειξε τὴν τυραννίδα.

A.M. 5973 Περσῶν βασιλέως Καβάδους ἔτος α'.

Ἀντιοχείας ἐπίσκοπος Στέφανος ἕτερος ὁ ῥιφεὶς εἰς τὸν Ὀρόντην ποταμόν.

C Τούτῳ τῷ ἔτει Στεφάνου τοῦ ἐπισκόπου Ἀντιοχείας κοιμηθέντος, Στέφανον ἕτερον ἀντ' αὐτοῦ ἐχειροτόνησαν κελεύσει

1. εἰς τὸν A, εἰς τὸ vulg. 5. καμηλαύκιον A e. 7. τοὺς ἀέρας A, τοῦ ἀέρος vulg. 9. ἁπάσης A, πάσης vulg. 10. Λούκας Par. τὸν add. ex A. 13. Παμπρέπιον A f, Παμπρέμπιον vulg.

excepit; eius tamen acies extrema dextram Illi auriculam abscidit. porro Zeno magistro Illo facti huius nullatenus se conscium suasurus, iussit scholarium occidi: verior tamen causa fuit, quod proposito superior non evasisset. posthac a vulnere salvus pileolum ad cutem semper gestabat. petiitque ab imperatore, ut sibi liceret in orientem secedere, ut aerem mutaret, cum nimirum ex vulnere reliqua fuisset aliqua infirmitas. imperator placatum eum omnino volens totius orientis praefectum eum creat et instituendorum etiam ducum potestatem amplissimam impertitur. Illus Leontio patricio, genere Syro, viro alioqui litterarum disciplinis et bellandi arte aeque praestantissimo, exercitus Thraciae praefecto in comitatum ascito, una cum Marso atque Pamprepio senatore, qui magiae delatus fuerat, magnisque viribus undequaque collectis, Antiochiam Syriae urbem profectus, tyrannidem palam affectavit.

A.C. 473 Persarum regis Cabadis annus primus.

Antiochiae episcopus alter Stephanus in Orontem fluvium proiectus.

Hoc anno Stephano Antiochiae episcopo fatis functo, Stephanum

τοῦ βασιλέως Ζήνωνος, ὃν οἱ ἐχθροὶ τῆς πίστεως τῇ πρὸς τὸν Γναφέα εὐνοίᾳ ἐν τῇ κολυμβήθρᾳ τοῦ ἁγίου μάρτυρος Βαρλαὰμ καλάμοις ὀξυνθεῖσιν ἀποσφάξαντες εἰς τὸν Ὀρόντην ποταμὸν ἔρριψαν, τῷ θυμῷ τὴν ἄνοιαν καθοπλίσαντες. Ζήνων δὲ διὰ τὰ τολμηθέντα εἰς Στέφανον ἐκέλευσεν Ἀκάκιον τὸν Κωνσταντινουπόλεως χειροτονῆσαι ἐπίσκοπον Ἀντιοχείας· καὶ ἐχειροτόνησε Καλανδίωνα. ἦσαν δὲ καὶ οἱ Ἀντιοχεῖς χειροτονήσαντες κατὰ ἄγνοιαν Ἰωάννην τὸν λεγόμενον Κωδωνάτον, ὃν ὁ Καλανδίων εἰς Τύρον πρωτόθρονον Ἀντιοχείας μετενεθρόνιασεν. D

Τῷ δ' αὐτῷ ἔτει καὶ ἐν Ἀλεξανδρείᾳ Τιμόθεος ὁ Σαλοφακίαλος ἐτελεύτησεν, καὶ ἐχειροτονήθη Ἰωάννης ὁ Ταβεννισιώτης, ὅσιος ἀνὴρ καὶ τῶν ὀρθῶν δογμάτων ὑπέρμαχος, πρεσβύτερος ὢν καὶ οἰκονόμος τῆς κατὰ Ἀλεξάνδρειαν ἐκκλησίας. ὁ δὲ πατρίκιος Ἶλλος σὺν Λεοντίῳ καὶ τοῖς λοιποῖς παραγίνεται εἰς τὸ Παπουρίου καστέλλιν, καὶ ἐξαγαγὼν Βερίναν αὐγούσταν εἰς Ταρσὸν τῆς Κιλικίας, ἐποίησεν αὐτὴν στέψαι ἔξω τῆς πόλεως εἰς τὸν ἅγιον Πέτρον βασιλέα Λεόντιον τὸν πατρίκιον. καὶ ἔγραψεν ἡ δέσποινα Βερίνα σάκραν τοῖς P. 111
Ἀντιοχεῦσι Σύροις εἰς τὸ δέξασθαι τὸν Λεόντιον βασιλέα.

3. εἰς τὸν Ὀρόντην A, εἰς Ὀρέντην vulg. 5. Ἀκάκιον A, τὸν Ἀκάκιον vulg. 6. Ἀντιοχείας A, Ἀντιοχείοις vulg. 7. Κλαυδίωνα A. καὶ ante οἱ Ἀ. add. ex A. 8. κατὰ A, διὰ vulg. 12. Ἰωάννης A, ὁ Ἰω. vulg. 13. ὅσιος ἀνὴρ A, ἀνὴρ σοφὸς vulg. 16. αὐγούσταν om. A e f.

alterum Zenonis imperatoris iussu in eius locum ordinaverunt: quem fidei perduelles, pro sua in Petrum Fullonem propensione, in amentiae subsidium furorem armantes, in sancti martyris Barlaam baptisterio acutis calamis perfossum et necatum in Orontem fluvium proiecerunt. Zeno porro facinus attentatum ulturus Acacio Cpoleos praesuli, ut Antiochiae crearet episcopum, mandavit: qui consecravit Calandionem. Antiochenses ordinationis factae nescii Ioannem nomine Codonatum sibi praefecerunt episcopum, quem Calandion postmodum in Tyri sedem, quae post Antiochiam prima est, transtulit.

Hoc pariter anno Timotheus Salophaciolus obiit Alexandriae, in cuius locum Ioannes Tabennisiotes, vir litterarum gnarus et rectorum dogmatum strenuus propugnator, presbyter et oeconomus Alexandrinorum ecclesiae fuit promotus. Illus autem patricius Leontio reliquisque comitibus ad Papurii castellum profectus, Verinam augustam ex custodia, Tarsum Ciliciae eductam, extra urbis muros ad sanctum Petrum, ut Leontium patricium imperatorem coronaret, effecit. scripsitque domina Verina sacram ad Antiochenos Syros, ut Leontium

καὶ πρὸς πάντας δὲ τοὺς τῆς ἀνατολῆς ἄρχοντας καὶ τῆς Αἰγύπτου καὶ τῆς Λιβύης ἐποίησεν σάκρας, ὥστε δέξασθαι Λεόντιον βασιλέα καὶ μὴ ἀντιστῆναι.

A.M. 5974 Ἀλεξανδρείας ἐπισκόπου Ἰωάννου τοῦ Ταβεννισιώτου,
B Ἀντιοχείας ἐπισκόπου Καλανδίωνος ἔτος α'. 5

V. 89 Τούτῳ τῷ ἔτει καταλαβουσῶν τῶν σάκρων τῆς δεσποίνης Βερίνης καὶ ἀναγνωσθεισῶν, ὧν ἡ περιοχὴ οὕτως· Βερίνα αὐγούστα τοῖς ἡμετέροις ἄρχουσι καὶ φιλοχρίστοις λαοῖς χαίρειν. ἴστε ὅτι τὸ βασίλειον ἡμέτερόν ἐστιν, καὶ ὅτι μετὰ τὴν ἀποβίωσιν τοῦ ἐμοῦ ἀνδρὸς Λέοντος προεχειρησάμεθα 10
βασιλέα Τρασκαλισσαῖον, τὸν μετακληθέντα Ζήνωνα, ὥστε ὑπήκοον ἐπιβελτιωθῆναι. ὁρῶντες δὲ τὴν πολιτείαν κατόπιν φερομένην ἐκ τῆς αὐτοῦ ἀπληστίας, ἀναγκαῖον ἐλογισάμεθα
C βασιλέα ὑμῖν στέψαι χριστιανὸν εὐσεβείᾳ καὶ δικαιοσύνῃ κεκοσμημένον, ἵνα τά τε τῆς πολιτείας περισώσῃ πράγματα, 15
καὶ τὸ πολεμικὸν ἡσύχως ἄξῃ. ἐστέψαμεν δὲ Λεόντιον τὸν εὐσεβέστατον βασιλέα Ῥωμαίων, ὃς πάντας ὑμᾶς προνοίας ἀξιώσει. οἱ δὲ ἀποδεξάμενοι εὐφήμησαν τὸν Λεόντιον βασιλέα.

2. σάκραν a. 6. τῶν σάκρων om. a, καταλαβόντων τῶν σακρῶν vulg. 7. ὧν] ἣν A. 8. τοῖς A, τῆς vulg. 12. δὲ τὴν A, δὲ καὶ τὴν a, δὲ νῦν καὶ τὴν vulg. 16. ἄξῃ A, ἔξῃ vulg. ἔστεψα A.

imperatorem susciperent, ac insuper ad omnes orientis, Aegypti atque Libyae praefectos sacras etiam dedit, ut Leontium imperatorem agnoscerent nec ulla ratione contra obstarent.

A. C. 474 Alexandriae episcopi Ioannis Tabennisiotae, Antiochiae episcopi Calandionis annus primus.

Hoc anno dominae Verinae sacrae delatae sunt et palam lectae: his autem verbis conceptae fuerant. Verina augusta praefectis nostris et Christum amantibus populis salutem. imperium nostrum esse novistis, et post Leonis coniugis decessum Trascalissaeum, qui postmodum Zeno nuncupatus est, imperatorem renunciaveramus, reipublicae in meliorem statum revocandae spem habentes: nunc vero cum eam in deterius inclinare et ob inexplebilem istius cupiditatem cadere cernamus, vobis imperatorem Christianum et pietate aeque ac iustitia ornatum coronare necessum duximus: ut rempublicam salvam praestet bellumque moderate atque prudenter administret. Leontium igitur piissimum Romanorum imperatorem coronavimus, qui vos omnes cura sua atque providentia dignabitur. illi sacris acceptis Leontium imperatorem faustis acclamationibus excepere.

Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Λεόντιος Λογγῖνον ἀδελφὸν Ζήνωνος καὶ τὴν μητέρα αὐτοῦ ἐκ τοῦ καστελλίου ἀπέλυσαν. Βερίνη δὲ ἐκεῖ νοσήσασα ἐτελεύτησεν, καὶ μετὰ χρόνον ἀνεκομίσθη εἰς τὸ Βυζάντιον ὑπὸ Ἀρεάδνης. A.M. 5975 D

Ῥώμης ἐπισκόπου Φήλικος ἔτος α'. A.M. 5976

Τούτῳ τῷ ἔτει εἰσῆλθεν ὁ Λεόντιος ἐν Ἀντιοχείᾳ ὡς βασιλεὺς μηνὶ Ἰουνίῳ κζ, ἰνδικτιῶνος ζ, καὶ προεβάλετο ἔπαρχον πραιτωρίων Λιλιανόν. καὶ ἐξελθὼν ἐπολέμησεν Χαλκίδι πόλει αὐτοῦ. ὁ δὲ Ζήνων Ἰωάννην τὸν Σκύθην ἀπέστειλεν κατὰ Ἴλλου καὶ Λεοντίου μετὰ πλείστης δυνάμεως κατά τε γῆν καὶ θάλασσαν. πολέμου δὲ συρραγέντος σφοδροῦ, Ἴλλος P. 112 τε καὶ Λεόντιος ἡττηθέντες εἰς τὸ Παπούριον καστέλλιν κατέφυγον σὺν Παμπρεπίῳ μαγίστρῳ γόητι λεγομένῳ εἶναι. ὡρτε τὸν Τροκοῦνδον τὸν ἀδελφὸν Ἴλλου ἐπὶ συλλογὴν βαρβάρων ἀπιόντα Ἰωάννης συλλαβὼν ἀπέτεμεν. τούτῳ δὲ Ἴλλος καὶ Λεόντιος ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἀνέμενον, ἀπατώμενοι ὑπὸ Παμπρεπίου μαγίστρου τοῦ γόητος. ὅθεν τὴν τούτου ἀναίρεσιν μαθόντες Παμπρέπιον ὡς ἀπατεῶνα ἀποτεμόντες τοῦ τείχους κατεκρήμνισαν.

3. χρόνον A, χρόνους vulg. 7. κζ add. ex A e f. προεβάλετο A a f, προεβάλλετο vulg. ἔπαρχον A, ὕπαρχον vulg. 12. κατέφυγον A, προσέφυγον vulg. 14. Τροκοῦνδον A, Τροβοῦνδον vulg. 15. τούτῳ A, τοῦτον vulg.

Hoc anno Illus et Leontius Longinum Zenonis fratrem et eius matrem castelli custodia liberarunt. Verina vero ibidem morbo correpta diem obiit: cuius corpus post aliquos annos Byzantium ab Areadna delatum est. A. C. 475

Romae episcopi Felicis annus primus. A. C. 476

Hoc anno Leontius tanquam imperator Antiochiam ingressus est mensis Iunii die vicesima septima, indictione septima: et Lilianum praetoriorum praefectum instituit. ex ea digressus Chalcidi patriae civitati bellum intulit. Zeno vero Ioannem Scytham cum ingentibus copiis terra marique Illum et Leontium oppugnaturum misit. exin gravi certamine commisso, Illus et Leontius cum Pamprepio magistro, qui praestigiator audiebat, in Papurium castellum fugam arripuere. tum etiam Trocundum Illi fratrem barbarorum copias collecturum abeuntem Ioannes apprehendens capite damnavit. Illus et Leontius Pamprepii magistri praestigiatoris dolis seducti ad annum quartum obsidione cincti praestolabantur. comperta tandem eius caede Pamprepium, ceu seductorem in frusta dissectum e muris praecipitem egerunt.

B Τῷ δ' αὐτῷ ἔτει οἱ Πέτρου τοῦ Μογγοῦ σπουδασταὶ διὰ χρημάτων καὶ φενακισμῶν ἔπεισαν Ζήνωνα ἐκβληθῆναι Ἰωάννην ἐπίσκοπον Ἀλεξανδρείας τὸν Ταβεννισιώτην, ὡς παρὰ γνώμην αὐτοῦ χειροτονηθέντα, καὶ Πέτρον τὸν Μογγὸν πάλιν εἰς Ἀλεξάνδρειαν ἀπὸ Εὐχαϊτων ὑποστρέψαι. τότε 5
V. 90 καὶ ἑνωτικὸν ἐποίησε Ζήνων καὶ πανταχοῦ ἐξέπεμψεν, ὑπὸ Ἀκακίου τοῦ Κωνσταντινουπόλεως ὑπαγορευθέν, ὡς φασί τινες. Πέτρῳ δὲ τῷ Μογγῷ πρὸ τῆς εἰς Ἀλεξάνδρειαν ἐπανόδου ἐκέλευσε Ζήνων κοινωνῆσαι Σιμπλικίῳ τῷ Ῥώμης καὶ Ἀκακίῳ. ὥστε καὶ ἔγραψεν Ἀκάκιος τοῖς ἐν Ἀλεξανδρείᾳ 10
C δέξασθαι τὸν Μογγὸν καὶ Ἰωάννην ἀποβαλέσθαι. Ἰωάννης δὲ ἀκούσας τὴν Πέτρου παρουσίαν, τοῦ κλήρου σὺν τῷ λαῷ δεομένων αὐτοῦ μὴ ἐξελθεῖν, ὡς ἑτοίμως ἐχόντων ὑπεραποθνήσκειν αὐτοῦ. ὁ δὲ τὰ μέλλοντα τολμᾶσθαι Πέτρῳ διανοούμενος σοφῶς καὶ ἀταράχως ἐξῆλθεν. 15

A.M. 5977 Ἀλεξανδρείας ἐπισκόπου Πέτρου τοῦ Μογγοῦ ἔτος α'.

Τούτῳ τῷ ἔτει Θευδέριχος, ὁ Οὐαλάμερος, ῥοῦ πολὺς ἐν βαρβάροις τε καὶ Ῥωμαίοις λόγος ὡς ἀνδρείου τε καὶ προμη-
D θοῦς καὶ οὐδὲ λόγων ἀμοίρου· κατὰ γὰρ τὸ Βυζάντιον

1. οἱ Π. τ. Μ. σπουδασταὶ A, τοῦ Π. τ. Μ. οἱ σπ. vulg. 10. ὥστε A, ὅτις vulg. 11. ἀποβαλέσθαι A, ἀποβάλλεσθαι vulg. 13. αὐτοῦ A, αὐτῷ vulg. 14. αὐτοῦ A e, αὐτῷ vulg. 15. διαράχως A, ὀτάραχος vulg. 18. τε post βαρβ. add. ex A. 19. τὸ add. ex A.

Hoc etiam anno partium Petri Mongi studiosi largitionibus atque imposturis Zenoni, ut Ioannem Tabennisiotam episcopum, quasi praeter eius mentem consecratum, expelleret Alexandria, Petrum vero Mongum ab Euchaitarum locis Alexandriam revocaret, suaserunt. tum vero henoticon, pacis nimirum sanctionem, ab Acacio Cpoleos, prout affirmant nonnulli, dictatum, Zeno tulit et per omnes provincias promulgavit. Mongum vero, priusquam rediret Alexandriam, cum Simplicio Romano pontifice et Acacio iussit Zeno communionem habere. hinc, ut Mongum acciperent, eiicerent autem Ioannem, Acacius ad Alexandrinos scripsit. Ioannes, Petri adventu comperto, clero licet et populo pro eo animas ponere paratis ac ne discederet deprecantibus, mala quae Petrus foret commissurus secum reputans, prudenter et citra tumultum urbe dilapsus est.

A. C. 477 Alexandriae episcopi Petri Mongi annus primus.

Hoc anno Theuderichus Valameris filius, cuius nomen, ceu fortis et prudentis et a bonis litteris non alieni, tum apud barbaros, tum apud Romanos celeberrimum (Byzantii enim quandoque fuerat moratus obses, et optimos quosque praeceptores frequentaverat, patre

ὁμηρεύσας παρὰ τοῖς ἀρίστοις τῶν διδασκάλων ἐφοίτησεν, τοῦ πατρὸς αὐτοῦ Οὐαλάμερος μετὰ τοὺς Ἄττιλα παῖδας ἡγησαμένου τῶν Γότθων, ἐπὶ τῆς Λέοντος βασιλείας. τοῦτον οὖν ὁ Ζήνων ἐκ Θράκης μεταπεμψάμενος εἰς Βυζάντιον καὶ ὕπατον ἀναδείξας καὶ Θράκης ἡγούμενον, μετὰ Ἰωάννου τοῦ Σκύθου κατὰ τοῦ Ἶλλου ἐξέπεμψεν· ὃς καὶ μετὰ τὸ ἀποκλεισθῆναι Ἶλλον καὶ Λεόντιον εἰς Παπουρίου καστέλλιν, καταλιπὼν Ἰωάννην πολιορκοῦντα αὐτούς, αὐτὸς πρὸς Ζήνωνα ἦλθεν. καὶ ἐξελθὼν ἐν τῇ Θράκῃ καὶ στρατοπεδευσάμενος ἐπέρχεται τῷ Βυζαντίῳ· καὶ μόνῃ φειδοῖ τῆς περὶ τὴν πό- P. 113
λιν, ὡς φασι, κρατηθείς, ἐπανέρχεται εἰς τὴν Θράκην, καὶ προτραπεὶς ὑπὸ Ζήνωνος κατέρχεται εἰς Ἰταλίαν. καὶ Ὀδοάκρου μάχῃ μεγάλῃ κρατήσας, τοῦ ῥηγὸς ἐν Ῥαβέννῃ περιτίθεται σχῆμα. ἐχειρώσατο δὲ καὶ ἄλλους πλείστους τῶν βαρβάρων, μάλιστα καὶ τοὺς Οὐανδήλους ὑπηγάγετο, μηδὲ ὅπλα κατ' αὐτῶν κινήσας, Γιζερίχου τελευτήσαντος ἤδη, πρὶν ἢ ἐκεῖνον ἐλθεῖν εἰς Ῥώμην· ἐκράτησε δὲ καὶ τῆς Ῥώμης καὶ πάσης τῆς ἑσπερίου.

Ἀντιοχείας ἐπισκόπου Πέτρου τοῦ Γναφέως ἔτος α'. A.M. 5978
Τούτῳ τῷ ἔτει οἱ τῆς ἀνατολῆς ἐπίσκοποι ἔγραψαν Ἀκακίῳ μέμψεις διὰ τὸ δέξασθαι τὸν Μογγὸν εἰς κοινωνίαν. ὁ δὲ μὴ προσχὼν αὐτοῖς, πάντας ἀναιδῶς κοινωνεῖν τῷ Μογ- B

16. κινήσας, Γιζ. τελευτήσαντος A, κινήσας. Γιζερίχου δὲ τελ. vulg.
17. δὲ add. ex A.

nimirum Valamere post Attilae filios in Gotthicam gentem Leonis temporibus imperium exercente) e Thracia Byzantium accersitus consulque renunciatus et Thraciae praefectura donatus, cum Ioanne Scytha adversus Illum a Zenone missus est. Illo vero Leontioque stricta obsidione in Papurio castello pressis, Ioanne qui bellum urgeret relicto, ipse rediit ad Zenonem: subindeque in Thraciam digressus et castrametatus, Byzantium occupare molitur: unde postmodum sola urbis, ut aiunt, miseratione motus, remeat in Thraciam: et a Zenone compulsus, in Italiam proficiscitur; ubi Odoacro ingenti clade profligato, regis insignia Ravennae tandem induit. sed et plerosque alios barbaros devicit, et armis tantum adversus Vandalos non motis, quietem agere et in multis subiectos effecit. Gizericho vero iam vita functo, priusquam ipse Romam appelleret, urbe tandem totoque simul occidente potitus est.

Antiochiae episcopi Petri Fullonis annus primus. A.C. 478

Hoc anno orientis episcopi cum Acacio per litteras conquesti sunt, quod Mongo communionis consortium impertiisset. ille spretis

γῷ κατηνάγκαζεν. οἱ δὲ τῆς βασιλείας καὶ τῆς ἑῴας ἐδεήθησαν Φήλικος μετὰ θάνατον Σιμπλικίου τοῦ Ῥώμης ἐπισκόπου, σημαίνοντες Ἀκάκιον εἶναι αἴτιον τῶν κακῶν. ἐν οἷς καὶ Ἰωάννης ὁ Ἀλεξανδρεὺς τὸ αὐτὸ λέγων τὴν Ῥώμην κατέλαβεν. Φήλιξ δὲ σύνοδον ἐν τῷ ναῷ τοῦ κορυφαίου ἀποστόλου Πέτρου ποιήσας, δύο ἐπισκόπους καὶ ἔκδικον ἔπεμψεν ἐν Κωνσταντινουπόλει, γράψας Ζήνωνι καὶ Ἀκακίῳ ἐκβαλεῖν Πέτρον τὸν Μογγὸν ὡς αἱρετικόν τῆς ἐκκλησίας.

A.M. 5979 Τούτῳ τῷ ἔτει τῶν ἀπὸ Ῥώμης πεμφθέντων ἐν Ἀβύδῳ κρατηθέντων γνώμῃ Ζήνωνος καὶ Ἀκακίου, καὶ τῶν γραμ-
D μάτων ἀφαιρεθέντων καὶ ἐν φρουρᾷ βληθέντων, ἠπείλησε Ζήνων τούτους ἀνελεῖν, εἰ μὴ κοινωνήσουσιν Ἀκακίῳ καὶ
V. 91 Πέτρῳ τῷ Μογγῷ.

A.M. 5980 Τούτῳ τῷ ἔτει Ἴλλος καὶ Λεόντιος μετὰ πολλοὺς πολέ-
P. 114 μους ἐπὶ τέσσαρα ἔτη φρουρούμενοι ἐν τῷ Παπουρίῳ κα-
στελλίῳ ἐχειρώθησαν προδοσίᾳ τοῦ ἀδελφοῦ τῆς γαμετῆς Τροκούνδου δόλῳ πεμφθέντος ὑπὸ Ζήνωνος. καὶ ἀπετμήθησαν, καὶ αἱ κεφαλαὶ αὐτῶν ἐπέμφθησαν τῷ Ζήνωνι καὶ εἰσήχθησαν εἰς κοντοὺς ἐν τῷ ἱππικῷ κἀκεῖθεν ἐπάγησαν πέραν ἐν

4. καὶ add. ex A. Ἀλεξανδρεὺς τὸ αὐτὸ A, Ἀλεξανδρείας τὰ αὐτὰ vulg. 8. ἐκκλησίας A e f, Ἀλεξανδρείας vulg. 12. κοινωνήσουσι A, κοινωνήσωσι vulg. 14. πολλοὺς πολέμους A, πολλ. τοὺς πολ. vulg. 17. ἀπετμήθησαν A, ἀπεμήθ. vulg. 18. εἰσήχθησαν A e, εἰσηνέχθησαν vulg. 19. ἐν Συκαῖς πρὸς θρ. A, εἰς Συκαῖς εἰς θρ. vulg.

eorum monitis, Mongum eundem in communionem admittere impudentissime compulit cunctos. cives autem urbium reginae cunctique simul orientales Felicem, qui post Simplicii obitum Romanam sedem tenebat, supplices adierunt et malorum omnium auctorem incusaverunt Acacium. interea Ioannes Alexandriae praesul haec eadem denuncians Romam ingreditur. Felix itaque synodo in coryphaei apostolorum Petri templo coacta, duos episcopos et una defensorem Cpolim ablegat Zenonique et Acacio litteris significat, ut Petrum Mongum ceu haereticum Alexandria eiiciant.

A. C. 479 Hoc anno legatis Roma profectis et apud Abydum Zenonis et Acacii consilio detentis, vi quoque ablatis eorum litteris ipsisque in carcerem coniectis, eos, nisi cum Acacio et Petro Mongo communicent, interfecturum, Zeno comminatur.

A. C. 480 Hoc anno Illus et Leontius, plurimis belli laboribus exantlatis, et obsidione perpetua in Papurio castello clausi, fratris uxoris Trocundi a Zenone in hunc finem missi proditione tandem capti sunt et decollati: eorum vero capita ad Zenonem translata contisque in

Συκαῖς πρὸς θρίαμβον. ὁ δὲ Ζήνων τῇ βουλῇ Ἀκακίου τοὺς κατὰ τὴν ἑῴαν ἐπισκόπους ἐβιάζετο γράψαι τῷ ἐνωτικῷ καὶ κοινωνῆσαι Πέτρῳ τῷ Μογγῷ· τοὺς δὲ ἀποκρισιαρίους Φήλικος τοῦ Ῥώμης μεταχειρισάμενος καὶ χρήμασι δελεάσας, Ἀκακίῳ κοινωνῆσαι παρὰ τὰ ἐνταλθέντα αὐτοῖς ἔπεισεν· καίτοι τῶν ὀρθοδόξων ἐκ τρίτου διαμαρτυραμένων αὐτοῖς· πρῶτον μὲν ἀγκίστρῳ περιθέντων σχοινίου, καὶ ἑνὸς αὐτῶν δημοσίᾳ ἐξαρτησάντων· δεύτερον δὲ τὴν βίβλον ἐνέβαλον· καὶ τρίτῳ κοφίνῳ λαχάνων ἐνέθηκαν. Φήλιξ δὲ μαθὼν τὰ ὑπὸ τῶν ἀποκρισιαρίων αὐτοῦ πραχθέντα, καθῆρεν αὐτούς, γράψας Ἀκακίῳ καθαίρεσιν. ὁ δὲ ταύτην ἐπιφερόμενος, διαδρὰς τοὺς ἐν Ἀβύδῳ, κατέλαβεν τὴν Δίου μονήν. οἱ δὲ τῆς Δίου μοναχοὶ τῇ κυριακῇ εἰς τὸ ἱερατεῖον ἀπέδωκαν Ἀκακίῳ τὴν ἐπιστολήν. οἱ δὲ περὶ Ἀκάκιον ἀνεῖλον τινὰς τῶν ἐπιδεδωκότων μοναχῶν· ἄλλους δὲ τιμωρήσαντες καθεῖρξαν. Ἀκάκιος δὲ ἀναισθήτως ἔσχεν περὶ τὴν καθαίρεσιν, καὶ τὸ ὄνομα τοῦ Φήλικος ἐξῆρεν τῶν διπτύχων.

Κωνσταντινουπόλεως ἐπισκόπου Φραυίτας μῆνας τρεῖς. A.M.5981

4. τοῦ Ῥ. A, τῆς Ῥ. vulg. 6. διαμαρτυραμένων A, διαμαρτυρουμένων vulg. 7. ἄγκιστρον e f. σχοινίῳ A, fort. σχοίνιον. 8. ἐνέβαλον A, ἐνέβαλλον vulg. 9. τρίτῳ A e, τρίτον vulg. 12. τὴν Δ. A, τοῦ Δ. vulg. 13. ἀπέδωκαν A, ἐπέδ. vulg. 17. τοῦ Φήλικός A, αὐτοῦ vulg.

circo circumacta atque inde trans portum oppido, cui Sicae nomen, in ludibrii ostentationem affixa. porro Zeno Acacii suggestionibus orientales episcopos concordiae sanctioni subscribere et Petro Mongo communicare cogebat: sed et ipsos Felicis Romani pontificis apocrisiarios blanditiis delinitos et pecuniis inescatos praeter mandatorum sibi impositorum fas in Petri communionem adduxit, omnibus catholicarum partium in adversum contestantibus atque reclamantibus: et primo quidem hamum funiculis circumligantes uni ex illis publice appenderunt; secundo librum immiserunt; tertio etiam olerum cophino imposuerunt. Felix vero cognitis legatorum suorum gestis, ecclesiae dignitate deiecit et adversus Acacium parem depositionis sententiam scripsit. qui ipsam perferebat, eos, qui Abydi in insidiis locati fuerant, praeterlapsus, ad Dii monasterium appulit. Dienses autem monachi Acacio in sacrario stanti die dominica Felicis epistolam tradidere. Acacii fautores quosdam ex monachis, qui dederunt epistolam, necaverunt, alios suppliciis examinatos in carcerem detruserunt. Acacius absque animi motu depositionem excepit et Felicis nomen e diptychis expunxit.

Cpoleos episcopus Phravitas tribus mensibus. A.C.481

Τούτῳ τῷ ἔτει Καλανδίων ἐπίσκοπος Ἀντιοχείας ἤγαγεν
D *τὸ λείψανον Εὐσταθίου τοῦ μεγάλου ἀπὸ Φιλίππων, ἔνθα καὶ*
ἐξόριστος ἐκοιμήθη ὁ ἅγιος· καὶ μετὰ πολλῆς τιμῆς ἀπὸ δώ-
δεκα μιλίων ἡ πόλις Ἀντιοχέων ὑπήντησεν. οἱ δὲ ἀποσχί-
ζοντες τῆς ἐκκλησίας διὰ τὸν ἅγιον ἡνώθησαν μετὰ ἑκατὸν
ἔτη τῆς κοιμήσεως αὐτοῦ. Ἀκακίου δὲ τελευτήσαντος Φρανί-
V. 92 *τας τρίμηνον τῆς ἐπισκοπῆς κρατήσας, ἔγραψεν Φήλικι, ὡς*
αὐτῷ μὲν κοινωνεῖ, Πέτρῳ δὲ τῷ Μογγῷ οὐ κοινωνεῖ· τῷ
δὲ Μογγῷ ἔγραψεν, ὡς αὐτῷ μὲν κοινωνεῖ, Φήλικα δὲ τὸν
Ῥώμης ἀποστρέφεται. Φήλιξ δὲ τὰ ἴσα τὰ πρὸς τὸν Μογ-
γὸν πεμφθέντα ἐδέξατο παρὰ τῶν ὀρθοδόξων προλαβόντα, καὶ
φθασάντων τῶν ἀποκρισιαρίων Φρανίτα μετὰ τῶν συνοδικῶν
P. 115 *ἀτίμως τούτους ὁ Φήλιξ ἀπέπεμψεν. τοῦ δὲ Φρανίτα τελευ-*
τήσαντος, Εὐθύμιος πρεσβύτερος καὶ πτωχοτρόφος Νεαπό-
λεως τὴν ἐπισκοπὴν Κωνσταντινουπόλεως ἐκράτησεν καὶ εὐ-
θέως ἰδίαις χερσὶ τὸ ὄνομα τοῦ Μογγοῦ τῶν διπτύχων ἀπή-
λειψεν· καὶ οὕτως ἐκάθισεν εἰς τὸν θρόνον καὶ τὸ τοῦ Φή-
λικος Ῥώμης ἔταξεν.
A.M. 5982 *Κωνσταντινουπόλεως ἐπισκόπου Εὐθυμίου, Ἀντιοχείας*
Παλλαδίου ἔτος α'.
B *Τούτῳ τῷ ἔτει Πέτρος ὁ Μογγὸς ἀπέθανεν ἐν Ἀλεξαν-*

7. τρίμηνον A, τριμήνου vulg. 8. κοινωνεῖ Φλήκι, τῷ Μογγῷ δὲ A. 9. τὸν add. ex A. 14. Εὐφήμιος a, Ἐφήμιος e.

Hoc anno Calandion Antiochenus episcopus Eustathii magni reliquias Philippis, ubi sanctus exul obierat, transtulit, tota Antiochiae civitate ad duodecimum milliare in occursum cum plurimo honore effusa: qui vero sancti causa ab ecclesia se resciderant, annis ab eius obitu exactis centum, iterum ei se sociaverunt. Acacio defuncto, Phravitas tres menses episcopatu potitus Felici litteris significat, se cum illo quidem communionem habere, cum Petro Mongo nullam. in adversum Mongo scribit, se cum illo communione coniungi, a Felice vero se penitus alienum. Felix porro de litteris ad Mongum prius datis ab orthodoxis cum certior factus fuisset, Phravitae legatos cum synodalibus litteris ad se advenientes minus honorifice tractatos dimisit. Phravita tandem mortuo Euthymius presbyter et pauperum in urbe Neapoli curator Cpoleos episcopatum assecutus est. is extemplo Petri Mongi nomen e sacris tabulis erasit manibus propriis, et Felicis pontificis Romani reposuit: atque ita consedit in throno.

A.C. 482 Cpoleos episcopi Euthymii, Antiochiae episcopi Palladii annus primus.

Hoc anno Petrus Mongus Alexandriae decessit e vivis: et Atha-

δρεΐα, καὶ Ἀθανάσιος ἀντ' αὐτοῦ ἐχειροτονήθη ὁ ἐπίκλην Κηλίτης. Ζήνων δὲ ὁ βασιλεὺς, ἀνεθεὶς τῶν τυράννων, ἐξέβαλε τῆς ἐκκλησίας Ἀντιοχέων Καλανδίωνα καὶ ἐξώρισεν εἰς Ὄασιν, Πέτρον δὲ τὸν Γναφέα κατέστησεν, Νέστορα δὲ Ῥωμανόν Χαλκηδόνος, Εὐσέβιον Σαμοσάτων, Ἰουλιανὸν Μοψουεστίας, Παῦλον Κωνσταντίνης, Μάνον Ἡμερίας καὶ Ἀνδρέαν Θεοδοσιουπόλεως, προφάσει μὲν τῆς πρὸς τοὺς τυράννους εὐνοίας, τῇ δὲ ἀληθείᾳ διὰ τὸ ἑνωτικὸν Ζήνωνος. Πέτρος δὲ ὁ Γναφεὺς εἰσελθὼν εἰς Ἀντιόχειαν πολλὰ κακὰ πέπραχεν, C ἀναθεματισμοὺς τῆς συνόδου καὶ ἐκβολὰς ἐπισκόπων ἀνεπιλήπτων, ἀντεισαγωγάς τε καὶ χειροτονίας ἀθέσμους καὶ τὰ τούτοις ὅμοια. πρότερον δὲ τῷ τρισαγίῳ προσέθηκεν, Χριστὲ βασιλεῦ ὁ σταυρωθεὶς δι' ἡμᾶς. Πέτρος δὲ πάλιν ἐλθών, περιεῖλεν τό, Χριστὲ βασιλεῦ. Ξεναΐας δὲ ὁ δοῦλος τοῦ Σατανᾶ τὴν δεσποτικὴν εἰκόνα καὶ τῶν ἁγίων ἐδίδασκε μὴ δέχεσθαι. Πέρσης μὲν γὰρ ἦν τῷ γένει, δοῦλος δὲ τὴν τύχην, φυγὼν τοῦ ἰδίου δεσπότου, ἐπὶ Καλανδίωνος τὰς περὶ Ἀντιόχειαν κώμας ἀνεστάτου ἀπὸ τῆς πίστεως, ἀβάπτιστος ὢν καὶ κληρικὸν αὐτὸν λέγων. τοῦτον Καλανδίων ἀπήλασεν. D Πέτρος δὲ ὁ Γναφεὺς ἐπίσκοπον Ἱεραπόλεως αὐτὸν χειροτονή-

1. Κοιλήτης A. 3. Ἀντιοχέων om. a. 10. ἐπισκόπων ἀνεπιλήπτων, ἀντ. A, ἐπισκόπων, ἐπιλήπτων ἀντ. vulg. 13. ἀνελθὼν omisso πάλιν e. 18. ἀνεστάτει A, ἀνεστάτου vulg.

nasius cognomine Celites in eius locum promotus est. imperator autem Zeno a tyrannis se opprimentibus liber Calandionem Antiochensium ecclesia expulit et Oasim relegavit atque Petrum Fullonem in sedem restituit: Nestorem autem Romanum Chalcedonis, Eusebium Samosatensium, Iulianum Mopsuestiae, Paulum Constantinae, Manum Hemeriae et Andream Theodosiopoleos praesules, specie quidem collati in tyrannos favoris, sed re vera concordiae sanctionis ab eis reiectae causa dignitate moveri iussit. Petrus autem Fullo Antiochiam ingressus, multa nefanda perpetravit, ut puta synodi execrationes, episcoporum abrogationes, noxiorum intrusiones, ordinationes illegitimas et his similia. in primis autem ter sancto hymno addidit: rex Christe, qui pro nobis crucifixus es. reversus idem sustulit verba: rex Christe. Xenaïas porro Satanae mancipium domini sanctorumque imagines proscribendas et amoliendas docebat, erat is genere Persa, fortuna servus, et a proprio domino sub Calandione profugiens vicos Antiochiae viciniores, nondum baptismi lavacro expiatus, clericum se fingens, a vero fidei sensu deturbabat. et Calandion quidem exitium exterminaverat: Petrus autem Fullo Hierapoleos episcopum consecra-

σας, Φιλόξενον μετωνόμασεν. μαθὼν δὲ ὕστερον ἀβάπτιστον αὐτὸν εἶναι, ἀρκεῖν αὐτῷ τὴν χειροτονίαν ἀντὶ βαπτίσματος ἔφησεν. Εὐθύμιος δὲ ὁ ὀρθοδοξότατος Ἀναστάσιον τὸν σιλεντιάριον τὸν κακῶς μετὰ ταῦτα βασιλεύσαντα τῆς ἐκκλησίας ἐδίωκεν, ὡς αἱρετικὸν καὶ ὁμόφρονα Εὐτυχοῦς, ὃν ὀχλοποιοῦντα ὁρῶν τὴν ἐν τῇ ἐκκλησίᾳ καθέδραν αὐτῷ ἀνέστρεψεν, ἀπειλήσας αὐτῷ, ὡς, εἰ μὴ παύσοιτο, ἀποκεῖραι τὴν κεφαλὴν αὐτοῦ καὶ τοῖς ὄχλοις αὐτὸν θριαμβεῦσαι. ἐπεκάλεσεν δὲ
P. 116 καὶ Ζήνωνι, καὶ τὴν κατ' αὐτοῦ ἐξουσίαν ἔλαβεν. Ζήνων δὲ ἠρώτησεν Μαριανὸν τὸν σοφώτατον κόμητα (ἦν γὰρ μυστικά τινα εἰδὼς καὶ προέλεγεν αὐτῷ) ὅτι, τίς μετ' ἐμὲ βασιλεύσει; ὁ δὲ εἶπεν αὐτῷ, ὅτι καὶ τὴν βασιλείαν σου καὶ τὴν γυναῖκά σου διαδέχεταί τις ἀπὸ σιλεντιαρίων. Πατρίκιον δέ,
V. 93 γενόμενον ἄνδρα σοφὸν καὶ εὐσεβῆ καὶ συνετὸν καὶ ἐνάρετον, δημεύσας ἀδίκως καὶ εἰς φρουρὰν ἐμβαλών, ὑπὸ τῶν φυλαττόντων ἐξκουβιτώρων ἀναιρεθῆναι προσέταξεν. τούτου δὲ γενομένου ἀκούσας ὁ ἔπαρχος Ἀρκάδιος ἐλοιδόρησε τὸν
B βασιλέα· καὶ ἀκούσας ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν εἰσερχόμενον εἰς τὸ παλάτιον σφαγῆναι· ὁ δὲ ἔπαρχος μαθὼν τοῦτο,

3. Εὐφήμιος A. 5. ὃν ὀχλοποιοῦντα A, ἐνοχλ. vulg. 10. Μαρκιανὸν A. 11. εἰδὼς A, προειδὼς vulg. 13. Πατρίκιον δὲ γενόμενον, ἄνδρα σοφὸν] sic vulgo male distinguitur. 14. ἐνάρετον, δημεύσας] ἐνάρετον, ὃν δημ. codd. et vulg. 17. ὁ ἔπαρχος A e, ὕπαρχος vulg.

tum, appellaverat Philoxenum: eundemque demum baptismo nondum initiatum comperiens, eius ordinationem baptismum defectum supplere sanxit. caeterum rectae fidei propugnator Euthymius Anastasium silentiarium, qui deinde imperium est adeptus, velut haereticum et Eutychis sectatorem, ex ecclesia eiecit, cui, quum plerasque molestias ecclesiae inferentem videret, etiam eversa eius in ecclesiae coetu sella, minatus est, ni quantocius desisteret, eius caput se rasurum et in plebem traducturum. ille querelas ad imperatorem detulit: et adversus patriarcham litem evicit. in his Zeno Marianum litteratissimum comitem interrogat (erat is quippe secretorum praescius et futura vaticinabatur) quis post me imperabit? respondet ille: ex silentiariis unus uxorem et imperium excipiet. Patricium vero, virum doctrina praestantem et pietate, prudentia morumque probitate conspicuum proscripsit iniuste, ac demum in custodiam coniectum ab excubitoribus, qui ipsum asservabant, interfici iussit. quo percepto, praefectus Arcadius convicia in imperatorem misit; quibus ille perceptis, accedentem in palatium mandavit occidi. praefectus latam in

προσέφυγε τῇ ἐκκλησίᾳ· καὶ ἐρρύσθη τοῦ πικροῦ θανάτου· τὸν δὲ οἶκον αὐτοῦ ἐδήμευσεν.

Ἀλεξανδρείας ἐπισκόπου Ἀθανασίου ἔτος α'. A.M. 5983

Τούτῳ τῷ ἔτει τὰ συνοδικὰ Εὐθυμίου Φήλιξ ἀπεδέξατο, καὶ ὡς ὀρθοδόξῳ αὐτῷ προσετέθη. ἐπίσκοπον δὲ αὐτὸν οὐκ ἐδέξατο, διὰ τὸ μὴ ἐκβαλεῖν τὸ ὄνομα Ἀκακίου ἐκ τῶν διπτύχων καὶ τοῦ μετ' αὐτὸν Φραυίτα. C

Τῷ δ' αὐτῷ ἔτει Πέτρος ὁ Γναφεὺς τέθνηκεν καὶ προεβλήθη ἐπίσκοπος Παλλάδιος πρεσβύτερος τῆς ἐν Σελευκίᾳ ἐκκλησίας τῆς ἁγίας πρωτομάρτυρος Θέκλης. συνεψηφίσθη δὲ Παλλαδίῳ καὶ Ἰωάννης ὁ Κωνσταντίου καὶ Ἀναστάσιος ὁ σιλεντιάριος ὁ κακῶς βασιλεύσας. ὁ δὲ Ζήνων ἐπαρθεὶς τῇ τῶν τυράννων ἀναιρέσει πρὸς δημεύσεις καὶ φόνους ἀδίκους χωρεῖ, καὶ πάντα ἄνθρωπον αἰτιώμενος ὡς ἐκείνοις ἢ συμμαχήσαντα ἢ συμβουλεύσαντα τὴν ἐπίθεσιν. ἀναιρεῖ δὲ καὶ Κόττταϊν ἀλόγως, τὸν ἅμα Ἰωάννῃ τῷ Σκύθῃ πολιορκίᾳ περι- D γενόμενον Ἴλλου καὶ Λεοντίου, καὶ τὸν θαυμαστὸν καὶ περὶ ποίησιν ἐπῶν ἀξιόλογον Πελάγιον τὸν πατρίκιον ὡς φρόνιμον καὶ δίκαιον· καὶ ἐπὶ τούτοις τελευτᾷ Ζήνων ἐπιληψίᾳ

14. Εὐθυμίου A, Εὐφημίου vulg. 8. τῷ δ' αὐτῷ A, τούτῳ δ' αὐτῷ vulg. 14. ἐκείνοις a, ἐκεῖνος A f, ἐκείνους vulg. 15. ἢ συμβουλεύσαντα om. A, καὶ συμβ. vulg. 16. τῇ πολ. a. γενόμενον A. 17. καὶ τὸν θαυμ. καὶ περὶ A, καὶ τὸ θ. περὶ vulg.

caput sententiam resciens et in ecclesiae praesidium se recipiens, misera nece liberatus est: domum tamen eius publicavit imperator.

Alexandriae episcopi Athanasii annus primus. A.C. 483

Hoc anno synodales Euthymii litteras Felix accepit, et ut catholico communionis impertiit consortium: haud tamen episcopum agnovit, quod Acacii, quique in episcopatu successerat, Phravitae nomen e tabulis ecclesiasticis non expunxerat.

Hoc eodem anno Petrus Fullo interiit, et Palladius, sanctae protomartyris Theclae ecclesiae, quae est in Seleucia, presbyter, promotus est episcopus. cum Palladio etiam electi sunt Ioannes Constantini et Anastasius silentiarius, qui postmodum pessime imperavit. porro Zeno tyrannorum prosperis caedibus elatus, ad proscriptiones et iniusta homicidia transfertur, et singulos quosque homines, vel quasi prius opitulatos, vel ad imperium invadendum suggessisse consilium criminatur. Cottaïn etiam Ioannis Scythae armorum socium, et Illi Leontiique ab eis obsessorum victorem, Pelagiumque patricium virum in edendis carminibus praecipuum et admiratione dignum prudentiaque et aequitate celebrem iniuste interficit. in his Zeno morbo comitiali

Hoc anno commentario per Cellorem magistrum misso Macedonium imperator decepit: ac primam quidem et secundam synodum se probare fatebatur, Ephesinam vero et Chalcedonensem penitus tacebat: qua magnam sibi invidiam conciliavit Macedonius: per huiusmodi quippe commentarium concordiae sanctionem a Zenone editam probavit, cui iam, dum ordinaretur, subscripserat. eapropter Macedonius ad Dalmatae monasterium profectus ad clericos et monachos ferventiori zelo ductos et visi facinoris foeditate indignatos declamatorio sermone defensionem instituit, protestatus, se Chalcedonem syn-

νους αὐτὴν αἱρετικοὺς ἔχει, καὶ συνελειτούργησαν αὐτῷ. ὁ δὲ βασιλεὺς δώροις ἔπεισεν τοὺς ὁμόφρονας αὐτοῦ κληρικοὺς καὶ μοναχοὺς ἄλλον ἐπίσκοπον ψηφίσασθαι, ὅπερ καὶ Ἀρεάδνην καὶ τοὺς τῆς συγκλήτου μεγάλως ἐλύπει· ἠγαπᾶτο γὰρ Μακεδόνιος καὶ διὰ τὸ καθαρὸν τοῦ βίου καὶ διὰ τὸ ὀρθὸν τῶν δογμάτων, εἰ καὶ ἠπατήθη. καὶ παρεσκεύασεν ὁ βασιλεὺς δύο φαύλους τινὰς κατηγορῆσαι Μακεδόνιον, ὡς παιδ- B εραστὴν καὶ αἱρετικόν, ἀποδοῦναι δὲ ταῦτα ἐγγράφως τῷ ἐπάρχῳ καὶ τῷ μαγίστρῳ· ὁμοίως δὲ καὶ κατὰ πρεσβυτέρων καὶ διακόνων ὀρθοδόξων. ἐκέλευσε δὲ ὁ βασιλεὺς Κέλλωρα τὸν μάγιστρον καταγαγεῖν αὐτὸν τοῦ ἐπισκοπείου βιαίως, βοῶντος Μακεδονίου, ἑτοίμως ἀπολογεῖσθαι, οὐ μόνον ἐν τῷ πραιτωρίῳ, ἀλλὰ καὶ ἐν τῷ θεάτρῳ. πολλοὶ δὲ τῶν κληρικῶν εἰς φυλακὰς ἐβλήθησαν· ἄλλοι δὲ φυγεῖν ἰσχύσαντες, ἐν Ῥώμῃ καὶ Φοινίκῃ διεσπάρησαν. ὁ δὲ ἀσεβὴς βασιλεὺς τὸν αὐθεντικὸν χάρτην τῶν πεπραγμένων ἐν Χαλκηδόνι διὰ τοῦ C μαγίστρου λαβεῖν παρὰ Μακεδονίου καὶ διαρρῆξαι ἔσπευδεν. Μακεδόνιος δὲ σφραγίσας αὐτόν, ἐν τῷ θυσιαστηρίῳ ἀπέθετο. Καλοπόδιος δὲ ὁ εὐνοῦχος, οἰκονόμος ὢν τῆς μεγάλης ἐκκλησίας, κλέψας αὐτὸν τῷ βασιλεῖ ἀπεκόμισεν. τότε Μακε-

4. μεγάλως A, μεγάλους vulg. 7. Μακεδόνιον A, Μακεδονίου vulg. 8. ἀποδοῦναι A e, ἐπιδοῦναι vulg. 9. ἐπάρχῳ A, ὑπάρχῳ vulg. 10. ὁ βασιλεὺς add. ex A e. 14. φυλακὰς A, φύλακας vulg. 15. ἀσεβὴς om. A. 17. καὶ διαρρῆξαι] πρὸς διάῤῥηξιν b. 18. αὐτὸν A, αὐτὸ vulg.

odum admittere et, qui eam reiicerent, haereticos habere: quibus auditis una cum eo sacra missarum peregere mysteria. interea imperator clericos atque monachos una secum sentientes donis impulit, ut alium episcopum in eius locum subrogarent, quod Areadnam et ordinis senatorii praecipuos afflixit: erat quippe cunctis carus Macedonius, tum ob vitae munditiem, tum ob rectam et sinceram de fide sententiam, quamvis dolum postmodum fuerit passus. ad haec imperator duos nequam et profligatae vitae comparavit viros, qui Macedonium praeposterae in pueros libidinis et haereseos criminarentur et de istis praefecto atque magistro scriptam offerrent accusationem: et aliam parem adversus catholicos presbyteros et diaconos instruxit. imperavit denique Cellori magistro, episcopali aede Macedonium summa vi deturbare, vociferantem, se non in praetorio modo, sed etiam in theatro defensionem suscipere paratum. hinc e cleri grege plures in carcerem coniecti: alii fugae beneficium nacti, per Romanam et Phoeniciam provinciam dispersi. impius autem imperator authenticas rerum apud Chalcedonem gestarum tabulas magistri ope a Macedonio reci-

δόνιον νυκτὸς ἐξαγαγὼν ὁ βασιλεὺς βιαίως εἰς Χαλκηδόνα, κἀκεῖθεν εἰς Εὐχαΐταν ἐξορισθῆναι προσέταξεν, μηδὲν τῶν κατ' αὐτοῦ ζητηθῆναι τολμήσας, φοβηθεὶς τὰ πλήθη. τῇ δὲ ἑξῆς προβάλλεται ἐπίσκοπον Τιμόθεόν τινα πρεσβύτερον καὶ σκευοφύλακα τῆς ἐκκλησίας, τὸν ἐπίκλην Λιτροβούλην καὶ
D Κήλωνα, διά τινας πράξεις προσφόρους τοῖς ὀνόμασιν, ὅστις εἰσιὼν ἐν ταῖς ἐκκλησίαις πρότερον τὰς Μακεδονίου εἰκόνας κατέφερεν καὶ οὕτως ἐλειτούργει· Ἰωάννην δὲ τὸν Ἀλεξανδρείας ἐν τοῖς διπτύχοις ἐνέταξε τὸν Νικαιώτην καὶ συνοδικὰ πρὸς αὐτὸν ἔγραψεν. Ἀναστάσιος δὲ ἐννοηθείς, ὅτι χωρὶς καθαιρέσεως τὸν Μακεδόνιον ἀκρίτως ἐξώρισεν, πέμψας μά-
V. 107 γιστρον, ἔστησεν αὐτὸν ἐπέκεινα Κλαυδιουπόλεως τῆς Ὀνωριάδος. αὐτοὶ δὲ δικασταὶ καὶ μάρτυρες καὶ κατήγοροι ὄντες, ἀπόντα καθαιροῦσι τὸν ἐκβληθέντα πρὸ κρίσεως, καὶ δι' ἐπισκόπων πέμπουσι τὴν καθαίρεσιν καὶ πρεσβυτέρου Κυζι-
P. 134 κηνοῦ. τούτους ἰδὼν Μακεδόνιος, πρὶν αὐτοὺς λαλῆσαι, ἠρώτα, εἰ δέχονται τὴν ἐν Χαλκηδόνι σύνοδον; τῶν δὲ εἰπόντων· τίς γὰρ εἶ; τότε αὐτὸς ἔφη· Σαββατιανοὶ ἢ Μακε-

2. ἐν Εὐχαΐταις b, εἰς Εὐχάϊτα A. 4. προὐβάλετο b. 10. αὐτὸν A, ἐκεῖνον vulg. 11. μαγιστριανὸν b. 12. ἔστησεν A, ἔπεμψεν vulg. 16. τούτους] οὓς f. 17. δέχονται A, δέχωνται vulg. 18. τίς A, τί vulg. τότε] τούτου A.

pere et discerpere contendebat: eas vero sigillo notatas in altari Macedonius reposuit: quas demum Calepodius eunuchus magnae ecclesiae oeconomus furtim subreptas ad imperatorem detulit. postremo Macedonium noctu per vim abductum Chalcedonem primum, inde Euchaïtam deportari iussit imperator, nullam ob plebis metum de ipsi obiectis inquisitionem facere ausus. sequente luce Timotheum quendam presbyterum et ecclesiae sceuophylacem, ex quibusdam gestis nominibus accommodatis cognomento Litrobulem et Celonem, declarat episcopum: qui primum ecclesias ingressus, Macedonii deposuit imagines atque ita demum sacris operam dedit: Ioannemque Nicaeotam Alexandrinum in ecclesiae tabulas recensuit synodicasque litteras ad eum scripsit. perpendens porro Anastasius Macedonium indicta causa nullave depositionis in eum lata sententia in exilium eiectum, misso magistro diem ei dixit ultra Claudiopolim Honoriadis provinciae. in eum vero iudices, testes et accusatores instituti deportatum iam ante iudicium et absentem muneris abrogatione damnant et per episcopos et presbyterum Cyzicenum depositionis sententiam mittunt. quos ubi conspexit Macedonius, etiam ante sermonis exordium interrogat, num Chalcedonensem synodum admittunt? respon-

δονιανοὶ εἰ ἔφερόν μοι καθαίρεσιν, ἔδει με δέξασθαι. καὶ οὕτως ὑπέστρεψαν ἄπρακτοι· καὶ αὐτὸς κατέλαβε τὴν Εὐχαΐταν. τότε καὶ Φλαβιανὸν ἐσπούδασε τοῦ θρόνου Ἀντιοχείας ἐκβαλεῖν ὁ παράνομος βασιλεύς, καὶ Σευῆρον τὸν προφανῆ τῆς ἀληθείας ἐχθρὸν ἀντεισάγειν. ἐπέθεντο δὲ κατηγοροῦντες αὐτὸν ὅτι στόματι μόνον τὴν σύνοδον ἀνεθεμάτισεν, καὶ οὐ καρδίᾳ. λοιπὸν καὶ συνεβουλεύοντο οἱ πεμφθέντες B ἄρχοντες παρὰ τοῦ βασιλέως τοῦ ἐξεῶσαι αὐτόν, καὶ ὀλίγον ὑποχωρῆσαι διὰ τὸν τάραχον. τούτου δὲ εἰς Πλατάνους ἐξελθόντος, εὐθέως τὸν δυσσεβῆ Σευῆρον ἐχειροτόνησαν προμονάσαντα ἐν τῇ μονῇ τῶν ἀποσχιστῶν πλησίον τοῦ Μαϊουμᾶ Γάζης. Φλαβιανὸν δὲ ἐν Πέτραις ἐξώρισαν, καὶ ἄλλους πολλοὺς ἐπισκόπους σιδηρωμένους καὶ κληρικοὺς καὶ μοναχούς. Ἠλίας δὲ ὁ Ἱεροσολύμων ἀναγκαζόμενος ὑπὸ τοῦ βασιλέως ἢ Σευήρῳ κοινωνῆσαι, ἢ τῆς ἐπισκοπῆς ἐκβληθῆναι, τῶν μοναχῶν ὀχυρωσάντων αὐτόν, τῆς ἐπισκοπῆς μᾶλλον ἥρετίσατο ἐκβληθῆναι, καὶ ἐχειροτονήθη Ἰωάννης ἀπὸ σταυροφυ- C λάκων, συνθέμενος ποιεῖν ὅσα θέλουσι. χειροτονηθεὶς δὲ οὐδ' ἕτερον ἐποίησεν.

2. τὰ *Εὐχάϊτα* b, *τὴν Εὐχαΐτας* A. 13. fort. *σεσιδηρωμένους*.
15. ἢ ante *Σευήρῳ* add. ex b.

dentibus illis: tu quis es? dixit ipse. Sabbatiani aut Macedoniani, si mihi depositionis deferrent, sententiam me admittere oporteret. et ita re infecta reversi sunt: ipse vero Euchaïtam profectus est. eadem quoque tempestate Flavianum Antiochiae throno deiicere tentavit iniquus imperator, et in eius locum Severum apertum veritatis hostem intrudere. hoc unum insimulabant accusatores, quod ore solo, non cordis sensu anathema in synodum pronunciasset. consilium subinde dabant qui ad eum expellendum ab imperatore missi fuerant magistratus, ut ob enatos tumultus ad breve tempus secederet. illo itaque ad Platanos profecto, impium Severum in schismaticorum monasterio ad Gazae Maiumam prius monachum agentem confestim ordinaverunt episcopum: Flavianum vero Petras simul cum aliis pluribus episcopis, clericis et monachis ferro onustis relegaverunt. Elias demum Hierosolymitanus aut cum Severo communionem gerere, aut abdicati episcopatus mulctam sustinere per vim ab imperatore compulsus, monachis eius animum obfirmantibus, episcopatu potius depelli elegit: in cuius locum suffectus est quidam Ioannes e sanctae crucis custodibus unus, qui omnia ad illorum arbitrium se facturum pollicitus est: quod certe occupata post ordinationem sede nusquam praestitit.

A.M.6005 *Κωνσταντινουπόλεως ἐπισκόπου Τιμοθέου, Ἱεροσολύμων Ἰωάννου, Ἀντιοχείας Σευήρου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Βιταλιανὸν τὸν υἱὸν Πατρικιόλου κόμητος Φοιδεράτων οἱ ἐν Σκυθίᾳ καὶ Μυσίᾳ καὶ λοιπαῖς χώραις ὀρθό-
D *δοξοι παρεκάλουν κινηθῆναι κατὰ Ἀναστασίου τοῦ δυσσεβοῦς. ὁ δὲ κινηθείς, πολλὰς μυριάδας ἀνεῖλεν στρατοῦ τῶν ὑπὲρ Ἀναστασίου μαχομένων, χρυσόν τε εἰς ῥόγας αὐτῶν πεμπόμενον πλεῖστον, καὶ ὅπλα εἰς συμμαχίαν καὶ δαπάνας καὶ ὅσα ἄλλα ἐχειροῦτο. φασὶ δὲ ὅτι ἐν μιᾷ συμβολῇ ἑξήκοντα πέντε χι-*
λιάδας στρατοῦ βασιλικοῦ ἐκρήμνισεν σὺν Ὑπατίῳ στρατη-
γοῦντι αὐτῶν, υἱῷ δὲ ἐξαδέλφης Ἀναστασίου καὶ Σεκουνδίνου πατρικίου, ὃν καὶ πιάσας ζῶντα εἶχεν ἐν φρουρᾷ. Ἀναστά-
σιος δὲ ὁ παράνομος βασιλεύς, καὶ Τιμόθεος ὁ ἀντίερος ἐπί-
P. 135 *σκοπος Κωνσταντινουπόλεως πολλὰ κακὰ τοῖς ὑπὲρ Μακεδο-*
νίου καὶ τῆς συνόδου μοναχοῖς τε καὶ λαϊκοῖς καὶ κληρικοῖς ἐπεδείξαντο· ὥστε καὶ εἰς Ὄασιν τῆς Θηβαΐδος ἐξώρισαν πολ-
λούς. Τιμόθεος δὲ τὰ συνοδικὰ καὶ Μακεδονίου τὴν καθαί-
ρεσιν τοῖς κατὰ πόλιν ἐπισκόποις ὑπογράψαι ἔπεμψεν· ὧν οἱ μὲν ἀνδρειότεροι πρὸς ἄμφω ἀντέστησαν· οἱ δὲ παράφο-
ροι φόβῳ τοῦ βασιλέως ἀμφότερα ὑπέγραψαν· οἱ δὲ μέσοι
V. 108 *τῇ καθαιρέσει Μακεδονίου οὐχ ὑπέγραψαν, εἰ μὴ μόνον τοῖς*

20. ἀμφότερα A, ἀμφότεροι b, ἀμφοτέροις vulg.

A.C.505 Cpoleos episcopi Timothei, Hierosolymorum Ioannis, Antiochiae Severi annus primus.

Hoc anno Vitalianum Patricioli Foederatorum comitis filium Scythiae, Mysiaeque, caeterarumque regionum incolae ad arma adversus impium Anastasium sumenda concitabant. is ita provocatus infinitam prorsus exercituum, qui sub Anastasio merebantur, multitudinem concidit, et auri copiam immensam ad elargienda stipendia missam, arma in subsidium, commeatum, caeteraque omnia depraedatus est. uno conflictu solo sexaginta quinque hominum millia ex imperatoris exercitu cum Hypatio Anastasii consobrinae et Secundini patricii filio eorum duce prostravit, vivumque acceptum sub custodia tenuit. Anastasius autem iniquus imperator et Timotheus sacrilegus episcopus Cpoleos monachis, laicis et clericis Macedonii synodique causa plurima mala intulit: adeo ut Oasim Thebaidos ex eis plures in exilium egerit: synodales vero litteras, et Macedonii depositionem cunctis passim per urbes episcopis ad subscribendum misit Timotheus: ex quibus qui fortitudine praecelluerunt, utrique iverunt in oppositum: qui animo faciliores imperatori metu subscripserunt utrique: qui medium tenuere, Macedonii depositioni nusquam, verum solis Timothei synodicis, quod

συνοδικοῖς Τιμοθέου, ὅπερ ταὐτὸν ἦν, εἰ καὶ διαφέρειν αὐτοῖς ἐδόκει. Τιμόθεος δὲ τὸ ὄνομα Σευήρου βουληθεὶς ἐντάξαι τοῖς διπτύχοις καὶ τὸ Φλαβιανοῦ ἐκβαλεῖν ὑπὸ τοῦ λαοῦ B ἐκωλύθη. Σευήρου γὰρ τὴν κοινωνίαν πάντες οἱ ὀρθόδοξοι ἔφυγον, μάλιστα οἱ μοναχοί, οὓς μετὰ πλήθους ἀγροικικοῦ τιμιωρῶν πολλοὺς ἐφόνευσε, τὰ θυσιαστήρια ἀνατρέπων, καὶ τὰ ἱερὰ σκεύη τῶν ὀρθοδόξων χωνεύων ὁ ἱερόσυλος. Ἰουλιάνα δὲ ἡ περιφανεσιάτη ἡ κτίσασα τὸν ναὸν τῆς Θεοτόκου ἐν τοῖς Ὀνωράτοις ἀντεποιεῖτο σφόδρα τῆς ἐν Χαλκηδόνι συνόδου, ὡς καὶ τὸν βασιλέα πολλὰς αὐτῇ διαστροφὰς ἐφευρόντα μὴ πεῖσαι κοινωνῆσαι τῷ Τιμοθέῳ. καὶ αὐτὸς δὲ Τιμόθεος πολλάκις εἰς αὐτὴν ἀπελθὼν οὐκ ἔπεισεν αὐτήν. Πομπήϊον δὲ ἀνεψιὸν αὐτοῦ ὁ βασιλεὺς καὶ τὴν τούτου γαμετὴν κοσμίαν C οὖσαν καὶ εὐποιΐαις σχολάζουσαν, πολλαῖς περιστάσεσιν ἐταπείνου, ὡς ζηλωτὰς τῆς συνόδου, καὶ ὡς χορηγοῦντας Μακεδονίῳ ἐν τῇ ἐξορίᾳ τὰ πρὸς τὴν χρείαν. οἱ δὲ σταλέντες παρὰ Τιμοθέου ἐν Ἀλεξανδρείᾳ πρὸς Ἰωάννην τὸν Νικαιώτην ἐπ' ἄμβωνος τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον ἀνεθεμάτισαν. τοῦ δὲ ἡγουμένου τῆς Δίου μονῆς τελευτήσαντος, ἦλθεν Τιμόθεος προβαλέσθαι ἡγούμενον. ὁ δὲ μέλλων προβιβάζεσθαι

1. εἰ καὶ A, εἴπερ vulg. 3. ἐκβαλεῖν A, ἐκβάλαι vulg. 5. ἀγροικικοῦ b, ἀγροίκου A, ἀγροίκων vulg. 11. τῷ add. ex A. 12. Πόμψιον A.

tamen idem prorsus fuit, quamvis ipsi discrimen venditarent, nomen et subscriptionem apposuerunt. Timotheus autem Severi nomen diptychis volens inserere, et Flaviani rescindere, a populo prohibitus est. Severi quippe communionem aversabantur orthodoxi omnes, et maxime monachi, in quos collecta rusticorum turba crudeliter animadvertit, et altaribus eversis sacrisque orthodoxorum vasis igne conflatis, sacrilegus plures eorum interfecit. Iuliana vero illustrissima foemina, quae templum deiparae virgini posuit in Honoratis, pro viribus Chalcedonensem adeo tuebatur synodum, ut imperator ipse adinventis etiam multarum fallaciarum technis, ut Timothei communionem subiret, persuadere non valuerit: sed nec ipsemet Timotheus, cum eam saepius convenisset, non persuasit. Pompeium insuper consobrinum suum, eiusque coniugem ornatissimam foeminam, et bonis operibus assuetam, ceu synodo bene affectos, et quae ad vitae necessitatem conducunt Macedonio in exilio subministrantes, multis calamitatibus oppressit imperator. porro qui ad Ioannem Nicaeotam a Timotheo missi fuerunt Alexandriam, illi ex ecclesiae suggestu sanctam Chalcedonensem synodum anathemate damnaverunt. caeterum Dii monasterii praefecto e vivis sublato, Timotheus superiorem alium substi-

ἔφη, μὴ δέχεσθαι εὐλογίαν παρὰ ἀνδρὸς ἀθετοῦντος τὴν ἐν
D Χαλκηδόνι σύνοδον. Τιμόθεος δὲ ἔφη ἀνάθεμα παντὶ ἀν-
θρώπῳ τῷ μὴ δεχομένῳ τὴν ἐν Χαλκηδόνι σύνοδον· καὶ οὕ-
τως προχειρισθῆναι ὑπ' αὐτοῦ οὐ κατεδέξατο ὁ ἡγούμενος.
Ἰωάννης δὲ ὁ ἀρχιδιάκονος Τιμοθέου Μανιχαῖος ὤν, ὑβρίσας
Τιμόθεον, τῷ βασιλεῖ ἐμήνυσεν. ὁ δὲ βασιλεὺς ἀτιμάσας
Τιμόθεον, χαλεπῶς κατὰ πρόσωπον ἀρνούμενον εὗρεν καὶ πάλιν
ἀναθεματίζοντα τοὺς δεχομένους τὴν ἐν Χαλκηδόνι σύνοδον.
Ἰωάννης δὲ ὁ Ἀλεξανδρείας ὁ δυσσεβὴς ἐκώλυσε τοὺς Αἰγυ-
P. 136 πτίους ἀνέρχεσθαι εἰς τὰ Ἱεροσόλυμα, διὰ τὸ μὴ κοινωνεῖν
ἐν τῇ ὑψώσει τῇ ἐν Χαλκηδόνι συνόδῳ. φοβερὰ δέ τινα ὑπὸ
δαιμονιώντων ἐγένετο εἰς Ἱεροσόλυμα τότε. Ἀναστάσιος δὲ
ἐπιθυμῶν γενέσθαι δοὺξ Παλαιστίνης ὑπέσχετο τῷ βασιλεῖ,
εἰ μὴ πείσω Ἰωάννην τὸν μετὰ Ἠλίαν ἐπίσκοπον Ἱεροσολύ-
μων κοινωνῆσαι Σευήρῳ, δίδειν τριακοσίας λίτρας χρυσίου.
λαβὼν δὲ τὴν ἀρχὴν ἦλθεν εἰς τὰ Ἱεροσόλυμα, καὶ Ἰωάννην
μὴ πειθόμενον εἰς φρουρὰν ἐνέβαλεν. Ζαχαρίας δέ τις ἄρ-
χων Παλαιστίνης, θεοφιλὴς ἀνήρ, ὑπέθετο τῷ ἐπισκόπῳ ζή-
λῳ θείῳ φερόμενος ὑποσχέσθαι τῷ δουκὶ ποιεῖν τὰ δοκοῦντα
αὐτῷ, εἰ ἀποκατασταθῇ εἰς τὸν θρόνον αὐτοῦ. τοῦ δὲ ἀπο-

2. Τιμόθεος δὲ ἔφη — — σύνοδον om. A b f. 4. οὐ add. ex A b. 12. εἰς Ἱεροσόλυμα. τότε δέ τις Ἀναστάσιος b. 14. fort. πείσοι.

tuturus accessit. at qui promovendus erat dixit: a viro qui Chalcedonensem synodum reprobaverit, benedictionem se nolle accipere. respondit Timotheus: anathemate feriatur quisquis Chalcedonensem non admiserit synodum: atque ita se ab eo confirmari non permisit praefectus. Ioannes autem Timothei archidiaconus cum esset Manichaeus, coniectis in Timotheum conviciis, rem ad imperatorem detulit. sed cum imperator ipsum ignominiose et dure corripuisset, Timotheus ante imperatoris conspectum rem negavit omnem, et qui synodum Chalcedone celebratam reciperent, anathemate perstrinxit. Ioannes autem impius Alexandriae praesul Aegyptios Hierosolymam ascendere prohibuit, ne in sanctae crucis exaltationis festo Chalcedonensis synodi patribus communicarent. tum vero res prorsus horrendae ab iis qui daemonibus correpti erant Hierosolymis editae. Anastasius autem Palaestinae dux fieri cum ambiret, nisi Ioannem, qui post Eliam Hierosolymorum episcopum agebat, cum Severo communionem habere suaderet, 300 auri libras imperatori se pensurum promisit. mox dignitate arrepta, venit Hierosolymam et Ioannem sibi reluctantem coniecit in custodiam. Zacharias autem quidam Palaestinae praefectus, vir religiosus, divino zelo motus, episcopo sugges-

λώσαντος αὐτόν, καὶ ἀποκαταστήσαντος, συναγαγὼν τὰ μοναB
στήρια εἰς τὸν ναὸν τοῦ ἁγίου Στεφάνου, καὶ ἀνελθὼν ἐπ'
ἄμβωνος, ἀνεθεμάτισε Νεστόριον καὶ Εὐτυχέα καὶ Σεβῆρον
καὶ Σωτήριχον τὸν Καισαρείας, ἀναγορεύσας τὰς ἁγίας καὶ
οἰκουμενικὰς τέσσαρας συνόδους· παρῆν δὲ καὶ Ὑπάτιος ὁ
ἀδελφιδοῦς τοῦ βασιλέως μὴ κοινωνῶν τῷ Σεβήρῳ τὸ σύνο-
λον. οὗτος κοινωνήσας τῷ Ἰωάννῃ τότε χρυσίου λίτρας ἑκα- V. 109
τὸν Θεοδοσίῳ τῷ ὁσίῳ ἐξάρχῳ ὄντι τῶν μοναστηρίων εἰς δια-
νομὴν τῶν ὑπὲρ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἐν Χαλκηδόνι
ζηλούντων μοναχῶν δέδωκεν. ὁ δὲ βασιλεύς τινας τῶν ἀρ-
χόντων προσέταξεν εἰς τὸν ναὸν τοῦ ἁγίου Θεοδώρου τῶνC
Σφαρακίου ἐπ' ἄμβωνος τὴν προσθήκην τοῦ τρισαγίου ὑπο-
βάλλειν, ὥστε τὰ πλήθη ἀγανακτοῦντα ἐξελθεῖν κατὰ τὴν
ἡμέραν τῆς λιτῆς γινομένης ἐν τῷ Τρικόγχῳ διὰ τὴν κόνιν·
ἡνίκα καὶ Τιμόθεος δι' ἐγγράφου ὑπομνηστικοῦ πάσαις ταῖς
ἐκκλησίαις προσέταξε τὸ τρισάγιον ἐν ταῖς λιταῖς μετὰ τῆς
προσθήκης εἰπεῖν. ὅπερ πολλοὶ φοβούμενοι ἐποίησαν. οἱ δὲ
μοναχοὶ ἄλλον ψαλμὸν ἦλθον ψάλλοντες. τούτους δὲ ἰδὼν
ὁ λαὸς ἔκραξεν· καλῶς ἦλθον οἱ ὀρθόδοξοι. στάσις τε πολλὴ
γέγονε καὶ ἐμπρησμὸς οἴκων πολλῶν καὶ φόνοι μυρίοι, τοῦ

6. ἀδελφὸς A e. 8. ὁσίῳ om. A e f. 9. Χαλκηδόνι συνόδου λαλούντων A.

sit, duci quae placita forent executurum polliceretur, si modo propriam sibi sedem reciperet. quo illum dimittente ac throno restituente, mox ille monasteria quaeque in S. Stephani templum collegit, et sanctis quatuor oecumenicis conciliis publice proclamatis in Nestorium, Eutychem, Severum et Soterichum Caesareae praesulem anathema ex ambone pronunciavit. his interfuit Hypatius imperatoris ex fratre nepos a Severi communione penitus alienus. hic cum Ioanni communicaret, Theodosio sancto monasteriorum praeposito centum auri libras tunc donavit, quas in monachos, qui rectam fidem et Chalcedone synodum actam tuerentur, distribueret. imperator porro magistratuum nonnullis, ut in sancti Theodori Spharaciorum templo ex ambone hymni ter sancti subiicerent additamentum praecepit: ex quo populus indignatus, ex processionis precibus ad Triconchum eo die propter pulverem igneum habitis, se subduxit: cum etiam Timotheus omnibus ecclesiis per libellum scriptum edixit, ut ter sanctum hymnum, non omisso additamento, in publicis processionibus decantarent: quod plerique prae metu fecere. caeterum monachi canticum aliud procedebant psallentes. iis conspectis exclamavit populus: bene venerint orthodoxi: ex quo tumultus vehemens exortus est, multarum domorum visa incendia, et innumerae caedes perpetratae, populi con-

D ὄχλου καταβοῶντος Ἀναστασίῳ, καὶ ἄλλον βασιλέα αἰτουντων, Βιταλιανὸν δὲ πάντων εὐφημούντων, ὡς αὐτοκράτορα, ὥστε φυγεῖν Ἀναστάσιον, καὶ κρυβῆναι ἐν προαστείῳ ἐγγὺς Βλαχερνῶν, ὑπ' αὐτῆς δὲ Ἀρεάδνης ὑβρισθῆναι, ὡς πολλῶν κακῶν αἴτιον Χριστιανοῖς. Ἀλαμουνδάρου δὲ τοῦ φυλάρχου τῶν Σαρακηνῶν βαπτισθέντος, Σευῆρος ὁ δυσσεβὴς δύο ἐπισκόπους ἔπεμψεν τῆς λώβης αὐτοῦ μεταδοῦναι αὐτῷ. θεοῦ δὲ προνοίᾳ ὑπὸ τῶν ὀρθοδόξων ὁ ἀνὴρ ἐβαπτίσθη τῶν δεχομένων τὴν σύνοδον. τῶν δὲ ἐπισκόπων τοῦ Σευήρου διαστρέ-
P. 137 φειν τὸν φύλαρχον τοῦ ἀληθοῦς δόγματος σπευδόντων, θαυμαστῶς αὐτοὺς ἤλεγξεν Ἀλαμούνδαρος δραματουργίᾳ τοιαύτῃ. ἔφη γὰρ πρὸς αὐτούς, γράμματα, φησίν, ἐδεξάμην σήμερον ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος τέθνηκε σήμερον. τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, ἔφη πρὸς αὐτοὺς ὁ φύλαρχος· καὶ πῶς θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ δύο φύσεων ἦν ὁ Χριστός, εἴπερ μηδὲ ἄγγελος ἀποθνήσκει; καὶ οὕτω μετ' αἰσχύνης ἀνεχώρησαν οἱ τοῦ Σευήρου ἐπίσκοποι. Καβάδης δέ τινας τῶν ἐν Περσίδι Χριστιανῶν ἠγκυλο-
B κόπησεν, οἳ μετὰ ταῦτα περιεπάτησαν.

1. Ἀναστασίου a. 5. Ἀλαμουνδάρῳ τῷ φυλάρχῳ — βαπτισθέντι b. 6. ἐπισκόπους om. A. 12. γὰρ add. ex A e. 13. ὁ ἀρχάγγελος om. A e f. σήμερον om. A f.

fusa plebe contumeliosis vocibus Anastasium impetente, et alium ad imperium advocante, et uno consensu, ceu iam declaratum imperatorem, acclamante Vitalianum: adeo ut fugerit Anastasius et Blachernis proxime in suburbio delituerit, eum vero, velut multorum auctorem malorum, conviciis usa Areadna corripuerit. porro Alamundaro Saracenicarum tribuum principe baptizato duos episcopos, eadem, qua ipse, tabe infectos, ut ipsi tabem in eum spargerent, ad eum destinavit. ab orthodoxis vero synodo bene affectis, dei providentia baptizatus, Severianis episcopis a vero fidei sensu eum divertere studiose machinantibus, ipse Alamundarus arte mira commento hocce proposito eos coarguit. hodie, inquit ad eos, accepi litteras, quibus archangelum Michaelem obiisse hoc eodem die nunciatur. respondentibus illis, rem esse quae fieri nequiret: ad eos tribuum princeps convertit sermonem: et quomodo, ait, purus merusque deus iuxta mentem vestram fuit cruci suffixus, nisi duabus ex naturis constiterit Christus: quandoquidem neque angelus leto potest extingui? atque ita cum dedecore Severiani episcopi discesserunt. Cabades porro quibusdam per Persidem Christianis poplitum succidit nervos, qui nihilo secius postmodum recta processerunt.

Ῥώμης ἐπισκόπου Ὁρμίσδα ἔτος α'. A.M. 6006

Τούτῳ τῷ ἔτει Βιταλιανὸς παραλαβὼν πᾶσαν τὴν Θρᾴκην καὶ Σκυθίαν καὶ Μυσίαν, ἔχων μεθ' ἑαυτοῦ πλήθη Οὔννων καὶ Βουλγάρων, παρέλαβεν τὴν Ἀγχίαλον καὶ τὴν Ὀδυσσόπολιν, πιάσας καὶ τὸν Κύριλλον τὸν στρατηλάτην Θρᾴκης, καὶ ἦλθεν πραιδεύων ἕως τοῦ Βυζαντίου. φειδόμενος δὲ τῆς πόλεως ἐν Σωσθενίῳ ἐστρατοπέδευσεν. Ἀνασιάσιος δὲ ἀπο- C γνοὺς πέμπει τινὰς τῆς συγκλήτου παρακαλῶν εἰρηνεῦσαι αὐτόν· καὶ ὤμοσεν σὺν τῇ συγκλήτῳ, καὶ τοὺς ἐξορισθέντας ἐπισκόπους ἀνακαλεῖσθαι ἐν Ἡρακλείᾳ τῆς Θρᾴκης. ὁ δὲ Βιταλιανὸς προσέθηκεν, ἵνα καὶ οἱ πρίγκιπες ἑκάστης σχολῆς ὀμόσωσι τοῦτο· καὶ Μακεδόνιος καὶ Φλαβιανὸς οἱ ἀδίκως ἐκβληθέντες ἀπολάβωσι τοὺς ἰδίους θρόνους, ὁμοίως καὶ πάντες V. 110 οἱ λοιποὶ ἐπίσκοποι, καὶ οὕτως συγκροτηθῇ ἡ σύνοδος, ἐρχομένου καὶ τοῦ Ῥώμης, καὶ πάντων τῶν ἐπισκόπων, καὶ οὕτω κοινῇ κρίσει ἐξετασθῇ τὰ κατὰ τῶν ὀρθοδόξων τολμηθέντα. τοῦ δὲ βασιλέως καὶ τῆς συγκλήτου καὶ τῶν λοιπῶν ἀρχόντων τε καὶ λαῶν ὁμοσάντων, καὶ βεβαιωσάντων ταῦτα οὕτως γίνεσθαι, εἰρήνη γέγονεν, καὶ ἐπανέζευξεν ἐπὶ τὰ ἴδια. Σε- D κουνδιανὸς δὲ ὁ πατρίκιος ὁ γαμβρὸς Ἀναστασίου ἐπ' ἀδελφῇ,

9. αὐτῷ καὶ ὁμόσαι b. 13. ἀπολάβωσι τ. ἰδ. θρ. ὁμ. om. A. 14. κροτηθῇ A. 15. τῶν add. ex A. 16. ἐξετασθῇ A, ἑτοιμασθῇ e, δοκιμασθῇ vulg.

Romae episcopi Hormisdae annus primus. A.C. 506

Hoc anno Vitalianus occupata universa Thracia, Scythia et Mysia, ducens secum ingentem Unnorum et Bulgarorum numerum cepit Anchialum et Odyssopolim, ipsumque Thracicae militiae magistrum Cyrillum, praedis quaqua versus ad Byzantium usque abactis, comprehendit. at cum urbi parceret, ad Sosthenium castra metatus est. Anastasius rebus in desperatis senatorii ordinis nonnullos qui de pace agenda eum rogarent, misit: iuravitque una cum universo senatu episcopos exules Heracleam Thraciae se revocaturum. his additum voluit Vitalianus, ut uniuscuiusque scholae principes idem iureiurando assererent: atque ut Macedonius et Flavianus propriis thronis iniuste expulsi, eos reciperent, ac reliqui pariter episcopi suos: et ita demum convocaretur synodus, ad quam pontifex Romanus et cuncti accederent episcopi: ut hoc pacto quae adversus orthodoxos perperam decreta fuissent, communis iudicii subiicerentur examini. imperatore vero et universo senatu et magistratuum populique reliquis iusiurandum interponentibus, et data fide res ordine exposito gerendas affirmantibus, pax conciliata, et ipse domum repetiit. porro Secundianus patricius Anastasii ex sorore gener, et Hypatii pater, ad Vitaliani

πατὴρ δὲ Ὑπατίου, εἰς τοὺς πόδας Βιταλιανοῦ προσπεσὼν πολλοῖς δάκρυσιν, Ὑπάτιον τὸν ἴδιον υἱὸν ἐκ τῶν ἐν Μυσίᾳ δεσμῶν ζῶντα ἀπέλαβεν. Ὁρμίσδας δὲ ὁ ἐπίσκοπος Ῥώμης ὀχλούμενος ὑπὸ Θευδερίχου χαριζομένου Βιταλιανῷ, Εὐόδιον τὸν ἐπίσκοπον ἔπεμψεν καὶ τὸν Βιταλιανὸν ἀρχιδιάκονον ἐν
P. 138 τῷ κροτηθῆναι τὴν ἐν Ἡρακλείᾳ σύνοδον. ἦλθον δὲ καὶ ἐπίσκοποι ὡς διακόσιοι ἐκ διαφόρων τόπων· οἵ τινες ἐμπαιχθέντες ὑπὸ τοῦ παρανόμου βασιλέως καὶ Τιμοθέου ἐπισκόπου Κωνσταντινουπόλεως ἀνεχώρησαν ἄπρακτοι. ὁ γὰρ ἀσεβὴς βασιλεὺς παραβὰς τὰς συνθήκας, λάθρα ἐδήλωσεν τῷ πάππᾳ Ῥώμης μὴ παραγενέσθαι. τῷ γὰρ Βιταλιανῷ σάκραν ἦν πέμψας τοῦ πέμψαι αὐτὴν εἰς Ῥώμην πρὸς τὸ παραγενέσθαι τὸν πάππαν ἐπὶ τὸ κροτηθῆναι σύνοδον ἐν Ἡρακλείᾳ. πᾶς δὲ ὁ λαὸς καὶ ἡ σύγκλητος παρρησίᾳ ἐλοιδόρουν Ἀναστάσιον ὡς ἐπίορκον. ὁ δὲ παράνομος ἀναιδῶς ἔλεγεν νόμον
B εἶναι κελεύοντα βασιλέα κατ' ἀνάγκην ἐπιορκεῖν καὶ ψεύδεσθαι. ταῦτα ὁ παρανομώτατος μανιχαιόφρων.

A.M. 6007 Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἀγανακτήσας κατὰ Ἀναστασίου διὰ τὴν ἐπιορκίαν πολλὰ κακὰ τοῖς ὑπὸ Ἀναστάσιον στρατοπέδοις, καὶ τῇ λοιπῇ πολιτείᾳ ἐπεδείκνυτο, ἀναιρῶν καὶ

2. Ὑπάτιον om. A a. 4. χαριζομένου A b, χαριζόμενος vulg. Ἐνόδιον A. 5. ἐν τῷ] εἰς τὸ κρ. A. 7. ὡς om. A. 11. πάππᾳ h. l. et infra A. παραγενέσθαι A, παραγίνεσθαι vulg. 14. ὁ add. ex A. 19. διὰ τὴν A e, δι' αὐτὴν vulg. ὑπὲρ Ἀναστ. A e.

pedes procidens, multis lacrymis Hypatium proprium filium ex vinculis, quibus tenebatur in Mysia, liberum et salvum recepit. caeterum Hormisdas Romanus episcopus a Theudericho sollicitatus, qui Vitaliano favebat, Euodium episcopum et Vitalianum archidiaconum, indicto Heracleae concilio, legatos misit. accesserunt etiamnum ex diversis locis episcopi circiter ducenti: qui tam a scelesto imperatore, quam a Timotheo Cpoleos episcopo delusi, re infecta recessere. impius siquidem imperator, pactis violatis, ad papam Romae ne venirent clam significavit: aliunde vero Vitaliano sacram Romae mittendam dederat, qua papam ad concilium Heracleae celebrandum ut accederet dolose invitabat. plebs autem omnis et senatus universus Anastasium ceu periurum conviciis impetebat. ad quae nefarius ille impudentissime dicebat: haberi legem, quae imperatorem in necessitate constitutum peierare ac mentiri iubeat. haec ille scelestus Manichaeorum discipulus.

A. C. 507 Hoc anno Anastasii periuriis irritatus Vitalianus in eius exercitus et reliquam omnem rempublicam multa mala exercuit: caedibus enim,

ἁρπάζων, καὶ ἀφοπλίζων, καὶ τέλος πρὸς ὕβριν ἕκαστον στρατιώτην μιᾶς φόλλεως ἐπίπρασκεν.

Τούτῳ τῷ ἔτει Οὖννοι οἱ λεγόμενοι Σαβὴρ περάσαντες A.M.6008
τὰς Κασπίας πύλας τὴν Ἀρμενίαν ἐξέδραμον, Καππαδοκίαν C
τε καὶ Γαλατίαν καὶ Πόντον ληϊζόμενοι, ὡς καὶ Εὐχαΐταν μικροῦ δεῖν παραστήσασθαι. ὅθεν καὶ φυγὼν ὁ ἱερὸς Μακεδόνιος κινδυνεύων σχεδὸν εἰς Γάγγραν διεσώθη. ὅπερ μαθὼν Ἀναστάσιος πικρῶς προσέταξεν αὐτὸν ἐκεῖ φυλάττεσθαι, πέμψας, ὥς φασι, καὶ τὸν ἀναιροῦντα αὐτόν. τελειωθεὶς δὲ ἐν D
Γάγγραις κατετέθη ἐν τῷ ναῷ τοῦ ἁγίου μάρτυρος Καλλινίκου ἔγγιστα τῶν λειψάνων αὐτοῦ πολλὰς ἰάσεις ἐπιτελῶν. Μακεδονίου νεκροῦ κειμένου φασὶ τῇ χειρὶ κατασφραγίσασθαι τῷ σταυρῷ. Θεόδωρος δέ τις τῶν συνόντων αὐτῷ εἶδεν εἰς ὄναρ λέγοντα αὐτῷ· ἔκλαβε, καὶ ἀπελθὼν ἐπανάγνωθι Ἀνα-
στασίῳ, καὶ εἰπέ· ἐγὼ μὲν ἀπέρχομαι πρὸς τοὺς πατέρας μου, ὧν τὴν πίστιν τετήρηκα, οὐ παύσομαι δὲ ὀχλῶν τῷ δε- V. 111
σπότῃ ἄχρις οὗ ἔλθῃς, καὶ εἰς τὴν δίκην εἰσέλθωμεν.

Τῷ δ' αὐτῷ ἔτει ἐν Ἀλεξανδρείᾳ πλεῖστοι ἄνδρες καὶ P. 139
γυναῖκες καὶ παιδία δεινῶς πληγέντα ὑπὸ δαιμόνων ἀθρόως

2. φόλλεως A, φόλεως vulg. 3. οἱ add. ex. A. Σαβὴρ A a, Σαβῆρες b, Σαμὴν vulg. 5. Εὐχαΐταν A b e, Εὐχαΐτα vulg. 8. αὐτὸν add. ex A. ἐκεῖ] κακῶς b. 14. ἔχβαλε A. 17. ἄχρις οὗ A, ἄχρι σὺ vulg. 19. παιδία] νήπια e. πληγέντα A e, πληγέντες vulg.

rapinis et militum exautorationibus eos vexans, ad irrogandam demum maiorem contumeliam, singulis follibus singulos milites divendebat.

Hoc anno Unni, quibus Saber appellatio, Caspiarum portarum limitibus emensis, Armeniam suis incursionibus infestarunt; Cappadociamque et Galatiam et Pontum depopulati, ad Euchaïta usque, quae tantum haud subegerunt, progressi sunt: a quibus fugiens sacer Macedonius, et de vita ubique per viam periclitans, salvus tandem Gangram se recepit. viri salutem aegre audivit Anastasius, et sub custodia teneri iussit, misso etiam, ut ferunt, qui eum tolleret e medio. ita consummatus, Gangrae in templo sancti martyris Callinici, ad eius reliquias proximus, ubi morborum sanationes praestat, est reconditus. Macedonium mortuum ac iacentem narrant manu crucis sibi signum expressisse. Theodorus autem quidam ex eius familiaribus vidit eum per somnium sibi dicentem: excipe ista: et abiens lege coram Anastasio, et dic ei: ego quidem ad patres meos, quorum servavi fidem, vado: dominum autem interpellare non desinam, donec tu quoque adveneris, et ad iudicium subeundum una sistamus. A. C. 508

Hoc etiam anno virorum, mulierum, ac puerorum quam plurimi

ὑλάκτουν· καθ' ὕπνους δέ τις εἶδέν τινα φοβερὸν λέγοντα, ὅτι διὰ τοὺς ἀναθεματισμοὺς τῆς συνόδου ταῦτα πάσχουσι.

Τῷ δ' αὐτῷ ἔτει καὶ Ἀρεάδνη ἡ βασίλισσα ἐτελεύτησεν. οἱ δὲ μοναχοὶ τῆς ἐρήμου θείῳ ζήλῳ κινούμενοι τέσσαρας διαμαρτυρίας συντάξαντες, δύο μὲν ἔπεμψαν τῷ βασιλεῖ, μίαν δὲ τοῖς ἄρχουσι τῆς χώρας, καὶ μίαν τῷ ἐπισκόπῳ Ἱε-
B ροσολύμων Ἰωάννῃ, διαμαρτυρούμενοι, μήτε τῆς ἁγίας ἐν Χαλκηδόνι συνόδου παρεξελθεῖν, μήτε τῷ δυσσεβεῖ Σευήρῳ κοινωνῆσαι· ἐπεὶ πρὸς θάνατον ἑτοίμως ἔχουσιν, ἐμπυρίζοντες καὶ τοὺς ἁγίους τόπους. τοῦ δὲ ἐπισκόπου Θεσσαλονίκης διὰ φόβον τοῦ βασιλέως κοινωνήσαντος Τιμοθέῳ τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ, τεσσαράκοντα ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ καὶ τῆς Ἑλλάδος συνελθόντες εἰς ἕν, δι' ἐγγράφου ὁμολογίας, ὡς ἀπὸ ἰδίου μητροπολίτου, ἀπέστησαν ἀπ' αὐτοῦ, καὶ εἰς Ῥώμην πέμψαντες, τῷ Ῥώμης κοινωνεῖν ἐγγράφως
C συνέθεντο. τὸν Θεσσαλονίκης ἐπίσκοπον Θεόδωρος ἱστορικὸς πατριάρχην ὀνομάζει ἀλόγως, μὴ εἰδὼς τὸ διατί.

A.M. 6009 Τούτῳ τῷ ἔτει Ἰωάννου τοῦ Νικαιώτου ἐπισκόπου Ἀλεξανδρείας αἱρετικοῦ ἀποθανόντος, Διόσκορος ὁ μικρὸς Τιμο-

7. Ἰωάννῃ add. ex A. διαμαρτυρούμενοι A, διαμαρτυράμενοι vulg. 10. Θεσσαλονίκης A, Θεσσαλονικίας vulg. 11. φόβον A, φόβου vulg. 17. διατί: in A a 2. manu haec adduntur: ὀνομάζει αὐτὸν οὕτως. 19. ὁ μικρὸς om. A.

graviter a daemonibus vexati Alexandriae frequentius ululabant. per somnum autem quispiam vidit alium horrendae speciei virum dicentem: execrationum in synodum coniectarum causa haec patiuntur.

Hoc eodem anno imperatrix Areadna etiam mortua est. porro monachi deserta Palaestinae loca inhabitantes divino fervore accensi quatuor fidei scriptas ediderunt obtestationes; quarum duas quidem ad imperatorem, ad provinciae praefectos unam, et alteram ad Hierosolymorum episcopum miserunt, palam professi, a sancta Chalcedonensi synodo nullatenus se discessuros, neque cum impio Severo communionem habituros, quandoquidem vel ipsis sacris locis incendio consumpti mortem subire parati forent. episcopo vero Thessalonicensi ob imperatoris metum cum Timotheo Cpoleos episcopo communionem tenente, quadraginta Illyrici Graeciaeque episcopi una convenientes, tabulis etiam testibus professi sunt, ab eo, velut a proprio metropolita, se discedere, missisque Romam tabulis Romani pontificis communionem observare polliciti sunt. Theodorus historicus Thessalonicae episcopum appellat patriarcham: sed nulla prorsus ratione: nec cur ita scripserit, satis ipse novit.

A.C. 509 Hoc anno Ioanne Nicaeota Alexandriae episcopo haeretico vita

θέου τοῦ Αἰλούρου ἀνεψιὸς προεβλήθη ἐπίσκοπος Ἀλεξανδρείας. ἐλθὼν δὲ ἐν Βυζαντίῳ ὑπὲρ Ἀλεξανδρέων πρὸς τὸν βασιλέα πρεσβεύσασθαι διὰ τὸν φόνον τοῦ υἱοῦ Καλλιοπίου τοῦ αὐγουσταλίου, ἀπὸ τῶν ὀρθοδόξων δημοσίως ὑβρίζετο κατὰ πρόοδον νομιζόντων αὐτὸν κατὰ τῶν ὀρθῶν δογμάτων ἐληλυθέναι. πρεσβεύσας οὖν διὰ τὸν φόνον, μετὰ σπουδῆς D ἀνεχώρησεν. ἡ δὲ φόνου αἰτία γέγονεν αὕτη. χειροτονηθέντος Διοσκόρου, ἀνεχώρησαν τὰ πλήθη τῶν χωρικῶν λέγοντες· ὅτι εἰ μὴ καθὼς περιέχουσιν οἱ κανόνες τῶν ἁγίων ἀποστόλων, οὐ καθέζεται ἐπίσκοπος. ἦσαν γὰρ οἱ ἄρχοντες οἱ ἐνθρονίσαντες αὐτόν. ὁ δὲ Διόσκορος ἦλθεν εἰς τὸν ἅγιον Μάρκον. καὶ ἐλθόντες οἱ κληρικοὶ ἐνέδυσαν αὐτὸν ἐκ δευτέρου, καὶ πάλιν ἐχειροτόνησαν. καὶ οὕτως ἐλθὼν εἰς τὸν ἅγιον Ἰωάννην ἐπετέλεσεν τὴν σύναξιν. ὄντος δὲ ἐκεῖ Θεοδοσίου τοῦ υἱοῦ Καλλιοπίου τοῦ αὐγουσταλίου καὶ Ἀκακίου τοῦ στρατηλάτου, ἀτακτήσαντες οἱ ὄχλοι ἤρξαντο ὑβρίζειν τὸν αὐγουστάλιον, διὰ τὸ ἐπαινεῖν τὸν βασιλέα Ἀναστάσιον. ἀδείας δὲ P. 140 γενομένης εἰσπηδήσαντές τινες ἀπὸ τοῦ θρόνου καθεῖλον τὸν υἱὸν τοῦ αὐγουσταλίου, καὶ ἀνεῖλον αὐτόν. ὁ δὲ στρατηλάτης Ἀκάκιος ὅσους ἠδυνήθη πιάσαι, ἀνεῖλεν. καὶ ἀκούσας ὁ

6. φόνον] φόβον A f h. l. et infra. 8. σχωρικῶν f, κληρικῶν b. 10. οὐ add. ex A. οἱ ἄρχοντες οἱ om. A. ἐνθρονιάσαντες A. 17. τῆς δὲ ἀδείας A. 18. τινες om. A e.

functo, Dioscorus minor Timothei Aeluri nepos Alexandrinus praesul est institutus. pro Alexandrinis vero civibus apud imperatorem ob filii Calliopii augustalis necem legatione fungens, et Byzantium profectus, ab orthodoxis, qui adversus recta fidei sancita profectionem eum suscepisse arbitrabantur, publice per viam iter agens conviciis excipiebatur. ob caedem itaque memoratam officio legati perfunctus, confestim discessit. haec vero fuit perpetratae caedis causa. Dioscoro episcopo creato oppidanorum multitudo a reliquo ecclesiae coetu segregavit se, dicens: non sedet episcopus, nisi qui, prout sancti canones apostolici praescribunt, fuerit institutus. principis enim magistratus ad thronum eum subvexerant. igitur ad sancti Marci Dioscoro profecto, convenientes clerici vestibus iterum induerunt et ordinationis ritum circa eum iterato perfecerunt: atque ita ad sancti Ioannis progressus sacram synaxim obivit. cum vero filius Calliopii augustalis Theodosius et Acacius militiae magister istic adessent, turbae tumultuantes augustalem, quod Anastasium imperatorem laudasset, conviciis lacessere coeperunt: et deposito metu quidam impetu facto augustalis filium throno deturbatum interfecerunt. magister autem militiae Acacius quos apprehendere valuit, morte mulctavit.

βασιλεύς, ὠργίσθη κατ' αὐτῶν. ὁ δὲ Διόσκορος πρεσβεύσας, κατεπράϋνεν αὐτόν. μεταξὺ δὲ Ἰνδῶν καὶ Περσῶν κάστρον ἐστὶν ὀνόματι Τζουβδαδεὲρ, ἔνθα πολλὰ χρήματα καὶ λίθους
V. 112 τιμίους εἶναι πολλοὺς Καβάδης μαθών, ἐπεζήτει τοῦτο λαβεῖν. δαίμονες δὲ τῷ τόπῳ παρεδρεύοντες, ἐκώλυον αὐτὸ χειρωθῆ-
B ναι. πᾶσαν οὖν κινήσας τῶν παρ' αὐτῷ μάγων ἐπίνοιαν, ἔπειτα δὲ καὶ Ἰουδαίων, καὶ τοῦ σκοποῦ μὴ ἐπιτυχών, πεισθεὶς διὰ τῆς πρὸς θεὸν εὐχῆς τῶν Χριστιανῶν τούτου κυριεῦσαι, ἐπίσκοπόν τινα Χριστιανὸν τῶν ἐν Περσίδι περὶ τούτου παρεκάλεσεν, ὃς σύναξιν ἐπιτελέσας καὶ τῶν θείων μυστηρίων
μεταλαβών, προσελθὼν τῷ τόπῳ, τοὺς ἐκεῖσε δαίμονας ἐξεδίωξεν· καὶ τῷ Καβάδῃ τὸ κάστρον ἀπόνως παρέδωκεν· τούτῳ Καβάδης καταπλαγεὶς τῷ σημείῳ, πρωτοκαθεδρίᾳ τὸν ἐπίσκοπον ἐτίμησεν, ἕως τότε Μανιχαίων καὶ Ἰουδαίων προκα-
C θεζομένων, ἄδειαν δὲ παρέσχε καὶ τοῖς βουλομένοις βαπτίζεσθαι.

A.M. 6010 Ἀλεξανδρείας ἐπισκόπου Διοσκόρου ἔτος α'.

Τούτῳ τῷ ἔτει Ἀναστάσιος ὁ βασιλεὺς εἶδεν ἐν ὁράματι ἄνδρα φοβερὸν βαστάζοντα κώδικα· καὶ τοῦτον ἀναπτύξας,

3. Τζουβαδεὲρ A b, Τζουβαδὲρ a, Τζουβαδεσὲρ vulg. 6. παρ' αὐτοῦ A. 9. παρεκάλεσεν A, παρεσκεύασεν vulg. 13. πρωτοκαθεδρίᾳ τὸν ἐπίσκοπον] πρωτοκαθεδρίαν τῶν ἐπισκόπων A, πρωτοκαθεδρίαν τὸν ἐπίσκοπον vulg. 15. δὲ add. ex A.

eo nuncio accepto, in Alexandrinos ira motus est imperator. Dioscorus itaque ad eum legatione suscepta, animum emollivit. caeterum Indos inter et Persas castrum est nomine Tzubdadeser, quo ingentium pecuniarum et pretiosi lapidis quam plurimi congeriem repositam audiens Cabades, occupare contendebat. daemones autem circa locum excubantes, ne in hominum potestatem cederet, impedimento erant. admota itaque magorum et subinde Iudaeorum, quos penes se habebat, arte universa, nec proposito potitus, fusis ad deum Christianorum precibus, locum se posse consequi persuasus, Christianorum, qui Persidem incolunt, episcopum quendam praecepit adduci, qui synaxi peracta, divinorum particeps factus mysteriorum, et ad locum progressus, praesidiarios daemones ex eo expulit, et nullo labore Cabadi castrum tradidit. miraculo stupefactus Cabades, prima consessus sede episcopum voluit honoratum, Manichaeis et Iudaeis illuc usque primos honores obtinentibus. liberam quoque fecit potestatem, ut qui vellent, ad baptismum accederent.

A. C. 510 Alexandriae episcopi Dioscori annus primus.

Hoc anno Anastasius imperator virum terribilem in visione conspexit, codicem manu gestantem; quem cum aperuisset, et comperis-

καὶ εὑρὼν τὸ ὄνομα τοῦ βασιλέως, εἶπεν αὐτῷ· ἰδοὺ διὰ τὴν κακοπιστίαν σου ἀπαλείφω δεκατέσσαρα ἔτη, καὶ ἀπήλειψεν αὐτά. ἐξυπνισθεὶς δὲ καὶ προσκαλεσάμενος Ἀμάντιον τὸν πραιπόσιτον, εἶπεν αὐτῷ τὸ ὅραμα. ὁ δὲ εἶπεν. κἀγὼ ἐθεασάμην D ταύτῃ τῇ νυκτί, ὅτι παριστaμένου μου τῷ κράτει σου, χοῖρος μέγας ἐλθών, καὶ ἁρπάξαμένός μου τῆς χλαίνης, κατέρραξέν με εἰς γῆν καὶ ἀνήλωσεν. προσκαλεσάμενος δὲ Πρόκλον τὸν ὀνειροκρίτην ἐξεῖπεν αὐτῷ τὰ ὁραθέντα. ὁ δὲ εἶπεν αὐτοῖς· ὅτι ἀμφότεροι οὐ μετὰ πολὺ τελειοῦσθε· τοῦ δὲ ἐπισκόπου Κωνσταντινουπόλεως Τιμοθέου ἀποθανόντος Ἰωάννην τὸν Καππαδόκην πρεσβύτερον καὶ σύγκελλον Κωνσταντινουπόλεως ἐπίσκοπον προεχειρίσατο. οὗτος χειροτονηθεὶς τῇ τρίτῃ ἡμέρᾳ τοῦ πάσχα τὴν ἀποστολικὴν ἐνεδύσατο στολήν. ὁ δὲ λαὸς στάσιν πολλὴν ἐποίησεν τῷ Ἰωάννῃ τοῦ ἀναθεματίσαι Σεβῆρον.

Τῷ δ' αὐτῷ ἔτει, ἰνδικτιῶνι ια', μηνὶ Ἀπριλλίῳ θ', τε- P. 141
θνηκεν Ἀναστάσιος ὁ δυσσεβὴς βασιλεύς, βασιλεύσας ἔτη κζ' καὶ μῆνας ζ' τῷ σλδ' ἔτει ἀπὸ Διοκλητιανοῦ· καὶ ἐβασίλευσεν Ἰουστῖνος ὁ εὐσεβὴς βασιλεὺς ἀντ' αὐτοῦ, ἀνὴρ πρεσβύτης καὶ πολύπειρος, ἀπὸ στρατιωτῶν ἀρξάμενος καὶ ἕως τῆς συγκλήτου προκόψας, Ἰλλύριος τῷ γένει. τινὲς δέ φα-

2. δεκατέσσαρα ἔτη A, δεκατεσσάρεις vulg. 3. διυπνισθεὶς A. 16. θ'] ια' A e, κα' f.

set imperatoris nomen, dixit ei: ecce ob fidei tuae perversitatem annos quatuordecim deleo: totidemque delevit. experrectus Amantium praepositum vocat, et narrat visionem. dicit ille: ego quoque cernebam hac nocte astare me maiestati tuae, porcumque magnum irruentem chlamidemque meam prehendentem in terram me prostravisse, ac devorasse penitus. advocato itaque Proclo somniorum coniectori res visas enarrant. refert ille: brevi spatio uterque vestrum consummatur. Timotheo vero Cpoleos episcopo fatis functo, Ioannem Cappadocem presbyterum et syncellum Cpoleos instituerunt episcopum. hic ordinatus tertio paschatis die apostolicum induit amictum. populus autem multa importunitate contendebat a Ioanne, ut Severum anathemate perstringeret.

Hoc eodem anno, indictione undecima, mensis Aprilis nono, Anastasius impius imperator occubuit: exegit in imperio annos septem et viginti, mensesque septem, trigesimo quarto supra ducentesimum anno a Diocletiani imperio: in cuius locum Iustinus pius imperator, vir aetatis provectae, et expertus rerum, a militiae cingulo exorsus, et ad senatus usque ordinem promotus, Illyricus genere, suffectus est.

σιν ὅτι θείῳ σκηπτῷ κεραυνωθεὶς Ἀναστάσιος ἐμβρόντητος γέγονεν.

A.M.6011 Ῥωμαίων βασιλέως Ἰουστίνου, Κωνσταντινουπόλεως ἐπι-
B σκόπου Ἰωάννου ἔτος α'.

Τούτῳ τῷ ἔτει Ἰουστῖνος βασιλεύσας πᾶσιν ἄριστος ἀνε- 5
δείχθη, ζηλωτὴς ὀρθοδόξου πίστεως ἔμπυρος, καὶ ἐν πολέμοις εὐδοκιμῶν· σύμβιον δὲ ἔχων ὀνόματι Λουπικίαν, ἔστεψεν
V. 113 αὐγούσταν· ἣν οἱ δῆμοι ἐκάλεσαν Εὐφημίαν εἰς τὸ στέψαι αὐτήν. Βιταλιανὸς δὲ ὁ προρρηθεὶς μετὰ θάνατον Ἀναστα-
σίου Ἰουστίνῳ τῷ μεγάλῳ σφόδρα ᾠκειώθη, ὥστε στρατηλά- 10
C τον ἀξίαν παρ' αὐτοῦ δέξασθαι, καὶ ὑπατεῦσαι ἐλθόντα ἐν Βυζαντίῳ καὶ ὕπατον ἀναγορευθῆναι, καὶ κόμητα Πρεσέντου, παρρησίαν τε ἔχειν τοσαύτην πρὸς τὸν βασιλέα, ὥστε καὶ Σευῆρον προστάξαι ἐκβληθῆναι καὶ ἀναιρεθῆναι. λίαν γὰρ ἦν ὀρθόδοξος Βιταλιανός. ὁ δὲ Σευῆρος ἀκούσας, ἔφυγεν, 15
καὶ Ἰουλιανὸς Ἁλικαρνασσοῦ ἐπίσκοπος, καὶ εἰς Αἴγυπτον ἀπελθόντες, ταύτην ἐτάραξαν, τὸν περὶ φθαρτοῦ καὶ ἀφθάρτου λόγον κινήσαντες, Διοσκόρου ἐπισκοποῦντος Ἀλεξανδρείας. ἐπίσκοποι δὲ καὶ κληρικοὶ ἀπὸ Ῥώμης ἦλθον λαβόντες ἀνάθεμα ὑπὸ Ὁρμίσδου ἐπισκόπου Ῥώμης, σπουδῇ Βιταλιανοῦ, 20
D

1. σκηπτρῷ A. 6. ἔμπυρος A, ἔμπειρος vulg. 7. Λουκίαν A. 8. Εὐφημίαν οἱ Λῆμοι ἐκάλεσαν στεφθεῖσαν αὐτὴν Αὐγούσταν b. 12. Περσέντου A. 19. ἦλθον — — Ῥώμης om. A. 20. σπουδῇ Βιταλιανοῦ, Ἰωάννου A, ὑπὸ Βιταλιανοῦ ἔτι ζῶντος, Ἰωάννου vulg.

quidam autem autumant Anastasium fulmine de caelo tactum mentis stupore e vivis excessisse.

A.C.511 Romanorum imperatoris Iustini, Cpoleos episcopi Ioannis annus primus.

Hoc anno Iustinus imperii summam adeptus optimum se omnibus exhibuit. fuit rectae fidei studiosus et belli gloria praeclarus. uxori vero nomine Lupiciae coniunctus, eidem imperii coronam impertiit, quam, dum redimiretur, Euphemiam populares tribus vocaverunt. memoratus autem supra Vitalianus post Anastasii mortem Iustino magno devinctissimus evasit, adeo ut magistri militiae dignitatem ab eo consequeretur, et Byzantium profectus consulatum gereret, et consul declararetur et Presenti comes, tantaque apud imperatorem auctoritate polleret, ut Severum expelli iuberet et occidi. fuit enim Vitalianus rectae fidei bene affectus. eo nuncio accepto, fugit Severus, ac pariter Iulianus Halicarnassi episcopus, et Dioscoro Alexandrinum adhuc episcopatum administrante in Aegyptum profecti de corruptibili et incorrupto motis quaestionibus magnos in ea tumultus excitarunt.

Ἰωάννου τοῦ Καππάδοκος ἔτι ζῶντος ἐπισκόπου Κωνσταντινουπόλεως, καὶ τὴν ἁγίαν ἐν Χαλκηδόνι σύνοδον σύνεταξαν τοῖς διπτύχοις πρὸς ταῖς ἄλλαις ἱεραῖς τρισὶ συνόδοις. Σευήρου δὲ τοῦ δυσσεβοῦς ἐκ ποδῶν γεγονότος, Παῦλος ἐχειροτονήθη ἐπίσκοπος Ἀντιοχείας ὁ Ξενοδόχος τῶν Εὐβούλου. καὶ ἐδωρήσατο ὁ βασιλεὺς τῇ πόλει Ἀντιοχείας χιλίας λίτρας χρυσίου· καὶ ταῖς ἄλλαις δὲ πόλεσι πολλὴν εὐνομίαν παρέσχεν, κωλύσας καὶ τὰς δημώδεις ταραχάς. Ξεναΐαν δὲ τὸν Φιλόξενον ἐπίσκοπον Ἱεραπόλεως μανιχαιόφρονα ὄντα, καὶ Πέτρον P. 142
Ἀπαμείας ἐξώρισεν ὁ εὐσεβὴς βασιλεὺς Ἰουστῖνος σὺν πᾶσι τοῖς μετέχουσι τῆς λώβης αὐτῶν. Ἀμάντιόν τε τὸν πραιπόσιτον, καὶ Ἀνδρέαν τὸν κουβικουλάριον, καὶ Θεόκριτον τὸν κόμητα Ἀμαντίου, ὃν ἐβούλετο ποιῆσαι βασιλέα, ὡς τυραννίδα μελετήσαντας, ἀνεῖλεν. ὁ γὰρ πραιπόσιτος δέδωκε Ἰουστίνῳ χρήματα ῥογεῦσαι, ὅπως Θεόκριτος βασιλεύσῃ. ὁ δὲ στρατὸς καὶ οἱ δῆμοι οὐχ εἵλοντο τὸν Θεόκριτον βασιλεῦσαι, ἀλλ' Ἰουστῖνον ἀνεκήρυξαν. αὐτοὶ δὲ δυσφορήσαντες τυραννίδα ἐμελέτησαν, καὶ ἀνῃρέθησαν. ἀνεκαλέσατο δὲ ὁ βασιλεὺς πάντας τοὺς ἀδίκως ἐξορισθέντας ὑπὸ Ἀναστασίου καὶ B

2. συνέταξαν A, συνετάξαντο vulg. 15. Θεόκριτος A, Θεόκριτον vulg. 16. στραιηλάτης A e. 19. τοὺς ἀδ. A, τοῦ ἀδ. vulg.

caeterum episcopi et clerici Roma venerunt, qui Hormisdae Romani pontificis auctoritate muniti, freti quoque Vitaliani adhuc viventis potentia et Ioannis Cappadocis Cpoleos episcopi etiam superstitis diligentia, sanctam Chalcedonensem synodum aliis tribus sacris synodis annumeraverunt, et una cum eis in sacras tabulas retulerunt. caeterum impio Severo de medio sublato, Paulus recipiendis peregrinis in Eubulorum domo praepositus, Antiochiae praesul ordinatus est: mille vero auri libras Antiochenae civitati largitus imperator, in reliquas urbes multa passim aequitate est usus, et populares tumultus ubique compescuit. Xenaïam quoque, Philoxenum nomine, Hierapoleos episcopum cum Manichaeis sentientem, Petrumque Apameae, cum omnibus eodem contagio afflatis in exilium pius imperator expulit: et Amantium praepositum et Andream cubicularium et Theocritum Amantii comitem, quem imperatorem declarare proponebat, ceu tyrannidem meditatos, interfecit. praepositus enim pecunias Iustino donaverat in milites distribuendas, ea conditione, ut Theocritum imperatorem salutaret: exercitus vero populique tribus Theocritum imperare non sunt passi, sed Iustinum principem renunciaverunt: quod illi graviter ferentes, et tyrannidem excitare aggressi, interfecti sunt. cunctos demum ab Anastasio inique relegatos ab exilio revocavit imperator,

Ἀππίωνα τὸν πατρίκιον, ὃν ἐν Νικαίᾳ πρεσβύτερον βίᾳ ἐχειροτόνησαν· ὃν ὁ βασιλεὺς ὡς ἐχέφρονα ἐποίησεν ὕπαρχον τῶν πραιτωρίων, καὶ Διογενιανὸν τῆς ἀνατολῆς στρατηλάτην.

Τῷ δ' αὐτῷ ἔτει ἐφάνη ἀστὴρ ἐν τῇ ἀνατολῇ φοβερὸς κομήτης, ὃς εἶχεν ἀκτῖνα ἐκπέμπουσαν ἐπὶ τὰ κάτω, ὃν ἔλεγον οἱ ἀστρονόμοι πωγωνίαν εἶναι [καὶ ἐφοβοῦντο].

A.M. 6012 Ἀντιοχείας ἐπισκόπου Παύλου ἔτος α'.

C Τούτῳ τῷ ἔτει Βιταλιανὸς ἐδολοφονήθη ὑπὸ τῶν Βυζαντίων μηνιώντων αὐτῷ διὰ τὸ πολλοὺς ἀνῃρηκέναι τῷ καιρῷ τῆς ἐπαναστάσεως αὐτοῦ κατὰ Ἀναστασίου. Ἰωάννου δὲ τοῦ Καππάδοκος ἐπισκόπου Κωνσταντινουπόλεως τελευτήσαντος, Ἐπιφάνιος πρεσβύτερος τῆς αὐτῆς ἐκκλησίας καὶ σύγκελλος ἐχειροτονήθη μηνὶ Φεβρουαρίῳ κε'. ὁμοίως καὶ Ὁρμίσδα τῆς Ῥώμης κοιμηθέντος Ἰωάννης τὴν ἐπισκοπὴν διεδέξατο.

Τῷ δ' αὐτῷ ἔτει ἐδημοκράτησεν τὸ Βένετον μέρος, ἐν D πάσαις ταῖς πόλεσι ταραχὰς ἐγείραντες καὶ λιθασμοὺς καὶ φόνους πολλοὺς ἀπεργαζόμενοι. ἐπήρχοντο δὲ καὶ τοῖς ἄρχουσιν. ἀπὸ δὲ Ἀντιοχείας ἦχθη τὸ κακὸν τῆς ἀταξίας, καὶ

1. πατρίκιον] πρεσβύτερον b e. πρεσβύτερον add. ex A. ἐχειροτόνησαν a, ἐχειροτόνησεν vulg. 3. τῶν πραιτωρίων A; τῷ πραιτωρίῳ vulg. 6. ἐκπέμπουσαν A e, πέμπουσαν vulg. 7. οἱ add. ex A. καὶ ἐφοβοῦντο om. A f. 10. μηνιόντων A. ἀνῃρηκέναι A, ἀναιρεθῆναι vulg. 14. ὁμοίως καὶ A, ὁμοίως δὲ vulg. 19. καὶ οὕτως — — ἐπεκράτησεν om. A.

Appionem in primis patricium, quem invitum Nicaeae iusserat ille ordinari: hunc vero Iustinus velut prudentem et cordatum virum praetorio praefectum et Diogenianum militiae magistrum in oriente creavit.

Hoc etiam anno stella apparuit in oriente, terribilis nimirum cometa, e quo radii inferius demissi protendebantur: barbatum dicebant astronomi, et ab eo cunctis metuebant.

A. C. 512 Antiochiae episcopi Pauli annus primus.

Hoc anno Vitalianus a Byzantinis dolo interfectus est: quod enim rebellionis eius in Anastasium tempore plurimae caedes fuissent editae, graviter ei succensebant. Ioanne porro Cappadoce Cpoleos episcopo defuncto, Epiphanius eiusdem ecclesiae presbyter et syncellus mensis Februarii die vigesimo quinto fuit ordinatus: et Hormisda pariter leto quiescente, Ioannes Romae episcopatum excepit.

Hoc etiam anno Veneta factio, variis per omnes civitates tumultibus excitatis, plurima saxis facta lapidatione, multisque caedibus editis per civitates omnes, reliquum sibi populum subegit, et in magistratus

οὕτως διεδόθη ἐν πάσαις ταῖς πόλεσι, καὶ ἐπεκράτησεν ἐπὶ χρόνους πέντε, καὶ ἔσφαζον τοῖς ξίφεσιν τοὺς ἀπαντῶντας Πρασίνους, καὶ τοὺς κατ' οἶκον κρυπτομένους· ἀνιόντες δὲ ἐφόνευον, μὴ τολμώντων τῶν ἀρχόντων ἐκδίκησιν τῶν φόνων ποιῆσαι. ταῦτα δὲ ἐπράττοντο ἕως ἔτους ἕκτου Ἰουστίνου τοῦ εὐσεβοῦς. V. 114

Κωνσταντινουπόλεως ἐπισκόπου Ἐπιφανίου, Ἀλεξανδρείας ἐπισκόπου Τιμοθέου ἔτος α'. A.M. 6013 P. 143

Τούτῳ τῷ ἔτει πολέμου κινηθέντος μεταξὺ Ῥωμαίων καὶ Περσῶν Ἰουστῖνος ἀπέστειλε πρέσβεις καὶ δῶρα πρὸς Ζιλίγδην τὸν ῥῆγα τῶν Οὔννων, καὶ συνέθετο μεθ' ὅρκων πατρίων συμμαχῆσαι τῷ βασιλεῖ κατὰ Περσῶν. ἀποστείλας δὲ καὶ Καβάδης πρὸς αὐτόν, συνέθετο καὶ αὐτῷ. τοῦτο δὲ μαθὼν ὁ Ἰουστῖνος, ἐλυπήθη σφόδρα. ἀπέστειλεν δὲ πρὸς τοὺς Πέρσας ὁ Ζιλίγδης μετὰ χιλιάδων εἴκοσι τοῦ πολεμῆσαι Ῥωμαίους. ὃ δὲ Ἰουστῖνος ἐδήλωσε Καβάδῃ τῷ βασιλεῖ Περσῶν πρεσβεύων περὶ εἰρήνης, καὶ ὡς ἐπ' ἄλλῳ τινὶ γράψας, καὶ περὶ Ζιλίγδη, ὅτι συμμαχίας ὅρκους ἔχει μετὰ Ῥωμαίων, καὶ ὅτι δῶρα ἔλαβεν πολλά, καὶ βούλεται προδότης γενέσθαι τῶν Περσῶν, καὶ ὅτι δεῖ ἡμᾶς ἀδελφοὺς ὄντας εἰς φιλίαν B

10. Ζιλίγβην A e passim. 13. καὶ αὐτῷ] fort. καὶ αὐτός. 14. ἀπέστειλεν] ἀπῆλθεν b.

ipsos temere sese extulit. Antiochiae vero seditionis malum primo natum, in reliquas deinde civitates derivatum est, et per annos quinque invaluit: gladiis vero Prasinos obviam sibi factos, atque etiam per domos sese occulentes, ipsi intro se immittentes obtruncabant, magistratibus de tot caedibus poenas sumere non audentibus. haec autem ad sextum usque pii Iustini annum facinorose gerebantur.

Cpoleos episcopi Epiphanii, Alexandriae episcopi Timothei annus primus. A. C. 513

Hoc anno Persas inter et Romanos bello revocato, Iustinus legatos et munera ad Ziligdem Unnorum regem destinavit: ille, interpositis ex patrio more iuramentis, adversum Persas imperatori suppetias ferre promisit. aliis porro a Cabade una cum missa legatione acceptis, cum eo pariter praeliari spopondit. nuncio accepto graviter offensus est Iustinus. ad bellum itaque contra Romanos movendum misit Ziligdes hominum viginti millia: Justinus novo de pace tractatu per legatos instaurato, datisque quasi super alia re litteris, Cabadi Persarum regi de Ziligde, ut Romanis auxilia daturum etiam cum iuramento pactus fuerit, significat: in eum finem dona plurima accepisse, Persas Romanis prodere meditari: nos itaque velut fratres, inquit, in amicitiam redire, et a canibus istis hoc pacto minime deludi oportet.

ἐλθεῖν, καὶ μὴ ὑπὸ τῶν κυνῶν τούτων οὕτως παίζεσθαι. ὁ δὲ Καβάδης ἐπηρώτησε κατ' ἰδίαν τὸν Ζιλίγδην, εἰ ἔλαβεν παρὰ Ῥωμαίων δῶρα, προτραπεὶς κατὰ Περσῶν; ὁ δὲ εἶπεν·
C ναί. καὶ ὀργισθεὶς ὁ Καβάδης ἐφόνευσε αὐτόν, καὶ διὰ τῆς νυκτὸς πέμψας πλήθη Περσῶν, ἀνεῖλεν τὸν λαὸν αὐτοῦ, ὑπο- 5
νοήσας, ὅτι δόλῳ ἦλθον πρὸς αὐτόν. ὅσοι δὲ ἠδυνήθησαν φυγεῖν, ἀνέζευξαν εἰς τὰ ἴδια.

Εὐφράσιος δὲ ὁ Ἀντιοχείας τὴν ἐν Χαλκηδόνι σύνοδον ἐξέβαλε τῶν διπτύχων, καὶ τὸ ὄνομα Ὁρμίσδα τοῦ πάππα Ῥώμης. μετὰ δὲ ταῦτα φοβηθείς, τὰς τέσσαρας συνόδους 10
ἐκήρυττεν.

Καβάδης δὲ ὁ τῶν Περσῶν βασιλεὺς τὸν τῶν Ῥωμαίων βασιλέα ἐπίτροπον τοῦ ἑαυτοῦ οἴκου καταλιπεῖν ἠθέλησεν· οὐ γὰρ ἐβούλετο τὸν πρεσβύτερον αὐτοῦ υἱόν, καὶ ὁ νόμος Περσῶν ἐκώλει τοῦ ἄρξαι, οὐδὲ τὸν δεύτερον, διότι τὸν 15
D ὀφθαλμὸν ἐκκέκοπτο, Χοσρόην δὲ ὡς ἐκ τῆς Ἀσπέδου ἀδελφῆς γεννηθέντα ἠγάπα ὁ πατήρ. ἔδοξεν οὖν αὐτῷ εἰς Ῥωμαίους εἰρηνεῦσαι· καὶ Χοσρόην ἐποιεῖτο παῖδα τοῦ βασιλέως γενέσθαι· ἐπὶ τούτοις πρέσβεις εἰς τὸ Βυζάντιον πρὸς Ἰουστῖνον ἔπεμψεν. ὁ δὲ βασιλεὺς τὴν σύγκλητον εἰς βουλὴν 20
καλέσας οὐ κατεδέξατο τοῦτο γενέσθαι, δόλον καὶ προδοσίαν

1. οὕτως om. A. 2. ἐπηρώτησε] ἐδήλωσε A. 6. ἦλθον A, ἦλθεν vulg. 8. ὁ add. ex A. 9. Ὁρμίσδα add. ex A. 16. ἐκέκοπτο A. Ἀσπέβου A, Ἀσπεβέδου a, Ἀσπεύδου e, ὃς ἐκ τῆς ἀδελφῆς Ἀσπεβέδου ἐγεννήθη b. 18. ἐποιεῖτο τὸν παῖδα A b.

Cabades igitur Ziligdem seorsim interrogat, num ita deludentibus Persis, accepisset a Romanis munera? ita est: respondet ille. his exarsit Cabades, et ipsum interfecit: missisque per noctem Persarum agminibus copias eius delevit, eum dolo ductum ad se accessisse suspicatus. ii demum quibus fuga permissa est domum redierunt.

Euphrasius autem Antiochenus Chalcedonensis synodi patrum et ipsius papae Romani nomina diptychis expunxit. postmodum vero metu poenitens redditus, quatuor synodos publice promulgavit.

Caeterum Cabades Persarum rex Romanorum imperatorem domus suae curatorem instituere proposuit: maiorem quippe natu filium, quem Persarum leges ad regnum vocabant, vel ab eo secundum, quod oculus ei foret effossus, regnare noluit: Chosroem autem ex Aspede sorore susceptum diligebat pater. quare cum Romanis pacem habere decrevit, et Chosroem imperatoris filium instituere meditatus, Byzantium legatos ad Iustinum mittit. imperator adoptivum ex senatus consilio eum fieri non admisit: merum enim dolum Romanorumque perni-

Ῥωμαίων τοῦτο καλοῦντες, Πρόκλου κοιαίστωρος ἀνδρὸς συνετοῦ καὶ ἀγχίνου τοῦτο καλῶς βουλευσαμένου.

Τούτῳ τῷ ἔτει ἔπαθεν ὑπὸ θεομηνίας τὸ Δυρράχιον πόλις τῆς νέας Ἠπείρου τοῦ Ἰλλυρικοῦ. ὁ δὲ βασιλεὺς πολλὰ χρήματα παρέσχεν εἰς ἀνανέωσιν τῆς πόλεως. ὁμοίως δὲ καὶ ἡ Κόρινθος μητρόπολις τῆς Ἑλλάδος, καὶ ταύτην μεγάλως ἐφιλοτιμήσατο. A.M. 6014 P. 144 V. 115

Ἀντιοχείας ἐπισκόπου Εὐφρασίου ἔτος α'. A.M. 6015

Τούτῳ τῷ ἔτει Τζάθος ὁ τῶν Λαζῶν βασιλεὺς ἀποστατήσας τῆς τῶν Περσῶν βασιλείας, Καβάδου βασιλεύοντος, καὶ φιλοῦντος τὸν Τζάθον, ὡς καὶ προβαλλόμενον αὐτὸν βασιλέα τῶν Λαζῶν, ἦλθεν πρὸς Ἰουστῖνον εἰς τὸ Βυζάντιον, καὶ παρεκάλεσε τὸν βασιλέα Χριστιανὸν αὐτὸν γενέσθαι, καὶ ὑπ' αὐτοῦ ἀναγορευθῆναι βασιλέα τῶν Λαζῶν. ὁ δὲ βασιλεὺς αὐτὸν μετὰ χαρᾶς δεξάμενος ἐφώτισεν αὐτόν, καὶ υἱὸν ἀνηγόρευσεν. ἔγημε δὲ καὶ γυναῖκα Ῥωμαίαν, τὴν ἔγγονον Ὁμοῦ τοῦ πατρικίου καὶ ἀποκουροπαλάτου, Οὐαλερίαν, ἥντινα καὶ εἰς τὴν ἰδίαν χώραν ἔλαβεν, προχειρισθεὶς παρὰ Ἰουστίνου βασιλεὺς τῶν Λαζῶν, φορέσας στέφανον καὶ χλανίδα B C

2. ἀγχίνου A, ἀγχίνους vulg. 6. καὶ ταύτην A, καὶ αὐτὴν vulg. 9. ἀποστὰς e. 11. αὐτὸν βασ. τῶν Λ. ἦ. π. Ἰουστῖνον om. A. 16. τὴν ἐγγόνην Νομοῦ b. 17. Οὐαλερίαν ἥντινα καὶ b, Οὐαλεριανὴν τινα, καὶ vulg. 19. χλανίδα A, χλανύδα vulg.

ciem, Proclo quaestore viro prudente ac sagaci praeclare id suadente, eiusmodi arte parari persenserunt.

Hoc anno Dyrrhachium novae Epiri in Illyrico civitas plagam caelitus immissam accepit. imperator vero vim pecuniarum ingentem ad civitatis instaurationem erogavit. parem cladem passa est Corinthus Graeciae metropolis; et in eam magna quoque liberalitate usus est. A. C. 514

Antiochiae episcopi Euphrasii annus primus. A. C. 515

Hoc anno Tzathus Lazorum rex regni Persarum desertor factus, Cabade regnante, atque adeo ipsum amante, ut in Lazorum regnum eum extulisset, ad Iustinum Byzantium veniens, Christianum fieri, et ab eo Lazorum regem renunciari rogavit imperatorem. hunc imperator benigne acceptum baptismi lumine illustravit, et filium declaravit. Romanam vero duxit uxorem, Homi patricii et excuropalatae neptem, nomine Valeriam, quam demum Lazorum rex creatus in patriam duxit: discessit ille redimitus corona, et chlamyde, qualis est imperatoris, candida ornatus, cui superius tabula ex auro fuit adsuta, in qua Iustini imperatoris imago coloribus acu ductis depicta erat; et toga pariter candida auro Phrygionis arte affixo et imperatoris ef-

βασιλικὴν ἄσπρην ἔχουσαν ταυλὶν χρυσοῦν, ἐν ᾧ ἐκ κεντητοῦ ἐνεκεχάρακτο ἡ εἰκὼν τοῦ βασιλέως Ἰουστίνου, καὶ στιχάριν ἄσπρον ἔχον πλουμία χρυσᾶ, καὶ εἰκόνα τοῦ βασιλέως· τὰ γὰρ τζαγγία αὐτοῦ ῥούσια ἦσαν ἔχοντα μαργαρίτας Περσικῷ σχήματι· ὁμοίως καὶ ἡ ζώνη αὐτοῦ ἦν χρυσῆ διὰ μαργαρι- 5
τῶν. ἔλαβεν δὲ παρὰ τοῦ βασιλέως δῶρα πολλά, καὶ μετὰ χαρᾶς ἀπῆλθεν εἰς τὰ ἴδια. γνοὺς δὲ τοῦτο Καβάδης ὁ τῶν Περσῶν βασιλεὺς ἐδήλωσεν τῷ βασιλεῖ Ἰουστίνῳ, ὅτι φιλίας καὶ εἰρήνης μεταξὺ ἡμῶν οὔσης τὰ ἐχθρῶν πράττεις, καὶ τοὺς ὑπὸ τὴν ἐξουσίαν τῶν Περσῶν ὄντας ἀπ' αἰῶνος προσε- 10
D λάβου. ὁ δὲ βασιλεὺς ἀντιδηλοῖ αὐτῷ· ἡμεῖς τινὰ τῶν ὑποκειμένων τῇ βασιλείᾳ σου οὐ προσελαβόμεθα, οὔτε προστρεψάμεθα· ἀλλ' ἐλθὼν Τζάθος εἰς τὰ ἡμέτερα βασίλεια ἐδεήθη προσπίπτων ἡμῖν ῥυσθῆναι μυσαροῦ καὶ ἑλληνικοῦ δόγματος καὶ ἀσεβῶν θυσιῶν καὶ πλάνης δαιμόνων, καὶ προσελθεῖν τῷ 15
δημιουργῷ τῶν ὅλων θεῷ, καὶ γενέσθαι Χριστιανός. τοῦτον ἡμεῖς βαπτίσαντες ἀπελύσαμεν εἰς τὴν ἰδίαν χώραν. ἔκτοτε λοιπὸν ἐγένετο ἔχθρα μεταξὺ Ῥωμαίων καὶ Περσῶν.

Τῷ δ' αὐτῷ ἔτει καὶ τὰ κατὰ τὸν ἅγιον Ἀρέθαν καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθη ὑπὸ τῶν Ὁμηριτῶν, καὶ 20

2. ἐνεκεχάρακτο b, ἐνεχάρακτο A, ἐγκεχάρακτο vulg. 5. καὶ add. ex A. 6. τοῦ add. ex A. 12. τῇ βασιλείᾳ A a, τῆς βασιλείας b, τὴν βασιλείαν vulg. 13. ἀλλ' ἐλθὼν A, ἀνελθὼν vulg. 17. ἀπεστείλαμεν a. 20. Νεγρᾷ] Γαγγρᾷ b. ἐπράχθησαν A b.

figie conspicua: ocreolae quippe eius puniceae erant, margaritis more Persico distinctae; similiter et zona eius erat aurea gemmis inspersa. donis demum ab imperatore pluribus acceptis laetus domum reversus est. de his Cabades Persarum rex certior factus, imperatori Iustino significat: foedere et pace inter nos sancitis, quae decent hostes admittis, hominesque Persarum supra hominum memoriam omnem dominio subditos tibi recipis. imperator in adversum scribit: nullum regno tuo subiectum nobis vindicavimus, aut ad nos pelleximus. Tzathus tantummodo ad regiam nostram profectus, et pedibus nostris advolutus, ut ab execranda gentilium superstitione et ab impuris sacrificiis daemonumque fallaciis ereptus, ad deum rerum omnium conditorem accessum haberet, fieretque Christianus, rogavit. illum itaque baptismo lustratum in propriam sibi regionem subinde remisimus. ab eo tempore graves Romanos inter et Persas sequutae sunt discordiae.

Hoc etiam anno nefarium facinus adversus sanctum Aretham caeterosque urbis Negrae incolas admissum est, bellumque ab Elisbaa

πόλεμος Ἐλεσβαὰ τοῦ βασιλέως τῶν Αἰθιόπων πρὸς τοὺς Ὁμηρίτας, καὶ ἡ νίκη αὐτῶν. P. 145

Ῥώμης ἐπισκόπου Ἰωάννου ἔτος α'. A.M. 6016

Τούτῳ τῷ ἔτει Θευδέριχος κρατῶν τῆς Ῥώμης ἀρειανο- V. 116
φρονῶν ἐβιάσατο τὸν πάππαν Ἰωάννην ἐλθεῖν εἰς τὸ Βυζάντιον πρὸς τὸν βασιλέα Ἰουστῖνον, καὶ πρεσβεῦσαι ὑπὲρ Ἀρειανῶν, ὥστε μὴ ἀναγκάζειν αὐτοὺς ἐξίστασθαι τῆς αἱρέσεως αὐτῶν· ἐπεὶ καὶ Θευδέριχος εἰς τοὺς κατὰ τὴν Ἰταλίαν ὀρθοδόξους τοῦτο ποιεῖν ἠπείλει. ὁ δὲ Ἰωάννης ἐλθὼν ἐν Βυ- B
ζαντίῳ, καὶ προτραπεὶς ὑπὸ Ἐπιφανίου τοῦ πατριάρχου, οὐ κατεδέξατο, ἕως προεκάθισεν τοῦ Ἐπιφανίου ὁ Ῥώμης. ὁ δὲ Ἰωάννης πᾶσι μὲν τοῖς ἐπισκόποις ἐκοινώνησεν, Τιμοθέῳ δὲ Ἀλεξανδρείας οὐκ ἐκοινώνησεν· Καβάδης δὲ ὁ τῶν Περσῶν βασιλεὺς υἱὸς Περώζου πολλὰς μυριάδας Μανιχαίων σὺν τῷ ἐπισκόπῳ αὐτῶν Ἰνδαζάρῳ ἀνεῖλεν ἐν μιᾷ ἡμέρᾳ σὺν τοῖς οὖσι συγκλητικοῖς Πέρσαις ἐκ τοῦ αὐτῶν φρονήματος· τὸν C
γὰρ υἱὸν αὐτοῦ τὸν τρίτον, τὸν λεγόμενον Φθασουαρσάν, ὃν ἐγέννησεν αὐτῷ Σαμβύκη ἡ θυγάτηρ αὐτοῦ, οἱ Μανιχαῖοι παιδαγωγήσαντες, καὶ τοῦ ἰδίου φρονήματος ποιήσαντες, ἐπηγγείλαντο αὐτῷ· ὅτι ὁ σὸς πατὴρ γεγήρακεν, καὶ εἰ συμβῇ αὐτὸν τελευτῆσαι, οἱ ἀρχιμάγοι ἕνα τῶν σῶν ἀδελφῶν ποιοῦσι

2. αὐτῶν A, αὐτοῦ vulg. 4. Ἀρειοφρονῶν A. 5. πάπαν A. 11. τοῦ add. ex A. 14. Περώζου A, Περόζου vulg. 21. ἀδελφῶν A, ἀδελφὸν vulg.

Aethiopum rege contra Homeritas susceptum, victoriaque demum ab ipsis reportata.

Romae episcopi Ioannis annus primus. A.C. 516

Hoc anno Theuderichus pravis Arii sensibus infectus Romam occupans, Ioannem papam ad imperatorem Iustinum Byzantium proficisci coegit, et pro Arianis, ne haeresi sua per vim abducerentur, legatione fungi: quandoquidem ipse Theuderichus idem adversus catholicos Italiae incolas commissurum minabatur. Ioannes itaque Byzantium appellens, et ab Epiphanio patriarcha invitatus, congressum denegavit, donec ipse, qui Romanus esset pontifex, primum in consessu locum supra Ephiphanium obtinuisset. Ioannes cunctis quidem episcopis communionis impertiit commercium, quod cum Timotheo Alexandrino sibi nullum esse proposuit. Cabades autem Perozis filius Persarum rex plurima Manichaeorum millia una cum eorum episcopo Indazaro, et aliis sensus eiusdem consortibus ordinis senatorii Persis, una die neci tradidit. filium siquidem eius tertium, cui nomen Phthasuarsan, quem Sambuce eius filia ei pepererat, cum Manichaei puerum instruxissent, et in suam traxissent opinionem, in hunc mo-

βασιλέα, διὰ τὸ κρατηθῆναι τὸ δόγμα αὐτῶν. ἡμεῖς δὲ δυνησόμεθα δι' εὐχῶν ἡμῶν πεῖσαι τὸν σὸν πατέρα ἀποτάξασθαι τὴν βασιλείαν, καὶ σὲ προχειρίσασθαι, ἵνα πανταχοῦ κρατύνῃ τὸ τῶν Μανιχαίων δόγμα. ὁ δὲ συνετάξατο τοῦτο ποιεῖν, ἐὰν βασιλεύσῃ. γνοὺς δὲ ταῦτα Καβάδης ἐκέλευσε κομβέντα γενέσθαι διὰ
D τό, φησίν, ποιῆσαι τὸν υἱὸν Φθασουαρσὰν βασιλέα. κελεύσας δὲ πάντας τοὺς Μανιχαίους σὺν τῷ ἐπισκόπῳ αὐτῶν καὶ γυναιξὶ καὶ τέκνοις παραγενέσθαι ἐν τῷ κομβέντῳ, ὁμοίως καὶ τὸν ἀρχιμάγον Γλωνάζην καὶ τοὺς μάγους, καὶ τὸν τῶν Χριστιανῶν ἐπίσκοπον Βαζάνην ἀγαπώμενον παρὰ Καβάδου, ὡς ἰατρὸν ἄριστον, καὶ καλέσας τοὺς Μανιχαίους, ἔφη· χαίρω ἐπὶ τῷ ὑμετέρῳ δόγματι, καὶ θέλω δοῦναι ἔτι ζῶν τὴν βασιλείαν τῷ υἱῷ μου Φθασουαρσάν, ὡς σύμφρονι ὑμῶν. ἀλλ' ἀφορίσατε ἑαυτοὺς πρὸς τὸ παραλαβεῖν αὐτόν. οἱ δὲ θαρσή-
P. 146 σαντες μετὰ παρρησίας ἀφώρισαν ἑαυτούς. ὁ δὲ Καβάδης ἐπιτρέψας τῷ στρατεύματι εἰσελθεῖν πάντας κατέκοψεν ξίφεσι σὺν τῷ ἐπισκόπῳ αὐτῶν ἐπ' ὄψεσι τοῦ ἀρχιμάγου καὶ τοῦ ἐπισκόπου τῶν Χριστιανῶν. καὶ ἐξέπεμψεν σάκρας εἰς πᾶσαν τὴν ὑπ' αὐτοῦ γῆν, ὥστε τὸν εὑρισκόμενον Μανιχαῖον

1. τὸ μὴ κρατηθῆναι A e. 3. παντοχοῦ κρατύνῃ A, παντοχῇ κρατύνῃς vulg. 8. κομβέντα A, κομμέντα vulg. h. l. et infra. 10. Βοαζάνην A e. 16. τὰ στρατεύματα αὐτοῦ A. 19. τὴν ὑπ. αὐτοῦ γῆν A, τὴν ἑαυτοῦ γῆν vulg.

dum sunt adorti: consenuit pater tuus; eum si mori contigerit, fratrum tuorum quempiam, qui eorum teneat sententiam, confestim archimagi regem instituent. nos precibus nostris id regi persuadere possumus, ut regno abdicato, te in suum locum subroget, quo Manichaeorum dogma stabilias et confirmes. haec, si regnaret, executurum se spopondit. de quibus certior factus Cabades, publica regni comitia convocari, Phthasuarsan filio, aiebat ille, inaugurando. Manichaeis autem omnibus una cum episcopo suo, coniugibus et filiis conventui adesse iussis, Glonazem pariter archimagum, caeterosque magos, et Bazanem Christianorum episcopum sibi dilectum, ceu medicinae peritia praestantem, una congregat: moxque Manichaeos verbis compellans, ait: arridet, quam tenetis sententia: et ut eius sequaci, vestrique sensus socio filio meo Phthasuarsan, dum etiam inter vivos ago, regno cedere apud me statutum est. discedite igitur, et in diversam partem abite, ut eum regem suscipiatis. illi audaciores his verbis facti, a reliquis cum fiducia segregaverunt se: Cabades porro data exercitui ingressus libertate, cunctos cum eorum episcopo sub archimagi et Christianorum episcopi conspectu gladiis in frusta concidit. tum sacras in omnem Persarum ditionem emisit, quibus omnes quot-

ἀναιρεῖσθαι καὶ πυρίκαυστον γενέσθαι, καὶ τὰς ὑποστάσεις αὐτῶν εἰς τὰ βασιλικὰ ταμιεῖα εἰσκομίζεσθαι, καὶ τὰς βίβλους αὐτῶν καίεσθαι. ὁ δὲ εὐσεβὴς βασιλεὺς Ἰουστῖνος ἐν πάσῃ ἱκανότητι καὶ ἀνδρείᾳ τῆς βασιλείας ἐπιλαβόμενος, σάκρας πανταχοῦ ἐν ταῖς πόλεσιν ἐξαπέστειλεν, ὥστε τιμωρηθῆναι πάντας τοὺς ἀταξίας ἢ φόνους ποιοῦντας, καὶ τοὺς ἐν Κωνσταντινουπόλει δήμους εἰρηνεῦσαι, καὶ φόβον ἔδειξεν πολύν. ἔστεψεν δὲ καὶ τὴν ἑαυτοῦ γυναῖκα τὴν Θεοδώραν αὐγούσταν ἅμα τῷ βασιλεῦσαι αὐτόν. καὶ προεβάλετο τὸν πατρίκιον Ὑπάτιον στρατηλάτην ἀνατολῆς τὸν Σεκουνδίνου φυλάξαι τὰ ἀνατολικὰ μέρη διὰ τοὺς Πέρσας καὶ τὰς τῶν Σαρακηνῶν ἐπιδρομάς. ἐποίησεν δὲ καὶ αὐτὸς διωγμὸν μέγαν κατὰ Μανιχαίων, καὶ ἐτιμωρήσατο πολλούς.

Τούτῳ τῷ ἔτει Ἀναζαρβὸς μητρόπολις τῆς δευτέρας Κιλικίας ἔπαθεν ὑπὸ σεισμοῦ φοβερωτάτου, ἡγεμονεύοντος αὐτῆς Καλλιοπίου υἱοῦ Εἰρηναίου, καὶ ἐπτώθη πᾶσα ἡ πόλις. ταύτην δὲ Ἰουστῖνος ἀνήγειρεν, καὶ Ἰουστινόπολιν ἐκάλεσεν. A.M. 6017 V. 117 C

Τῷ δ' αὐτῷ ἔτει κατεποντίσθη ὑπὸ θεομηνίας δι' ὑδάτων τοῦ ποταμοῦ Ἔδεσσα, πόλις μεγάλη καὶ περιβόητος, τῆς Οσροηνῆς ἐπαρχίας μητρόπολις. ὁ γὰρ Σκιρτὸς ποταμὸς διὰ

3. καταλαίεσθαι a. 4. τῆς βασιλείας A, τὴν βασιλείαν vulg. 7. δήμους add. ex A. 12. μέγαν om. A b. 17. ἀνήγειρεν A, ἤγειρεν vulg. Ἰουστίνου πόλιν A. 20. τοῦ ποταμοῦ b, ποταμοῦ A a, ποταμῶν vulg. καὶ add. ex A.

quot deprehendi possent, Manichaeos occidi, vivos comburi, eorumque facultates fisco addici, nec non libros eorum cremari iubebat. porro pius imperator Iustinus omni dexteritate et animi robore rempublicam administrans, missis per urbes omnes passim sacris, in eos qui tumultus et caedes ederent severius animadvertit, Cpoleos cives in pace continuit, magnumque de se terrorem incussit. ut primum vero suscepit imperium, Theodoram coniugem suam coronavit augustam, Hypatium quoque patricium Secundini filium orientalibus partibus adversus Persas et Saracenorum excursiones tutandis orientalis militiae magistrum instituit: sed et maguam in Manichaeos persecutionem excitavit, multosque supplicio affecit.

Hoc anno Anazarbus secundae Ciliciae metropolis terrae motu prorsus horribili ruinam passa est ingentem, Calliopio Irenaei filio eius rectore: corruit enim universa civitas: quam demum Iustinus reparavit, et appellavit Iustinopolim. A. C. 517

Hoc etiam anno Edessa civitas amplissima et magni nominis, Osrhoënae provinciae caput, irato numine fluviorum aquis tota obruta est. Scirtus quippe fluvius per mediam urbem influens magnas urbi

μέσου αὐτῆς παρερχόμενος πολὺν αὐτῇ πλοῦτον καὶ τέρψιν
D παρέχει. τὸ τηνικαῦτα δὲ πλημμυρήσας δίκην θαλάσσης τοὺς οἴκους σὺν τοῖς οἰκοῦσι σύρων ἐπόντιζεν. λόγος δὲ κρατεῖ ἐν αὐτοῖς τοῖς περισωθεῖσιν, ὅτι καὶ ἄλλοτε ἐπόρθησεν τὴν πόλιν ὁ αὐτὸς ποταμός, ἀλλ' οὐχ οὕτως. μετὰ δὲ τὸ παῦσαι τὰ ὕδατα, εὑρέθη πλὰξ λιθίνη ἐν τῇ ὄχθῃ τοῦ ποταμοῦ γεγραμμένη ἱερογλυφικοῖς γράμμασιν ἔχουσα οὕτως· Σκιρτὸς ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα πολίταις. ὁ δὲ βασιλεὺς Ἰουστῖνος πολλὰ παρέσχεν ταῖς ἀμφοτέραις πόλεσιν εἰς ἀνανέωσιν.

Τῷ δ' αὐτῷ ἔτει ἀνεφάνη γυνή τις ἐκ τῆς Κιλικίας γι-
P. 147 γαντογενής, ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον τέλειον πῆχυν ἕνα, καὶ πλατεῖα σφόδρα, γυρεύουσα δὲ τὰς πόλεις ἐλάμβανεν κατὰ ἐργαστήριον φόλλιν μίαν.

A.M. 6018 Περσῶν βασιλέως Χοσρόου ἔτος α'.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ τῆς δ' ἰνδικτιῶνος τὰ
B προοίμια τῆς τοῦ θεοῦ ὀργῆς ἐπῆλθεν τῇ πόλει Ἀντιοχείᾳ. ἐμπυρισμὸς γὰρ μέγας γέγονεν ἀοράτως ἐν τῷ μέσῳ τῆς πόλεως, ὅστις προεμήνυσεν τὴν μέλλουσαν ἔσεσθαι τοῦ θεοῦ ἀπειλήν. ἀνήφθη γὰρ τὸ πῦρ ἀπὸ τοῦ μαρτυρίου τοῦ ἁγίου Στεφάνου, καὶ ἕως τοῦ πραιτωρίου τοῦ στρατηλάτου ἔφθα-

11. ἐκ τῆς Κιλ. A, ἀπὸ K. vulg. 13. δὲ add. ex A. 17. Ἀντιοχείᾳ A b, Ἀντιοχείας vulg.

divitias deliciasque secum invehit. tum vero maris in modum intumescens, domos cum habitatoribus aquarum abreptas copia demersit in profundum. penes eos vero qui remanserunt incolumes rumor invaluit, fluvium eundem iam alias urbem devastasse, at non tanta clade illata. aquis demum subductis, in fluminis ripa lapidea tabula hieroglyphicis characteribus exarata in hanc formam reperta est: Scirtus fluvius, qui Saltator, infelices prorsus civibus istis saltabit saltus. utrique vero civitati restaurandae Iustinus imperator multa bona contulit.

Hoc etiam anno mulier quaedam Cilissa gigantaea prorsus specie visa est, quae perfectum et procerum quemque virum unius cubiti magnitudine et corporis in latum sumpti amplitudine superaret. pererrabat illa civitates omnes, et ex singulis officinis obolum unum colligebat.

A.C. 518 Persarum regis Chosrois annus primus.

Hoc anno mense Octobri, indictione quarta, divinae ultionis primitiae Antiochenam urbem invaserunt. magnum quippe in media urbe incendium, nec visum unde, excitatum est, quod imminentem dei vindictam portendit. ignis siquidem in martyrio sancti Stephani accensus, usque ad praetorium magistri militum pervasit. fuit id infau-

σεν. αὕτη ἐγένετο ἀρχὴ ὠδινῶν. ἐγένοντο δὲ οἱ ἐμπυρισμοὶ ἐπὶ μῆνας ἕξ, καὶ ἐκάησαν οἶκοι πολλοί, καὶ ἀπέθανον λαοὶ πολλοί. καὶ οὐδεὶς ἠδύνατο γνῶναι πόθεν τὸ πῦρ ἀνήπτετο. ἐκ γὰρ τῶν κεράμων τὸ πεντάστεγον ἀνελάμβανε. κατὰ δὲ πρεσβείαν Εὐφρασίου τοῦ πατριάρχου ἐφιλοτιμήσατο ὁ βασιλεὺς τὴν πόλιν κεντηνάρια δύο χρυσίου. C

Τῷ δ' αὐτῷ ἔτει Μαΐου μηνὸς κ' τῆς αὐτῆς ἰνδικτιῶνος, ὥρᾳ ζ', ὑπατεύοντος ἐν τῇ Ῥώμῃ Ὀλυβρίου ἔπαθεν ὑπὸ θεομηνίας Ἀντιόχεια ἡ μεγάλη τῆς Συρίας πάθος ἀνεξήγητον. τοσοῦτον ἡ ὀργὴ τοῦ θεοῦ ἐπῆλθεν ἐπ' αὐτήν, ὥστε πτωθῆναι σχεδὸν πᾶσαν τὴν πόλιν, καὶ τάφον τῶν οἰκητόρων γενέσθαι. τινὰς δὲ καταχωσθέντας, καὶ ἔτι ζῶντας ὑπὸ τὴν γῆν πῦρ ἐκ τῆς γῆς ἐξελθὼν κατέφλεξεν. καὶ ἕτερον πῦρ ἐκ τοῦ V. 118 ἀέρος, ὡς σπινθῆρες, κατήρχετο, καὶ κατέκαιεν, ὥσπερ ἀστραπή, τὸν εὑρισκόμενον· καὶ ἐσείετο ἡ γῆ ἐπὶ ἐνιαυτὸν ἕνα.

Ῥώμης ἐπισκόπου Φήλικος ἔτος α'. A.M. 6019

Τούτῳ τῷ ἔτει τοῦ σεισμοῦ ἐπικρατοῦντος D ἐπίσκοπος Ἀντιοχείας κατεχώσθη ὑπὸ τοῦ σεισμοῦ, καὶ ἀπέθανεν· καὶ πᾶς οἶκος καὶ ἐκκλησίαι κατέπεσον, καὶ τὸ κάλλος τῆς πόλεως ἠφανίσθη. καὶ οὐ γέγονε τοιαύτη θεομηνία

1. αὕτη γὰρ ἐγ. a. ἐμπρησμοὶ b. 4. τὴν πεντάστεγον A, τῶν πενταστεγῶν b. 7. τῷ δὲ Μαΐῳ μηνὶ καὶ τῆς αὐτῆς ἰνδικτιῶνος b. 14. κατήρχοντο A a.

stum dolorum exordium. incendia vero per menses sex duravere, quibus aedes multae combustae, multique viri interempti: nec quisquam potuit dignoscere unde accenderetur ignis: a tegulis enim excelsum et amplum quinque tabulatorum aedificium totum exarsit. imperator autem Euphrasii patriarchae legatione exoratus auri centenaria duo urbi largitus est.

Eodem etiam anno, Maii mensis vigesimo, eadem indictione, hora septima, Olybrio Romae consulatum gerente, Antiochia magna Syriae infortunio, quod verbis exprimi vix potest, et ultore deo iactata est. dei siquidem ira adeo eam concussit, ut tota pene urbs corruerit, et civium sepulchrum evaserit. quosdam vero terra obrutos et adhuc viventes ignis e terra erumpens combussit. alius ignis ex aëre instar scintillarum decidit, et quos attigisset, fulminis in morem cremavit: terraque per annum continuum concussa est.

Romae episcopi Felicis annus primus. A. C. 519

Hoc anno terrae motu continuo invalescente, Euphrasius Antiochiae episcopus ea agitatione obrutus interiit: omnes quoque aedes et ecclesiae conciderunt, et urbis decor omnis deletus est: sed neque talis calamitas aliis saeculis quavis in urbe audita. pientissimus au-

ἐν ἄλλῃ πόλει ἐν πάσαις γενεαῖς. ὁ δὲ εὐσεβέστατος βασιλεὺς Ἰουστῖνος ταῦτα μαθὼν μεγάλως ἤλγησε τὴν ψυχήν,
P. 148 ὥστε ἐπῆρεν τὸ διάδημα τῆς κεφαλῆς αὐτοῦ καὶ τὴν πορφύραν, καὶ ἐπένθησεν ἐν σάκκῳ ἐπὶ ἡμέρας πολλάς, ὥστε καὶ τῇ ἑορτῇ προσελθὼν ἐν τῇ ἐκκλησίᾳ, οὐ κατεδέξατο φορέσαι τὸ στέμμα ἢ τὴν χλαμύδα· ἀλλ' οὕτως λιτῶς προσῆλθεν μανδύον πορφυροῦν φορέσας, καὶ κλαίων ἐπὶ πάσης τῆς συγκλήτου, καὶ πάντες ἔκλαιον σὺν αὐτῷ πενθικὰ φοροῦντες. ἀπέστειλεν δὲ ὁ βασιλεὺς εὐθέως Καρῖνον τὸν κόμητα δοὺς κεντηνάρια πέντε πρὸς ἐκχοϊσμόν, εἴ πως δυνηθῇ σῶσαί τινας,
B καὶ τὰ καταχωσθέντα πράγματα διασῶσαι ἐκ τῶν λῃστῶν καὶ ἁρπάγων. καὶ πάλιν ἀπέστειλεν ὁ βασιλεὺς ὄπισθεν αὐτοῦ τὸν πατρίκιον Φωκᾶν τοῦ Κρατεροῦ, καὶ τὸν πατρίκιον Ἀστέριον, καὶ τὸν ἔπαρχον, ἄνδρας σοφούς, δοὺς αὐτοῖς χρήματα πολλὰ πρὸς ἀνακαινισμὸν τῆς πόλεως. τῷ δὲ Ἀπριλλίῳ μηνὶ δ', τῆς αὐτῆς ε' ἰνδικτιῶνος, τῇ ἑορτῇ τοῦ πάσχα, ἀσθενήσας ὁ βασιλεὺς Ἰουστῖνος προεχειρίσατο ἔτι ζῶν εἰς βασιλέα Ἰουστινιανόν, τὸν ἴδιον ἀνεψιόν, καὶ ἔστεψεν αὐτόν, καὶ συνεβασίλευσεν αὐτῷ μῆνας δ'. τῷ δ' Αὐγούστῳ μηνὶ τῆς αὐτῆς ε' ἰνδικτιῶνος ἐτελεύτησεν ὁ εὐσεβέστατος Ἰουστῖνος καταλιπὼν βασιλέα τὸν Ἰουστινιανόν.

4. ἐν om. A, ἐν σάκκῳ om. f. 9. Κάριον a. 13. Φωκᾶν — — πατρίκιον om. A. 14. τὸν ἔπαρχον A e, τὸν ἀπὸ ἐπάρχων vulg. 20. ὁ add. ex A. 21. τὸν add. ex A.

tem imperator Iustinus ea re cognita, ingenti animi dolore percussus, sublato capitis sui diademate, purpuraque deposita, plures dies deformi sacco velatus luctum egit: adeo ut festivo die procedens in ecclesiam coronae insigne vel chlamidem deferre non admiserit: verum sic simplici habitu processerit, solo mandya purpureo subornatus, et coram toto senatu ingemiscens: caeterique omnes lugubria induti una cum eo luxerunt. imperator porro Carinum comitem datis auri centenariis quinque confestim misit, ad effodiendas egerendasque ruinas, si forte posset aliquem periculo liberare, et a praedonibus et raptoribus res ruderibus immersas suis possessoribus servare. subindeque post eum in eius vestigia Phocam Crateri filium patricium, Asterium quoque patricium et expraefectum viros cordatos misit imperator, qui, pecuniarum immensa vi ab eo accepta, repararent urbem. caeterum Aprilis mensis die quarto, paschali festo eiusdem quintae indictionis, morbo correptus imperator Iustinus Iustinianum germanum nepotem imperatorem adhuc vivus instituit, coronam insuper imposuit, et menses quatuor potestatis collegam habuit. Augusto vero mense eiusdem quintae indictionis, Iustiniano in imperatorem relicto, piissimus Iustinus diem obiit.

Τοῦ δὲ Εὐφρασίου ἐπισκόπου Ἀντιοχείας τελευτήσαντος Εὐφραΐμιος ὁ Ἀμίδιος κόμης ἀνατολῆς ὢν ἐν τῷ χρόνῳ ἐκείνῳ ἐχειροτονήθη ἀντ' αὐτοῦ, ὅστις ζῆλον θεῖον κατὰ τῶν ἀποσχιστῶν ἐδείξατο. C

Ῥωμαίων βασιλέως Ἰουστινιανοῦ, Ἱεροσολύμων ἐπισκόπου Ἰωάννου, Ἀντιοχείας ἐπισκόπου Εὐφραΐμίου ἔτος α'. A.M. 6020

Τούτῳ τῷ ἔτει μόνος κρατήσας τὴν βασιλείαν ὁ μέγας Ἰουστινιανὸς προεβάλετο κόμητα ἀνατολῆς τὸν πατρίκιον τὸν D Ἀρμένιον, ᾧ τινι δέδωκε χρήματα, κελεύσας αὐτῷ ἀπελθεῖν καὶ ἀνανεῶσαι πάλιν τῆς Φοινίκης Λιβανισίας εἰς τὸ λιμωτὸν τὸ ἐσώτερον τὴν καλουμένην Παλμύραν, κελεύσας τοῦ καθέζεσθαι ἐν αὐτῇ τὸν δοῦκα καὶ τοὺς ἁγίους τόπους . . . τῷ δὲ Ἰανουαρίῳ μηνὶ α' τῆς αὐτῆς ἰνδικτιῶνος ἐποίησεν ὁ βασιλεὺς ὑπατείαν, καὶ τοσαῦτα ἔδωκεν χρήματα ὅσα οὐδεὶς βασιλεὺς ὑπατεύσας.

Τῷ δ' αὐτῷ ἔτει ὁ βασιλεὺς Περσῶν ἐπολέμησε τῷ Λαζῷ Τζάθῳ, ὡς προσρυέντι Ῥωμαίοις. καὶ λοιπὸν ὁ βασιλεὺς Ἰουστινιανὸς ἔπεμψεν αὐτῷ βοήθειαν στρατοῦ, καὶ στρατηλάτας τρεῖς, Βελισάριον καὶ Κύρικον καὶ Πέτρον. καὶ πολε- V. 119

2. Ἐφραΐμιος A. 4. ἐδέξατο A. 7. μόνος κρατήσας A b, μονοκρατήσας vulg. 9. αὐτῷ A, αὐτὸν vulg. 10. λιμωτὸν A, λιμοτὸν e f, λιμητὸν vulg. 12. lacunae nulla in codd. vestigia apparent. 13. ἐποίησεν] ἔδωκε a. 14. ὑπατείαν A, ὑπατίαν vulg. 17. Τζαθίῳ A, Τζαθέῳ e. 19. Βελισάριον A, Βελισσάριον vulg. ubique. Κήρυκον a f.

Euphrasio quoque Antiochiae praesule defuncto, Euphraïmius Amidenus ea tempestate comitem orientis agens, in eius locum ordinatus est, qui divinum prorsus fervorem adversus schismaticos exercuit.

Romanorum imperatoris Iustiniani, Hierosolymorum episcopi Io- A.C. 520
annis, Antiochiae episcopi Euphraïmii annus primus.

Hoc anno imperator Iustinianus rerum summa potitus, patricium Armenium orientis comitem creavit, et ingenti pecuniarum tradita copia, virum abire iussit, et Phoeniciae Libanesiae urbem Palmyram nuncupatam instaurare ad interiorem limitem, et in ea ducem residere sanctaque loca protegere et iis invigilare praecepit. prima vero mensis Ianuarii die munus in populum edidit imperator, eamque largitus est pecuniarum vim, quam princeps ante alius nullus consulatus nomine profuderit.

Eodem etiam anno Persarum rex Tzathum Lazicum quod in Romanas partes transiisset, bello lacessivit. porro Iustinianus imperator

P. 149 μήσαντες ἡττήθησαν· καὶ ἠγανάκτησεν ὁ βασιλεὺς κατὰ τῶν στρατηλατῶν, ὅτι φθονοῦντες ἀλλήλοις προέδωκαν τὴν νίκην. καὶ διαδεξάμενος αὐτοὺς ἀπέστειλε Πέτρον τὸν νοτάριον αὐτοῦ στρατηλάτην· καὶ συμβαλὼν τοῖς Πέρσαις μετὰ τῶν Λαζῶν ἐνίκησαν, καὶ πολλοὺς ἀνεῖλον τῶν Περσῶν.

Τῷ δ' αὐτῷ ἔτει προσερρύη τοῖς Ῥωμαίοις ὁ βασιλεὺς τῶν Ἑλούρων Γραῖτις ὀνόματι, καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἤτησε τὸν βασιλέα γενέσθαι Χριστιανός. ὁ δὲ βασιλεὺς βαπτίσας αὐτὸν ἐν τοῖς Θεοφα-
B νίοις, ἐδέξατο αὐτὸν ἐκ τοῦ βαπτίσματος. καὶ ἐβαπτίσθησαν σὺν αὐτῷ οἱ συγκλητικοὶ αὐτοῦ καὶ οἱ συγγενεῖς δώδεκα· καὶ ἀπῆλθεν μετὰ χαρᾶς εἰς τὰ ἴδια φιλιωθεὶς τῷ βασιλεῖ, καὶ ἐπαγγειλάμενος συμμαχεῖν αὐτῷ, ἐν οἷς ἂν βουληθῇ. προεβάλετο δὲ ὁ βασιλεὺς στρατηλάτην Ἀρμενίας Τζίταν ἄνδρα πολεμικὸν καὶ ἱκανώτατον. οὐ γὰρ εἶχεν ἡ Ἀρμενία στρατηλάτην, ἀλλὰ δούκας καὶ κόμητας. ἐστράτευσεν δὲ ὑπ' αὐτὸν Ἀρμενίων πλῆθος, ὡς εἰδότας τὰ μέρη τῆς Ἀρμενίας. ἔδωκεν δὲ αὐτῷ καὶ ἀπὸ τῆς ἀνατολῆς στρατοῦ ἀριθμοὺς τέσσαρας. καὶ γέγονεν μεγάλη φυλακὴ καὶ βοήθεια Ῥω-

2. στρατιωτῶν a. 5. ἐνίκησεν a. 7. Λιλούρων A. Γραῖτις — — — αὐτοῦ om. A. 9. Χριστιανὸς A, Χριστιανὸν vulg. 11. οἱ ante συγκλητικοὶ add. ex A. 13. συμμαχεῖν ἐν οἷς ἂν δεηθῇ b, βουληθῇ A, βουληθείη vulg. 17. Ἀρμενίους A. 18. στραπού] στρατηλάτου A.

militares copias in eius auxilium misit et magistros militiae tres, Belisarium, Cyricum et Petrum, qui inito praelio inferiores evaserunt. quare indignatus imperator in duces, quod invidia ad invicem moti, certam prodidissent victoriam, ipsis revocatis, Petrum notarium militiae magistrum in ipsorum locum subrogavit. hic adiunctis sibi Lazis, adversus Persas conserta pugna, quam plurimos Persas delevit.

Hoc eodem anno Elurorum rex Graetis nomine ad Romanos se adiunxit, et Cpolim una cum gente sua profectus est, et in Christianorum religionem transire ab imperatore expetiit. iussit imperator in Theophanis virum baptizari, et ex lavacri fontibus suscepit. senatores porro et aulici et affines eius duodecim una cum eo initiati sunt: tum vero pactis cum imperatore foederibus, et adversus quos indiceret ille suppetias se laturum pollicitus, domum se recepit. porro imperator Tzitam virum rei bellicae peritum, et in caeteris praestantem militiae magistrum in Armenia instituit: Armenia quippe militiae magistrum nondum habuerat, sed duces et comites. sub eo militaverunt Armeniorum copiae, utpote quae Armeniae partes et loca maxime nossent: adiuncti sunt eidem ex orientali exercitu numeri

μαίων. ἔζευξεν δὲ αὐτῷ καὶ γυναῖκα ἀδελφὴν Θεοδώρας τῆς αὐγούστης ὀνόματι Κομητῷ.

Τῷ δ' αὐτῷ ἔτει προσερρύη τοῖς Ῥωμαίοις γυνή τις ἐκ C τῶν Οὔννων τῶν λεγομένων Σαβὴρ βάρβαρος, ὀνόματι Βοαρήξ, χήρα, ἔχουσα μεθ' ἑαυτῆς Οὔννων χιλιάδας ρ', ἥτις κατεδυνάστευε τῶν Οὐννικῶν μερῶν μετὰ τὴν τοῦ ἰδίου ἀνδρὸς Βαλὰχ ἀποβολήν. αὕτη τοὺς προτραπέντας παρὰ Καβάδου βασιλέως Περσῶν δύο ῥῆγας ἀπὸ ἄλλου ἔθνους Οὔννων ἐνδοτέρων, ὀνόματι Στύραξ καὶ Γλώνης, τοῦ συμμαχῆσαι αὐτῷ κατὰ Ῥωμαίων, παρέλαβεν καὶ ἡ αὐτὴ Βοαρὴξ παριόντας διὰ τῆς χώρας αὐτῆς ἐπὶ τὰ Περσικὰ μετὰ χιλιάδων κ', οὓς καὶ κατέκοψεν. καὶ τὸν μὲν ἕνα ῥῆγα αὐτῶν τὸν λεγόμενον D Στύρακα συλλαβομένη δέσμιον εἰς Κωνσταντινουπόλιν τῷ βασιλεῖ ἔπεμψεν· τὸν δὲ Γλώνην ἐν τῷ πολέμῳ ἔσφαξεν. καὶ ταύτῃ γέγονε σύμμαχος καὶ εἰρηνικὴ τῷ βασιλεῖ Ἰουστινιανῷ.

Τούτῳ τῷ ἔτει καὶ ὁ πλησίον Βοσπόρου ῥὴξ τῶν Οὔννων ὀνόματι Γορδᾶς προσερρύη τῷ βασιλεῖ, καὶ ἐγένετο Χριστιανὸς καὶ ἐφωτίσθη, καὶ ἐδέξατο αὐτὸν ὁ βασιλεύς, καὶ πολλὰ αὐτῷ παρεσχηκὼς δῶρα, ἀπέστειλεν

1. ἔζευξεν A, ἔζευσεν vulg. 4. τῶν ante λεγομένων add. ex A. Βωαρὶξ A, Βοαρὶζ a. 7. αὕτη A, αὐτὴ vulg. 8. ἐνδότερον A. 10. ἡ αὐτὴ A, αὐτὴ vulg. 11. αὐτῆς add. ex A. 17. Βοσφόρου A ubique.

quatuor: ex quibus tuta custodia praesidiumque ingens Romanis conflatum est. sororem insuper augustae Theodorae, nomine Cometo, eidem uxorem copulavit.

Hoc insuper anno mulier quaedam barbara ex Unnis, Saber vulgo nuncupatis, nomine Boarex, vidua, adductis secum Unnorum millibus centum, in Romanas partes transiit: haec amisso viro suo Balach Unnicis regionibus imperitabat. duos vero reges ex alia Unnorum natione, quae partes interiores habitat, nomen uni Styrax et alteri Glones, a Cabade Persarum rege ferendis sibi suppetiis, et Romanos bello vexandis accitos, et iam per regionem sibi subditam ad Persarum loca, cum millibus hominum viginti transitum habentes, armis illa excepit, et in frusta concidit: et eorum quidem regum unum Styracem vocatum in bello comprehensum, vinculis alligatum, Cpolim imperatori misit: Glonem autem in pugna interfecit. ita demum armorum societatem et pacem cum imperatore Iustiniano mulier perpetuo servavit.

Hoc etiam anno rex Unnorum Bosporo proximus, nomine Gordas, cum imperatore foedus habiturus accessit. is Christianam religionem amplexus, baptismi lumine illustratus est, et ex lavacro ab

αὐτὸν εἰς τὴν ἰδίαν χώραν φυλάττειν τὰ Ῥωμαϊκὰ καὶ τὴν Βόσπορον πόλιν, ἥτις ἐκλήθη ἐκ τοῦ συντελεῖν Ῥω-
P. 150 μαίοις ἀντὶ χρημάτων βόας κατ' ἔτος . . . . . μαίων καὶ τριβούνων, φυλάττειν τὴν πόλιν διὰ τοὺς Οὔννους, καὶ ἀπαι-
τεῖν τὰς συντελείας τῶν βοῶν. ἦν δὲ ἐν τῇ αὐτῇ πόλει συν- 5
αλλάγματα πολλὰ Ῥωμαίων καὶ Οὔννων. ὁ δὲ γενόμενος
Χριστιανὸς ῥῆξ τῶν Οὔννων, ἀπελθὼν εἰς τὴν ἰδίαν χώραν,
εὗρεν τὸν ἴδιον ἀδελφόν, καὶ διηγήσατο αὐτῷ τὴν τοῦ βασι-
V. 120 λέως ἀγάπην καὶ φιλοτιμίαν, καὶ ὅτι Χριστιανὸς γέγονεν, καὶ
λαβὼν τὰ ἀγάλματα, ἃ ἐσέβοντο οἱ Οὖννοι, ταῦτα ἐχώνευσεν, 10
ἦσαν γὰρ ἀργυρᾶ καὶ ἠλέκτρινα. καὶ χολέσαντες οἱ Οὖννοι,
συμποιήσαντες μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, ἀπελθόντες ἔσφαξαν
B αὐτόν· καὶ ἐποίησαν ῥῆγα τὸν ἀδελφὸν αὐτοῦ Μουαγέρην.
καὶ φοβηθέντες μὴ ἐκζητήσωσιν αὐτὸν οἱ Ῥωμαῖοι ἦλθον αἴ-
φνης ἐν τῇ Βοσπόρῳ πόλει, καὶ ἐφόνευσαν τὸν τριβοῦνον Δαλ- 15
μάτιον, καὶ τοὺς στρατιώτας. καὶ ἀκούσας ταῦτα ὁ βασιλεὺς
ἀπέστειλεν τὸν ἀπὸ ὑπάτων Ἰωάννην, τὸν ἔγγονον Ἰωάννου
τοῦ Σκύθου, υἱὸν δὲ τοῦ πατρικίου Ῥουφίνου, μετὰ βοηθείας
Σκυθικῆς πολλῆς, καὶ ἐστράτευσεν κατ' αὐτῶν, ἅμα καὶ Γω-

2. ἐκ τοῦ A, ἀντὶ τοῦ vulg. 3. κατ' ἔτος] καθέτος A, κατ' ἔθος vulg. lacuna nulla h. l. in codd. notatur. 11. ἠλεκτριανά b. 12. συμβουλὴν ποιήσαντες A. 17. ἔγγονον A, ἔγγονα vulg. 19. Γώδηλαν A.

imperatore susceptus: multisque subinde ab eo muneribus acceptis, ad Romanos fines tutandos, et Bosporum civitatem, a boum nummorum et pecuniarum vice annuatim penso tributo ita vocatam, armis propugnandam missus in propriam regionem secessit. locavit autem et militum Romanorum numerum et tribunorum, ut custodirent civitatem propter Unnos, et boum tributa exigerent: magnum quippe in civitate Romanis cum Unnis commercium intercessit. Unnorum itaque rex factus Christianus, in propriam regionem reversus, fratri, quem illic offendit, imperatoris humanitatem atque liberalitatem, seque Christianum factum esse narravit. ad haec direpta undequaque simulacra, quae venerabantur Unni, cuncta conflavit: erant enim illa argentea, et electrina. quamobrem ira succensi Unni, coniuratione cum eius fratre excitata, in eum irruentes necem intulerunt, et fratrem eius Muagerem creaverunt regem. veriti porro, ne poenas et regem occisum expeterent Romani, in civitatem Bosporum convolarunt quantocius, et tribunum Dalmatium praesidiariosque milites interfecerunt. his imperator auditis, misit Ioannem exconsulem, Ioannis Scythae nepotem, patricii Rufini filium, cum numerosis Scytharum copiis, qui adiuncto sibi per terrestre iter et Odyssopolim Godilla et

δίλλαν διὰ γῆς ἀπὸ Ὀδυσσοπόλεως καὶ Βαδούριον στρατηγόν. καὶ ἀκούσαντες οἱ Οὖννοι ἔφυγον ἀφανεῖς γενόμενοι. καὶ γέγονεν εἰρήνη ἐν Βοσπόρῳ, καὶ ἐκράτησαν αὐτὴν οἱ Ῥωμαῖοι ἀφό- C
βως. ὁ δὲ βασιλεὺς Ἰουστινιανὸς ἀπέσπασεν πάσας τὰς ἐκκλη-
σίας τῶν αἱρετικῶν, καὶ ἀπέδωκεν αὐτὰς τοῖς ὀρθοδόξοις δίχα τῶν Ἐξακιονιτῶν Ἀρειανῶν. ἐξεφώνησε δὲ τύπον ὁ βασιλεὺς περὶ τῶν ἐπισκόπων καὶ ὀρφανοτρόφων καὶ οἰκονόμων καὶ ξενοδόχων, ὥστε μὴ κληρονομεῖσθαι, εἰ μὴ ἃ πρὸ τοῦ γενέσθαι εἶχον ἐν ὑποστάσει εἰς ταῦτα * ἵνα διατίθενται· ἀφ' ἧς δὲ ὥρας
προεχειρίσθη, εἰς ταῦτα μὴ ἔχειν αὐτὸν ἄδειαν διατίθεσθαι, ἀλλὰ τὰ ἑαυτοῦ πάντα τὴν εὐαγῆ οἶκον κληρονομεῖν. ὁ δὲ αὐτὸς βασιλεὺς ἐπλήρωσε καὶ τὸ δημόσιον λουτρὸν τὸ εἰς τὰ Δαγισθέου, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς, καὶ τὸ μεσόαυλον τῆς βασιλικῆς Ἴλλου κιστέρναν μεγάλην ἐποίησεν. D
Τούτῳ τῷ ἔτει Ἡσαΐας ἐπίσκοπος Ῥόδου καὶ Ἀλεξαν- A.M.6021
δρὸς ἐπίσκοπος Διοσπόλεως τῆς Θρᾴκης καθηρέθησαν, ὡς P. 151
παιδεραστοὶ εὑρεθέντες, καὶ ἐτιμωρήθησαν δεινῶς ὑπὸ τοῦ βασιλέως, καυλοτομηθέντες καὶ πομπεύσαντες, τοῦ κήρυκος βοῶντος· ἐπίσκοποι ὄντες τὸ τίμιον σχῆμα μὴ ἐνυβρίζετε.

1. ἀπὸ Ὀδ. A, καὶ Ὀδ. vulg. 5. ἐκκλησίας τῶν A, ἐκκλ. ἐκ τῶν vulg. 6. Ἐξακιονιτῶν A a. 9. διατίθενται — — — ἄδειαν om. A. ἵνα διατίθενται] fort. τινὰ διατίθεσθαι. 14. μεσόαυλον A, μεσίαυλον vulg. μεγάλην om. A. 17. εὑρεθέντες add. ex A.

Bądurio duce, adversus eos movit exercitum. hoc nuncio territi Unni, fuga arrepta, disparuerunt: ex quo pax Bosporo restituta, locusque a Romanis omni depulso timore occupatus. caeterum imperator Iustinianus omnes haereticis ecclesias abstulit, quas reddidit orthodoxis, praeter eas quae Arianorum Exocionitarum fuere. constitutiones quoque promulgavit de episcopis, oeconomis, orphanotrophis et xenodochis, ne videlicet ius legandi aut testandi haberent, nisi de iis, quae antequam officio praeficerentur, in suis facultatibus habuerant, et de quibus testari potuerant: ex quo vero administrandi munus iniissent, ea testamento legandi nullam obtinerent potestatem, sed cuncta illorum bona sacra domus haereditario iure acciperet. porro idem ille imperator balneum publicum, quod est ad Dagistheum, ab Anastasio quondam inchoatum, absolvit: in medio vero areae vel atrii spatio ad Illi basilicam substrato capacissimam cisternam construxit.

Hoc anno Esaias Rhodi et Alexander Diospoleos in Thracia epi- A.C. 521
copi, ceu turpi masculorum libidine notati, dignitate moti et ab imperatore gravi sunt subiecti supplicio. resecta siquidem virili caule, per urbem ignominiose traducti sunt, vociferante praecone: episcopi

P. 151 καὶ ἐξέθετο ὁ βασιλεὺς νόμους σφοδροὺς κατὰ τῶν ἀσελγαινόντων, καὶ πολλοὶ ἐτιμωρήθησαν. καὶ ἐγένετο φόβος πολὺς καὶ ἀσφάλεια. ἀνενέωσεν δὲ ὁ βασιλεὺς πάντας τοὺς παλαιοὺς νόμους ποιήσας μονόβιβλον, καὶ καλέσας αὐτὸ τὰς νεαρὰς διατάξεις, ἐν αἷς οὐ καταδέχεται τὸν ἄρχοντα ἐν οἷς ἄρχει τόποις ἀγοράζειν κτῆμα, ἢ κτίζειν οἶκον, ἢ κληρονομεῖν ξένον πρόσωπον, εἰ μή τις συγγενὴς αὐτῷ ὑπάρχει.

Τῷ αὐτῷ ἔτει μηνὶ Νοεμβρίῳ κθ', ὥρᾳ γ', ἡμέρᾳ δ' ἰνδικτιῶνος ζ' ἔπαθεν ὑπὸ θεομηνίας πάλιν Ἀντιόχεια ἡ μεγάλη μετὰ δύο ἔτη τοῦ πρὸ αὐτοῦ πάθους. καὶ ἐγένετο σεισμὸς μέγας ἐπὶ ὥραν μίαν, καὶ βρυγμὸς ἐκ τοῦ οὐρανοῦ φοβερός· καὶ ἔπεσεν πάντα τὰ κτισθέντα ἕως ἐδάφους καὶ τὰ τείχη, καὶ ἐκ V. 121 τῶν μὴ πεσόντων παλαιῶν κτισμάτων ἐν τῷ πρώτῳ σεισμῷ κατηνέχθησαν νῦν· καὶ πᾶσα εὐπρέπεια ἡ γενομένη ἐν τῇ πόλει ἔκ τε τῶν τοῦ βασιλέως φιλοτιμιῶν, καὶ ὧν ἐξ ἰδίων C οἱ πολῖται ᾠκοδόμησαν, πάντα κατέπεσον. ταῦτα μαθοῦσαι αἱ πλησιάζουσαι πόλεις μετὰ πένθους ἐλιτάνευον. ἀπέθανον δὲ καὶ ἐν ταύτῃ τῇ πτώσει χιλιάδες τέσσαρες καὶ ὀκτακόσιοι ἑβδομήκοντα. οἱ δὲ σωθέντες ἔφυγον εἰς τὰς ἄλλας πόλεις, καὶ εἰς τὰ ὄρη ἐν καλύβαις ᾤκουν. γέγονε δὲ καὶ χειμὼν

3. τοὺς πολεμίους νόμους e. 4. τὰς add. ex A. 5. ἐν οἷς ἂν ἄρχῃ a. 10. αὐτοῦ] αὐτῆς A a. 11. βρυγμὸς A, βομβὸς vulg. 12. ἔπεσαν A. 18. πτώσει] πόλει e.

venerandam dignitatem ne conspurcatote. severas insuper in impudicos leges tulit, a quorum plurimis poenas exegit. antiquas etiam leges cunctas renovavit, iisque volumen in unum collectis, novellas constitutiones nuncupavit. iis cavet, ne praefectus, ubi gerit praefecturam, ibi vel possessionem emat, vel construat domum, vel peregrini, nisi forte sit ei coniunctus affinitate, haereditatem adeat.

Eodem anno, mensis Novembris die nono supra vigesimum, hora diei tertia, feria quarta, indictione septima, biennio post superiorem cladem, Antiochia magna civitas plagae caelitus illatae damnum iterum passa est. ingens quippe terrae motus per horam continuam duravit, atque horrendus omnino mugitus e caelo auditus et cuncta prorsus aedificia ad terram usque prostrata, urbis quoque moenia diruta, quaeque substiterant in priori terrae motu veteres constructiones, eae nunc omnes funditus eversae. denique quicquid tam imperatorum liberalitate, quam privatis civium sumptibus urbi conciliatum fuerat ornatus atque decoris, id tum omne deiectum in terram. his perceptis, vicinae civitates in luctum et publicas supplicationes effusae. ea vero clade hominum quatuor millia et septuaginta supra octingentos periere: qui periculo servati, in alias civitates migravere,

μέγας καὶ βαρύτατος· καὶ ἐλιτάνευον οἱ ἀπομείναντες πάντες ἀνυπόδετοι, κλαίοντες, καὶ ῥιπτοῦντες ἑαυτοὺς πρηνεῖς εἰς τὰς χιόνας, κράζοντες τό, Κύριε ἐλέησον. ἐφάνη δὲ ἐν ὁράματί τινι θεοσεβεῖ ἀνθρώπῳ, ὥστε εἰπεῖν πᾶσι τοῖς ὑπολειφθεῖσιν, ἵνα ὑπεργράψωσι εἰς τὰ ὑπέρθυρα αὐτῶν· Χριστὸς μεθ' ἡμῶν· στῆτε. καὶ τούτου γενομένου, ἔστη ἡ ὀργὴ τοῦ θεοῦ. D καὶ πάλιν ὁ βασιλεὺς καὶ ἡ αὐγοῦστα πολλὰ ἐδωρήσαντο χρήματα εἰς ἀνανέωσιν καὶ οἰκοδομὴν τῆς Ἀντιοχέων πόλεως, καὶ μετωνόμασεν αὐτὴν Θεούπολιν. ἐν δὲ τῇ κα' τοῦ Μαρτίου μηνὸς τῆς ἑβδόμης ἰνδικτιῶνος ἐπέρριψεν Ἀλαμούνδαρος ὁ Ζεκικὴς ὁ βασιλίσκος τῶν Σαρακηνῶν, καὶ ἐπραίδευσεν τὴν πρώτην Συρίαν ἕως τῶν ὁρίων Ἀντιοχείας, εἰς τὸ λεγόμενον Λίταργον καὶ Σκαφαθῶν τῶν κτημάτων. καὶ ἐφόνευσε πολλούς, καὶ ἔκαυσε τὰ ἔξω Χαλκηδόνος, καὶ τὸ Σέρμιον κτῆμα, καὶ τὴν κυ- P. 152 νηγίαν χώραν. καὶ ἀκούσαντες οἱ ἔξαρχοι τῶν Ῥωμαίων ἐξῆλθον κατ' αὐτοῦ. καὶ γνόντες οἱ Σαρακηνοὶ σὺν τοῖς Πέρσαις λαβόντες τὴν πραῖδαν καὶ τοὺς αἰχμαλώτους διὰ τοῦ ἐσωτέρου λιμωτοῦ ἔφυγον. τῷ δὲ Ἀπριλλίῳ μηνὶ τῆς αὐτῆς ζ' ἐπινεμήσεως κατέλαβεν βοήθεια στρατοῦ πεμφθεῖσα ὑπὸ τοῦ βασιλέως καὶ

2. ῥίπτοντες A. τὰς a, τοὺς vulg. 5. ἐπιγράψωσι A. 8. οἰκοδομὴν] ἀνακαινισμὸν e. 9. μετωνόμασεν A alii, αὐτωνόμασεν vulg. 10. Σαλαμούνδαρος A. 12. εἰς add. ex A. 13. Λιταργῶ A. 18. ἐπινεμήσεως] ἰνδικτιῶνος A.

vel in montibus sub tuguriis habitavere. haec asperrima et frigidissima hiems sequuta est, et processiones cum precibus agebant, qui remanserant civitatis incolae, excalceati, eiulantes, et pronos se per nivem demittentes, crebris vocibus, domine miserere, inclamantes. demum religioso cuidam viro per visum revelatum est, omnibus qui superfuerant ediceret, uti superioribus domorum luminibus inscriberent: Christus nobiscum, state. eo facto ira dei pacata est. porro imperator atque augusta magnas iterum pecunias in Antiochenae civitatis instaurationem insumpserunt, et mutato nomine Theopolim nuncupatam voluerunt. die vero Martii vicesimo primo, septima indictione, Alamundarus Zecices Saracenorum regulus, irruptione facta, primam Syriam depopulatus est usque ad ipsius Antiochiae loca contermina, ad Litargum dictum et Scaphatenses possessiones: multosque occidit, incenditque Chalcedonis suburbia, et Sermium praedium, atque Cynegiam regionem. haec audientes Romanorum optimates armati processerunt obviam: quo cognito Saraceni praedam atque captivos secum abducentes per interiorem limitem una cum Persis aufugerunt. mense porro Aprili eiusdem septimae indictionis copiae auxiliares ab imperatore summissae advenerunt pedestri itinere, et ex

πεζῇ, καὶ ἐκ Φρυγίας τῶν λεγομένων Λυκοκρανιτῶν· καὶ προεβάλετο στρατηγὸν ἀνατολῆς Βελισάριον διαδεξάμενος Ὑπάτιον τὸν πατρίκιον Σεκουνδῖνον. καὶ τῇ ιβ' τοῦ Μαΐου μηνὸς εἰσῆλθεν ἐν Ἀντιοχείᾳ Ἑρμογένης ὁ μάγιστρος ἀνὴρ σοφός, πρεσβὺς ἀπολυθεὶς παρὰ τοῦ βασιλέως Ἰουστινιανοῦ πρὸς τὸν βασιλέα Περσῶν περὶ εἰρήνης. τῷ δὲ Ἰουνίῳ μηνὶ Σαμαρεῖται καὶ Ἰουδαῖοι ἐν Παλαιστίνῃ βασιλέα Ἰουλιανόν τινα ἔστεψαν. καὶ κατὰ Χριστιανῶν ὅπλα κινήσαντες, ἁρπαγὰς καὶ φόνους καὶ ἐμπυρισμοὺς κατὰ Χριστιανῶν εἰργάσαντο. οὓς ὁ θεὸς παρέδωκεν εἰς χεῖρας Ἰουστινιανοῦ, καὶ ἀνῄλωσε πάντας, καὶ ἀπεκεφάλισεν τὸν τύραννον Ἰουλιανόν. Χοσρόης δὲ ὁ τῶν Περσῶν βασιλεὺς δεξάμενος Ἑρμογένην μάγιστρον μετὰ δώρων πρεσβεύοντα περὶ εἰρήνης, τῷ δὲ Ἰουλίῳ μηνὶ τῆς αὐτῆς ζ' ἰνδικτιῶνος λαβὼν τὰ δῶρα, εἰρήνην οὐ κατεδέξατο ποιῆσαι, ἀναπεισθεὶς ὑπὸ Σαμαρειτῶν προσφυγόντων αὐτῷ, καὶ ὑποτιθεμένων αὐτῷ προδιδόναι τὴν χώραν αὐτῶν, πᾶσαν τὴν Παλαιστίνην, ὡς ἔχοντες καὶ συμμαχίαν Ἰουδαίους τε καὶ Σαμαρείτας χιλιάδας πεντήκοντα. τούτοις θαρρήσας Χοσρόης οὐ προείλετο τὴν εἰρήνην, βουλόμενος καὶ τὴν Ἱερουσαλὴμ δι' αὐτῶν παραλαβεῖν ἔχουσαν

2. προεβάλετο A, προεβάλλετο vulg. στρατηγὸν A b, στρατηλάτην vulg. 4. μάγιστρος ὁ Σκύθης A. 7. Ἰουλιανόν τινα A, τινὰ Ἰουλ. vulg. 15. ἀναπεισθεὶς A, πεισθεὶς vulg. 19. προείλετο A, προσείλετο vulg. 20. καὶ add. ex A.

Phrygia qui Lycocranitae nuncupantur: et revocato Hypatio patricio Secundino, magistrum militiae praefecit in oriente Belisarium. duodecimo vero Maii Hermogenes magister vir litteratus, ad Persarum regem ab imperatore Iustiniano legatus de pace habenda missus, Antiochiam pervenit. Iunio deinde mense Samaritae et Iudaei Palaestinam incolentes, Iuliano quodam in regem coronato, motisque in Christianos armis, rapinas, caedes, incendia adversus eos excitaverunt: quos deus in Iustiniani manus tradidit, adeo ut deletis omnibus Iulianum tyrannum capite obtruncarit. Chosroës autem Persarum rex Hermogenem magistrum de pace habenda tractatum habiturum cum donis accedentem suscepit: at Iulio mense, fuit is eiusdem indictionis 7, muneribus acceptis, propositum de pace sermonem respuit, ita nimirum a profugis Samaritis persuasus, qui regionem suam et universam Palaestinam, utpote qui auxiliares copias Iudaeorum et Samaritarum quinquaginta millia haberent, proditione tradere pollicebantur. his confisus Chosroës, pacis conditionem non accepit, quin immo de Hierosolymis per istos potiundis cogitabat, urbe videlicet

χρυσοῦ ἀναρίθμητα κεντηνάρια, καὶ λιθείαν πολλήν. ἀφορμὴν δὲ ἔβαλεν περὶ τῶν χρυσορυχίων τῶν ἐν τοῖς ὄρεσιν Ἀρμενίας, ὡς πρώην ἀνὰ τάλαντα τελούντων Ῥωμαίοις τε καὶ Πέρσαις, νῦν δὲ Ῥωμαίοις μόνοις τελούντων. καὶ ἄλλα τινὰ κεφάλαια προφασιζόμενος ἔγραφε τῷ βασιλεῖ. γνωσθέντος δὲ τοῦ δράματος τῶν Σαμαρειτῶν, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ἐκ V. 122 τῶν Περσῶν, ἐκρατήθησαν εἰς τὸ Ἀμμίδιος· ἦσαν δὲ Σαμαρεῖται ὀνομαστοὶ πέντε ἐκ τῶν εὐπόρων αὐτῶν· καὶ παρε- D δόθησαν τῷ στρατηλάτῃ Βελισαρίῳ, καὶ ἐξετασθέντες ὡμολόγησαν πάντα.

Τῷ δ' αὐτῷ χρόνῳ ὁ δοὺξ Παλαιστίνης ἐποίησεν ἔχθραν μετὰ τοῦ φυλάρχου τῶν ὑπὸ Ῥωμαίους Σαρακηνῶν. καὶ φοβηθεὶς ὁ φύλαρχος εἰσῆλθεν εἰς τὸ ἐσώτερον λιμωτόν. καὶ μαθὼν ὁ Ἀλαμούνδαρος ἐπιρρίψας, παρέλαβεν αὐτὸν καὶ ἐφόνευσεν. καὶ λαβὼν τὰς γυναῖκας αὐτοῦ καὶ τὰ τέκνα, ὑπέστρεψεν. καὶ μαθόντες οἱ δοῦκες τῆς Φοινίκης καὶ Ἀραβίας καὶ Μεσοποταμίας καὶ ὁ φύλαρχος ἐδίωξαν ὀπίσω αὐτοῦ, καὶ ἀκούσας ὁ Ἀλαμούνδαρος ἔφυγεν εἰς τὰ Ἰνδικὰ μέρη, εἰς ἃ οὐδεὶς τῶν Ῥωμαίων εἰσῆλθέν ποτε. παρέλαβον δὲ P. 153

1. λιθείαν] λιθέαν codd. et vulg. 2. ἔβαλεν] fort. ἔλαβεν. 3. τάλαντα A, ταλάντου vulg. τε add. ex A. 4. τελοῦντες A b. 8. ὀνομαστοὶ A, ὀνόματα vulg. 13. Λιμητῶν codd. et vulg. 14. ὁ add. ex A.

praedivite, quae innumera auri centenaria et ingentem pretiosorum lapidum congeriem penes se haberet. praetextum vero cepit auri fodinas in montibus Armeniae, utpote quae talentum Romanis simul atque Persis olim, nunc autem solis Romanis penderent, atque alia quaedam capita praetendens ad imperatorem scripsit. cum vero id Samaritarum commentum esse compertum fuisset, redeuntes e Persia detenti sunt ad Ammidium. erant autem isti praecipui quinque optimates, et inter cives potioribus valebant opibus; et ii militiae magistro Belisario traditi, et diligentius examinati, cuncta palam confessi sunt.

Hoc etiam anno Palaestinae dux inimicitias cum Saracenorum Romanis subditorum tribuno suscepit: quo exterritus tribunus in interiorem limitem se recepit. quod cum rescisset Alamundarus, irruptione facta, tenuit eum et morte damnavit: captisque uxoribus et filiis eius, reversus est. ea re audita, Phoeniciae, Arabiae et Mesopotamiae duces, nec non ipse Saracenorum tribunus ipsum a tergo insequuti sunt: quo cognito, ad Indiae partes, quas Romanorum nullus hucusque penetravit, Alamundarus fugit. eius itaque tentoria diripuerunt, et Saracenorum virorum, mulierum et puerorum innume-

καὶ τὰς σκηνὰς αὐτοῦ, καὶ ἤνεγκαν αἰχμαλωσίαν πολλὴν Σαρακηνῶν, ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων, καὶ ὅσους εὗρον Ῥωμαίους αἰχμαλώτους, καὶ καμήλους καὶ πρόβατα καὶ βόας καὶ πολλὴν μέταξαν καὶ ἱματισμόν. ἔκαυσαν δὲ καὶ Περσικὰ κάστρα τέσσαρα· καὶ ὑπέστρεψαν μετὰ νίκης μεγάλης.

A.M.6022 B Τούτῳ τῷ ἔτει τῆς ἡ ἐπινεμήσεως ἐποίησεν ὁ βασιλεὺς Ἰουστινιανὸς διωγμὸν μέγαν κατὰ τῶν Ἑλλήνων καὶ πάσης αἱρέσεως, καὶ τὰς τούτων οὐσίας ἐδήμευσεν. κατηγορήθη δὲ καὶ Μακεδόνιος ὁ ἀπὸ ῥεφερενδαρίων καὶ Ἀσκληπιόδοτος ὁ ἀπὸ ἐπάρχων, ὅστις καὶ φοβηθεὶς ἐπίστευσεν καὶ ἀπέθανεν· καὶ Πηγάσιος ὁ Ἡλιουπολίτης σὺν τοῖς τέκνοις αὐτοῦ ἐν προόδῳ ἐξητάσθησαν, καὶ Φωκᾶς ὁ πατρίκιος τοῦ Κρατεροῦ, καὶ ὁ κοιαίστωρ Θωμᾶς, καὶ ἄλλοι συνελήφθησαν· καὶ φόC βος πολὺς ἐγένετο. καὶ ἐθέσπισεν ὁ βασιλεύς, ὥστε μὴ πολιτεύεσθαι τοὺς ἑλληνίζοντας, μηδὲ τοὺς αἱρετικούς, εἰ μὴ μόνους τοὺς ὀρθοδόξους Χριστιανούς, οὓς αὐτοῖς καὶ προθεσμίαν ἕως μηνῶν τριῶν πρὸς ἐπιστροφήν. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς αὐτῆς ὑγδόης ἰνδικτιῶνος ἐν Ἀντιοχείᾳ ὁ Ἑρμογένης ὁ ἀπὸ ὑπάτων μάγιστρος καὶ Ῥουφῖνος ὁ ἀπὸ στρατηλατῶν πατρίκιος ἐπὶ τὰ Περσικὰ μέρη ἀπερχόμενοι πρεσβευταί, καὶ

1. καὶ prius add. ex A b. αὐτοῦ A b, αὐτῶν vulg. 10. ἐπάρχων A b, ὑπάρχων vulg. ἐπίστευσεν] ἐπίπτωσεν A. neutrum verum esse videtur. 15. μόνον a. 18. ὑγδόης add. ex A.

ram multitudinem abduxerunt captivam, et quos reperere Romanos captivitate oppressos, camelos, oves bovesque, nec non sericorum filorum copiam ingentem vestesque plurimas secum tulerunt. castella quoque Persarum quatuor succenderunt igni, et cum praeclara victoria regressi sunt.

A.C.522 Hoc anno, qui octavae indictionis, adversus gentiles et haeresim omnem Iustinianus imperator persecutionem movit, et eorum facultates aerario publico addixit. tunc accusatus est Macedonius exreferendarius et Asclepiodotus expraefectus, qui metu pulsus fidem amplexus est et obiit mortem: Pegasius etiam cum filiis inter procedendum examinatus est: Phocas etiam patricius Crateri filius, et Thomas quaestor, et alii plures comprehensi: quod maximum omnibus timorem incussit. imperator autem solos Christianos, eosque recta in fide probatos, ad communia et curialia munera sustinenda admitti, gentiles et haereticos ab eis amoveri lata lege sanxit; iisdem vero trimestre tempus ineundae resipiscentiae terminum ultimum praescripsit. porro mense Martio eiusdem indictionis Hermogenes exconsularis et magister, nec non Rufinus exmagister militiae et patricius Antiochia

φθάσαντες εἰς τὸ Δαρᾶς, ἐμήνυσαν τῷ βασιλεῖ τῶν Περσῶν τοῦ δέξασθαι καὶ αὐτούς. καὶ ἐν τῷ διάγειν αὐτοὺς εἰς τὸ Δαρᾶς ἅμα Βελισαρίῳ τῷ στρατηλάτῃ τῆς ἀνατολῆς, καὶ τῶν λοιπῶν ἐξάρχων Ῥωμαίων, καὶ ἀπλικευόντων αὐτῶν πρὸ μι-
5 κροῦ τῆς πόλεως, μαθὼν ὁ Μηρὰν πρωτοστράτηγος τοῦ Περ- D
σῶν βασιλέως σὺν τῷ υἱῷ τοῦ βασιλέως, καὶ τοῖς λοιποῖς στρατηγοῖς τῆς Περσίδος, συνηγμένοι ἐν τῷ Νιτζιβίῳ μετὰ Περσικῆς δυνάμεως πολλῆς τῷ Ἰουνίῳ μηνὶ τῆς ἰνδικτιῶνος η', ἐπέρριψαν αὐτοῖς μερίσαντες τὸ ἴδιον πλῆθος εἰς τρία τά-
10 γματα. καὶ τοῦτο γνόντες οἱ στρατηγοὶ Ῥωμαίων σὺν τῷ μαγίστρῳ καλῶς στρατηγήσαντες, ὥρμησαν κατὰ τῶν Περσῶν, καὶ ἐγένετο πόλεμος μέγας καὶ συμβολὴ φοβερά. καὶ ἔκοψαν οἱ Ῥωμαῖοι τοὺς Πέρσας, καὶ ἀπώλεσαν αὐτοὺς ἐπά- ραντες καὶ τὸ βάνδον αὐτῶν. ὁ δὲ Μηρὰν καὶ ὁ υἱὸς τοῦ V. 123
15 βασιλέως Περσῶν καὶ ὀλίγοι ἐκ τῶν περισωθέντων κατέφυγον P. 154
εἰς τὸ Νιτζίβιος· καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι νίκην μεγάλην. γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς τῶν Περσῶν, ἐπέτρεψεν εἰσελθεῖν πρὸς αὐτὸν τὸν πατρίκιον Ῥουφῖνον μόνον ἅμα τῷ κόμητι Ἀλεξάνδρῳ. καὶ τῷ Αὐγούστῳ μηνὶ εἰσῆλθον πρὸς αὐτόν,

1. ἐμήνυσαν — — — — Δαρᾶς om. A. 5. Μηρὰμ A passim. 6. τοῖς λοιποῖς στρατηγοῖς b, τῶν λοιπῶν στρατηγῶν vulg. 7. Νιτζιβίως A. 9. ἐπέρριψαν A, ἐπέρριψεν vulg. μερίσαντες A b, μερίσας vulg. 11. τῶν add. ex A b. 13. οἱ add. ex A. ἀπόλεσαν vulg. 16. Νιτζιβίως A. 17. ἐπέτρεψεν A, ἔτρεψεν vulg. 19. εἰσῆλθον A, εἰσῆλθεν vulg.

digressi, et legatorum munere fungentes Persiam versus profecti, Daras cum pervenissent, regi Persarum, ut se ad colloquium exciperet, denunciaverunt. dum vero subsistunt ad Daras, Belisarius orientalis militiae magister una cum reliquis Romanis ducibus urbi quam proxime castra applicuit: qua re cognita, Meran Persarum regis supremus dux, ipseque regis filius, et caeteri Persarum duces cum innumeris copiis Nisibi collecti, acie omni in partes tres divisa, Iunio mense memoratae octavae indictionis in eos irruerunt. comperto periculo, Romanorum duces una cum magistro eductis ordine praeclaro copiis, obviam in Persas iverunt, unde acre praelium conflictusque terribilis insequutus est. caesis itaque Persis, et ad internecionem profligatis, vexillum eorum tulerunt Romani: Meran vero regisque Persarum filius paucique admodum e praelio superstites fuga Nisibim contenderunt, praeclara Romanis relicta victoria. quod ubi Persarum rex agnovit, patricium Rufinum solum una cum Alexandro comite ad se accedere permisit: et insequenti mense Augusto eum convenientes,

καὶ πολλὰ διαλεχθέντες καὶ εἰρήνης πάκτα κατατυπώσαντες
B ἐξῆλθον ἐν εἰρήνῃ.

A.M. 6023 Ῥώμης ἐπισκόπου Βονιφατίου ἔτος α'.

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος θ' ἐφάνη μέγας καὶ φοβερὸς ἀστὴρ εἰς τὸ δυτικὸν μέρος κομήτης πέμπων ἐπὶ τὰ ἄνω τὰς ἑαυτοῦ ἀκτῖνας ἀστραπτούσας, ὃν ἔλεγον Λαμπαδίαν, καὶ ἔμεινεν ἐπὶ εἴκοσι ἡμέρας λάμπων· καὶ ἐγένοντο κοσμικαὶ δημοκρατίαι καὶ φόνοι. ἐν δὲ τῇ συμπληρώσει τοῦ Νοεμβρίου μηνὸς κατέλαβεν ὁ πατρίκιος Ῥουφῖνος
C ἐκ τῆς πρεσβείας τῶν Περσῶν πρὸς τὸν βασιλέα Ἰουστινιανὸν εἰρήνης πάκτα στοιχήσας· ὃν τινα δεξάμενος βασιλεὺς ἐχάρη λίαν διὰ τὴν εἰρήνην, καὶ ἠσμένισε τὰ στοιχηθέντα πάκτα, καὶ ἔτυχον εἰρήνης τὰ πράγματα ἀμφοτέρων.

A.M. 6024 Τούτῳ τῷ ἔτει πέμπτῳ ὄντι τῆς βασιλείας Ἰουστινιανοῦ μηνὶ Ἰανουαρίῳ ἰνδικτιῶνος δεκάτης γέγονεν τοῦ λεγομένου Νίκα ἡ ἀνταρσία. καὶ ἔστεψαν οἱ τῶν δήμων εἰς βασιλέα Ὑπάτιον τὸν συγγενῆ τοῦ βασιλέως Ἀναστασίου· καὶ ἐκαύ-
D θη πολὺ μέρος τῆς πόλεως, καὶ ἡ μεγάλη ἐκκλησία, καὶ ἡ ἁγία Εἰρήνη, καὶ ὁ ξενὼν τοῦ Σαμψών, καὶ τὸ Αὐγουστέον, καὶ τὸ προσκύνιον τῆς βασιλικῆς, καὶ ἡ Χαλκῆ τοῦ παλατίου.

1. κατατυπώσαντες ἐξῆλθον ἐν εἰρήνῃ A, τυπώσαντες, ἐξῆλθεν εἰρήνη vulg. 12. ἐχάρη add. ex A. ἠσμένισε A, ἠσμένησε vulg.

et ad invicem saepius colloquuti, firmatis speratae pacis conditionibus, in pace secesserunt.

A. C. 523 Romae episcopi Bonifacii annus primus.

Hoc anno, mense Septembri, indictione nona, ingens et terribile astrum ad occidentalem caeli plagam visum, cometes nimirum, Lampadias dictus, in superiorem caeli partem radios fulguris in modum coruscantes emittens, ac per totos viginti dies perseverans: ex quo universales populorum tumultus, et caedes sequutae. exeunte porro mense Novembri, patricius Rufinus sua ad Persas legatione functus, datis pacis conditionibus, ad imperatorem Iustinianum reversus est: eum ob firmatam pacem excepit imperator gratissime, et foederis initi pactas conditiones ex animo laetusque probavit: atque ita demum Romanorum et Persarum res optima pace potitae sunt.

A. C. 524 Hoc anno, qui Iustiniani imperii quintus, mense Ianuario, indictione decima, seditio, cui nomen Nica, Vince, factum est, ortum habuit: populariesque tribus Hypatium Anastasii imperatoris consanguineum imperatorem coronaverunt: plurimaque urbis pars subinde incendium passa est, ut et magna ecclesia, sanctae Irenes templum, peregrinorum Sampsonis nomine hospitium, Augusteum, regiae atrium

καὶ ἐγένετο φόβος μέγας, καὶ πολλοὶ τῶν εὑρεθέντων ἐν τῷ λεγομένῳ ἱππικῷ μετὰ Ὑπατίου, ὥς φασι, τριάκοντα πέντε χιλιάδες ἀπέθανον. γέγονεν δὲ ἡ ἀταξία τοῦ Νίκα τρόπῳ τοιούτῳ. ἀνελθόντα τὰ μέρη ἐν τῷ ἱππικῷ, ἀνέκραξαν οἱ τῶν Πρασίνων· ἄκτα. διὰ Καλοπόδιον τὸν κουβικουλάριον καὶ σπαθάριον. οἱ Πράσινοι· ἔτη πολλά, Ἰουστινιανὲ αὔγουστε· τοῦ βίκας. ἀδικοῦμαι, μόνε ἀγαθέ, οὐ βαστάζω. οἶδεν ὁ θεός. P. 155 φοβοῦμαι ὀνομάσαι, μὴ πλέον εὐτυχήσῃ καὶ μέλλω κινδυνεύειν. — Μανδάτωρ· τίς ἐστιν, οὐκ οἶδα. — Ὁ πλεονεκτῶν με, τρισαύγουστε, εἰς τὰ τζαγγάρια εὑρίσκεται. — Μανδάτωρ· οὐδεὶς ὑμᾶς ἀδικεῖ. — Οἱ Πράσινοι· εἷς καὶ μόνος ἀδικεῖ με, θεοτόκε, μὴ ἀνακεφαλίσῃ. — Μανδάτωρ· τίς ἐστιν ἐκεῖνος, οὐκ οἴδαμεν. — Οἱ Πράσινοι· σὺ καὶ μόνος οἶδας, τρισαύγουστε, τίς πλεονεκτεῖ με σήμερον. — Μανδάτωρ· * εἴ τις ἐάν ἐστιν, οὐκ οἴδαμεν. — Οἱ Πράσινοι· Καλοπόδιος ὁ σπαθάριος ἀδικεῖ με, δέσποτα πάντων. — Μανδάτωρ· οὐκ ἔχει πρᾶγμα Καλοπόδιος. — Οἱ Πρά- V. 124 σινοι· εἴ τίς ποτέ ἐστιν, τὸν μόρον ποιήσει τοῦ Ἰούδα, ὁ B θεὸς ἀνταποδώσει αὐτῷ ἀδικοῦντί με διὰ τάχους. — Μαν-

γένους τῶν Γηγέδων καταγόμενος, υἱὸς Γιέσμου, ὅστις μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ ἦλθεν πρὸς Ῥῆγαν τὸν θεῖον αὐτοῦ ἀπὸ μητρός, ῥῆγα ὄντα τοῦ Σερμίου, καὶ γνοὺς τοῦτο ὁ ῥὴξ Ῥώμης, ὁ Θευδέριχος, πέμψας πρὸς αὐτόν, καὶ πεισθεὶς ἀπῆλθεν πρὸς αὐτόν, καὶ ἦν μετ' αὐτοῦ συμμαχῶν αὐτῷ.
μετὰ δὲ τὴν τελευτὴν Θευδερίχου, ἦλθεν ἐπὶ τὸν Δανούβιον C

4. ἐσώκησαν a. 5. Γόδηλαν a, Γώδηλαν f. 6. παραμερίου vulg. 8. ἐξέδωκαν] δέδωκαν vulg. 15. fort. Γηπιδῶν s. Γηπαίδων. 16. Ῥῆγαν, vulgo ῥῆγαν, sed haud dubie nomen proprium est.

garos undique suis copiis interclusos ferro caedentes, innumeram ex eis multitudinem prostraverunt, praedam omnem abegerunt, sublatisque regibus eorum duobus, praeclaram sua virtute tulerunt victoriam. e pugna revertentibus ac laetis alii Bulgari occurrerunt et Constantinum, Acum et Godillam fugientes soco velut reste interceperunt. Godillas quidem soco gladii opera rescisso, effugit: Constantinus autem una cum Acum vivus comprehensus est. Constantinus certe nummorum mille pretio redemptus Cpolim rediit: Acum vero retento cum caeteris captivis, ad proprios lares remeaverunt.

Hoc eodem anno Persarum rex Chosroës magnam Antiochiam, quae est in Syria, cepit: et Apameam aliasque civitates, armorum vi sibi subactas, victor ingressus est.

Hoc anno Mundus e Gepedibus suum genus trahens, Giesmi A. C. 532
filius, qui post patris obitum ad Regam avunculum ex matre Sirmii regem accessit, in Romanorum partes transiit. eo cognito Romae rex Theuderichus legatos ad eum misit; quorum verbis ille suasus, ad Theuderichum profectus, cum eo moratus est, armorum eius socius factus. Theudericho fatis functo ad Danubium flumen venit, et ab imperatore

ποταμόν, καὶ ἠτήσατο τὸν βασιλέα Ἰουστινιανὸν εἶναι ὑπὸ τὴν βασιλείαν αὐτοῦ. καὶ ἦλθεν ἐν Κωνσταντινουπόλει, καὶ πολλὰ αὐτὸν φιλοτιμησάμενος ὁ βασιλεὺς καὶ τὸν υἱὸν αὐτοῦ, ἀπέλυσεν αὐτούς, ποιήσας αὐτὸν στρατηλάτην τοῦ Ἰλλυρικοῦ. καὶ ἐν τῷ παραγενέσθαι αὐτὸν εἰς τὸ Ἰλλυρικόν, ἐξῆλθον οἱ Βούλγαροι πλῆθος πολύ, καὶ ὁρμήσας κατ' αὐτῶν πάντας ἀνήλωσεν. καὶ ἀπέστειλεν ἐν Κωνσταντινουπόλει ἐκ τῆς αἰχμαλωσίας τῶν ἡγουμένων αὐτῶν μετὰ καὶ ἄλλων πολλῶν, καὶ ἐπόμπευσαν αὐτοὺς ἐν τῷ ἱππικῷ. καὶ ἐγένετο εἰρήνη
V. 148 βαθεῖα ἐν τῇ Θράκῃ, μηκέτι τολμώντων τῶν Οὔννων περᾶσαι
D τὸν Ἄνουβιν. τοὺς δὲ αἰχμαλώτους τῶν Βουλγάρων ἔπεμψεν ὁ βασιλεὺς εἰς Ἀρμενίαν καὶ εἰς Λαζικήν. καὶ κατετάγησαν ἐν τοῖς νουμερίοις ἀριθμοῖς.

A.M. 6033 Ἀλεξανδρείας ἐπισκόπου Παύλου ἔτος α'.

Τούτῳ τῷ ἔτει τῷ ιδ' Ἰουστινιανοῦ Χοσρόης ὁ τῶν Περ-
P. 186 σῶν βασιλεὺς τετάρτην εἰσβολὴν εἰς τὴν Ῥωμαίων γῆν ἐποιήσατο. ἐλθόντι δὲ εἰς τὴν τῶν Κωμαγηνῶν χώραν, κατὰ Παλαιστίνης καὶ Ἱεροσολύμων διενοεῖτο χωρεῖν, ὅπως τὰ ἐν Ἱεροσολύμοις κειμήλια λήΐσηται. χώραν γὰρ ταύτην ἀγαθὴν καὶ πολύχρυσον οἰκητόρων ἤκουσεν εἶναι. Ῥωμαῖοι δὲ τούτοις ὑπαντιάζειν τρόπῳ οὐδενὶ διενοῦντο, τὰ δὲ ὀχυρώματα κατα-

5. ἐκ τοῦ Ἰλλυρικοῦ a. 8. πολλῶν add. ex a. 13. Νουμέροις e. 19. λεΐζεται e. 20. fort. πολυχρύσων.

Iustiniano imperii subditum se deinceps haberi postulavit. quin etiam Cpolim accessit, quem imperator una cum filio maximis muneribus donatum et Illyrici magistrum militiae renunciatum a se dimisit. Illyricum versus iter agenti, et iam proximo Bulgarorum manus innumera praeclusit iter: ipse nihilominus viam ferro aperuit, et irruens in adversos delevit omnes. selectos vero ex captivis duces cum aliis pluribus Cpolim misit, quos publicis affectos ludibriis per circum traduxerunt. exinde profunda pax per Thraciam acta, Unnis Danubium traiicere nusquam amplius ausis. porro Bulgarorum captivos in Armeniam et Lazicen misit imperator, et in militares numeros retulit.

A.C. 533 Alexandriae episcopi Pauli annus primus.

Hoc anno, qui Iustiniani decimus quartus, Persarum rex Chosroës quartam irruptionem in Romanorum ditionem fecit: iamque in Comagenarum provinciam delatus Palaestinam, et ipsam Hierosolymam, dona in ipsa reposita depraedaturus, aggredi meditabatur. eam quippe regionem fertilissimam, et eius incolas auro pecuniisque felices audierat. Romani vero impendenti ruinae in adversum ire negligebant.

λαβόντες, ὡς ἕκαστος ἠδύνατο, ταῦτα διαφυλάττειν καὶ αὐτοὶ σώζεσθαι ἐβούλοντο. γνοὺς δὲ ταῦτα Ἰουστινιανός, Βελισάριον αὖθις ἐκ τῶν ἑσπερίων ἐληλυθότα εἰς αὐτοὺς ἔπεμψεν. ὁ δὲ ἵπποις τοῖς δημοσίοις ὀχούμενος τάχει πολλῷ εἰς τὴν Εὐφρατησίαν ἀφίκετο. Ἰοῦστος δὲ ὁ τοῦ βασιλέως ἀνεψιὸς σὺν Βούζῃ τῷ στρατηγῷ τῆς ἑῴας ἐν Ἱεραπόλει καταφυγὼν B ἐτύγχανεν. ἀκούσαντες δὲ Βελισάριον ἥκειν γράφουσι πρὸς αὐτοὺς ἀφίκεσθαι, καὶ τὴν Ἱεράπολιν διαφυλάττειν. ὁ δὲ Βελισάριος τούτους λίαν κατεμέμψατο, γράψας πρὸς αὐτούς, οὐ δίκαιον εἶναι μίαν πόλιν φυλάττειν, καὶ τοὺς ἐχθροὺς ἀφιέναι ἐπὶ τῇ τῶν Ῥωμαίων χώρᾳ μετὰ ἀδείας βαδίζειν, καὶ τὰς τῆς βασιλείας πόλεις λυμαίνεσθαι. εὖ γὰρ ἴστε, ὅτι τὸ μετὰ ἀρετῆς ἀπολωλέναι τοῦ σεσῶσθαι ἀμαχητὶ ἄμεινον. οὐ γὰρ ἂν σωτηρία τοῦτο κληθείη, ἀλλὰ προδοσία δικαίως. ἀλλ' ἥκετε τάχιστα εἰς Εὔρωπον χωρίον, οὗ δὴ συλλέξας τὸ στράτευμα ὅλον, ὡς ἄν ὁ θεὸς θέλῃ, ἐλπίδα ἔχω τοὺς πολεμίους ἐργάσασθαι. ταῦτα ἀκούσαντες οἱ ἄρχοντες ἐθάρσησαν, καὶ C Ἰοῦστον μὲν σὺν ὀλίγοις τισὶ φυλάττειν τὴν Ἱεράπολιν κατέλιπον· οἱ δὲ λοιποὶ εἰς Εὔρωπον ἦλθον. γνοὺς δὲ Χοσρόης Βελισάριον καὶ πάντα τὸν στρατὸν Ῥωμαίων στρατοπεδεύσε-

4. τοῖς δημοσίοις a, τοῖς τοῦ δημοσίου vulg. 7. ἀκούσαντες a, ἀκούσας vulg. 12. τὸ μετὰ ἀρετῆς ἀπολ. a, σὺν τῇ ἀρετῇ τὸ ἀπ. vulg. 14. κλυθείη vulg. 19. ἦλθον] ἐλθόντες e.

etenim munita quaeque loca occupantes, ea pro viribus singuli defendere, et in eis quaerere salutem. eo nuncio accepto, Belisarium ex occidentis partibus denuo reversum in Persas mittit Iustinianus. Belisarius equis publicis vectus celeri cursu in Euphratesiam delatus est. nepos autem imperatoris Iustus una cum Buze orientalis militiae magistro Hierapolim se recepit: illi cum Belisarium adesse novissent, ad se accedere et Hierapolim armis tutari litteris suis rogant. sed Belisarius ipsos rescriptis obiurgavit, ex aequo et bono unam urbem ut protegeret non esse dicens, ac interim per Romanorum ditionem hostes libere divagari, reliquasque imperii urbes devastare permitteret. neque latet vos sane, mortem virtute ornatam salute citra pugnae discrimen comparata longe praestantiorem: nec enim salutem eam merito dixerim, sed proditionem manifestam. verum relicta mora accedite vos in Europum pagum, quo collecto exercitu omni, si deus concesserit, hostes me superaturum confido. his auditis animos resumpserunt proceres, et Iusto cum paucis ad civitatis Hierapoleos defensionem relictis, reliqui Europum se contulerunt. Chosroës ubi Belisarium et Romanum exercitum omnem ad Europum

σθαι ἐν Εὐρώπῳ, ἐξέστη, καὶ πρόσω μὲν ἐλαύνειν οὐκ ἔτι ἔγνω· Ἀβανδάζην δὲ τὸν γραμματέα, ἄνδρα συνετόν, πρὸς Βελισάριον ἔπεμψεν, τόν τε στρατηγὸν κατασκεψόμενον καὶ τὸ στρατόπεδον τῷδε λόγῳ δῆθεν μεμψόμενον, ὅτι βασιλεὺς Ἰουστινιανὸς τοὺς πρέσβεις ἐν Περσίδι οὐκ ἔπεμψεν τὴν εἰρήνην πρυτανεύσοντας. ὁ δὲ Βελισάριος μαθὼν τοῦ πρεσβεύειν ἥκειν, αὐτὸς μὲν ἐξακισχιλίους ἐπιλεξάμενος, εὐμήκεις τε καὶ
D τὰ σώματα καλούς, ἄπωθεν τοῦ στρατοπέδου κυνηγήσειν ἐξῄει. Διογένη δὲ τὸν δορυφόρον καὶ Ἀδούλιον, ἄνδρα Ἀρμένιον, τὸν ποταμὸν διαβῆναι σὺν ἱππεῦσι χιλίοις ἐκέλευσεν, ὡς ψηλαφήσοντας τὴν τοῦ ποταμοῦ διάβασιν. Βελισάριος δὲ ἐπεὶ τὸν πρεσβευτὴν ἐγγὺς ἐρχόμενον ἔγνω, τὸν παπυλεῶνα ἐπήξατο ἐν χωρίῳ ἐρήμῳ, παραδηλῶν ὅτι οὐδεμιᾷ παρασκευῇ ἐνταῦθα ἥκει. τοὺς δὲ στρατιώτας διεπέταξεν τῆς μὲν καλύβης ἑφ' ἑκάτερα εἶναι Θρᾷκας τε καὶ Ἰλλυρίους Γότθους τε καὶ Ἔλουρους, μεθ' οὓς Οὐανδήλους καὶ Μαυρουσίους τοῦ τε πεδίου
P. 187 ἐπιπλεῖστον· διηκόνουν γὰρ ἢ εἰς ἕνα τόπον, ἀλλ' ἐβάδιζον
V. 149 εἰλισσόμενοι, ὡς κυνηγοῦντες, καὶ παρέργως, τὸ δοκεῖν, τὸν Χοσρόου πρεσβευτὴν ἔβλεπον· διεζωσμένοι τε ἐβάδιζον καὶ φαιδροὶ τὰ πρόσωπα, πελέκεις βαστάζοντες καὶ μεναύλους. ὁ

1. πρόσω μὲν ἐλαύνειν a, πρὸς δ μὲν ἐλαύνειν b, πρὸς δ μὲν ἤλαυνεν e f vulg. 7. ἀπολεξάμενος e. 8. fort. κυνηγήσων.

castra metatum intellexit, haesit attonitus, et non ultra progredi statuit, quin potius Abandazem, qui ei ab epistolis et in rebus gerendis vir strenuus erat, quasi praetexendis querimoniis, quod legatos de pacis foederibus servandis tractaturos imperator Iustinianus non misisset in Persidem, at reipsa ducem ipsum et eius exercitum et castra exploraturum, destinavit. eum legationis gratia proficisci audiens Belisarius, ipse hominum, quorum magnitudo corporisque forma reliquis praestabat, millibus sex electis, a castris nonnihil remotius quasi venaturus processit. porro Diogenem satellitem et Adulium virum Armenium cum equitibus mille quasi fluminis vada experturis, flumen traiicere imperavit. caeterum ubi legatum iam adesse cognovit, in loco deserto, tanquam apparatu relicto et absque proposito se advenisse significaret, papylionem fixit: milites autem ad tentorii utrumque latus iussit consistere (Thraces erant illi, Illyrii, Gotthi, Eluri, quibus etiam Vandali et Maurusii fuerant adiuncti) et planitiei spatium plurimum occupare: ministrantes quippe non referebant, nec uno se loco continebant; sed hinc inde agglomerati et vagantes, venatorum more discurrebant; obiter vero, et quasi aliud agentes Chosrois legatum se videre simulabant: et praecincti alioquin, et

μὲν Ἀβανδάζης εἰς ὄψιν Βελισαρίου ἐλθών, λυπεῖσθαι τὸν Χοσρόην ἔφασκεν, ὅτι δὴ καθ' ἃ συνέθετο, οὐκ ἔπεμψεν Ἰουστινιανὸς πρέσβεις πρὸς αὐτὸν περὶ τῆς εἰρήνης, καὶ ἠνάγκασεν Χοσρόην κατὰ Ῥωμαίων στρατεύσασθαι. Βελισάριος δὲ ἀντ' οὐδενὸς τούτους τοὺς λόγους ἐποιεῖτο, τὸν Χοσρόην λέγων αἴτιον τοῦ πολέμου. εἰ γὰρ εἰρήνης ἐφίετο, οὐκ ἂν εἰς τὴν τῶν Ῥωμαίων γῆν ἀφικόμενος, ταύτην ἐζήτει· ἀλλ' εἰς B τὴν ἰδίαν χώραν μένων, τοὺς πρέσβεις ἐξεδέχετο. καὶ ταῦτα εἰπών, τὸν πρέσβυν ἀπεπέμψατο. ὁ δὲ πρὸς Χοσρόην ἀφικόμενος, ἔφη στρατηγὸν ἑωρακέναι Βελισάριον συνετόν τε καὶ ἀνδρεῖον ὑπεράγαν, στρατιώτας δὲ οἵους αὐτὸς ἄλλους οὐ πώποτε εἶδεν, ὡς τὴν εὐκοσμίαν ἐθαύμασα ἐκ διαφόρων ἐθνῶν συνειλεγμένους, καὶ συνεβούλευσε Χοσρόῃ μὴ συμπλέκεσθαι εἰς μάχην μετ' αὐτῶν, ὅπως μὴ ἡττηθέντος αὐτοῦ τὸ πᾶν διαπέσῃ τῆς τῶν Περσῶν βασιλείας ἐν γῇ Ῥωμαίων ὑπάρχοντι καὶ φυγῆς τόπον μὴ ἔχοντι. καὶ νικᾷν αὐτὸν οὐ μέγα. στρατηγὸν γὰρ τῶν Ῥωμαίων καὶ μόνον νικήσειεν. ὁ δὲ Χοσρόης τῇ τούτου παραινέσει ἀναστρέφειν εὐθὺς ἐπὶ τὰ ἴδια C διενοεῖτο. ἐφοβεῖτο γὰρ τὴν διάβασιν τοῦ ποταμοῦ ποιήσασθαι, ὡς τῶν Ῥωμαίων ταύτην κατεχόντων. καὶ πολλὰ διὰ-

1. Ἀβανδάνης vulg. 11. οὐ πώποτε] ἐν πώποτε vulg. 15. Περσῶν] Ῥωμαίων a.

vultu hilari progrediebantur, gestabantque secures et bipennes. Abandanes itaque in Belisarii conspectum ductus, Chosroëm dolere dixit, quod neglectis pactis legatos de pace colloquuturos ad se non misisset Iustinianus, ac proinde ad bellum Romanis inferendum Chosroëm coegisset. Belisarius, quasi minimi sermones eius haberet, belli causam omnem in Chosroëm velut in eius auctorem referre. si pacis etenim cupidine tenebatur, nusquam certe in Romanorum ditionem ingressus, eam exquisiisset: quin potius propria stans regione legatorum adventum fuisset praestolatus. his dictis legatum dimisit. legatus ad Chosroëm reversus Belisarium ducem virum prudentia eximium, et animi fortitudine conspicuum se vidisse retulit: milites vero ex diversis gentibus coactos, quantum quidem ex armorum ornatu conii-cere licuit, quales alios me vidisse nusquam memini. cum huiusmodi igitur bello decertare nusquam auctor fieret, ne ipso superato, genus omne Persarum regnique summa in Romanorum ditione periculum experiretur, nec tamen receptui commodum reperiret locum; si vincerent, non magni quidem aestimandum: unius etenim soliusque Romanorum ducis superiores evaderent: Chosroës eius monitu propriam sedem repetere cogitabat: fluminis enim vadum, Romanis illud occu-

λογισάμενος, ἀπέστειλε πρὸς Βελισάριον παρακαλῶν αὐτὸν τοῦ τὸν ποταμὸν διαβάντας ἀναστεῖλαι, καὶ τούτῳ τὴν πάροδον ἀκωλύτως παρέχειν. Βελισάριος δὲ εὐθὺς πρὸς αὐτὸν πρέσβεις ἔπεμψεν, καὶ τοῦτον τῆς ἀναχωρήσεως ἐπήνεσεν, καὶ πρέσβεις ἐκ τοῦ βασιλέως συντόμως διεβεβαιώσατο, ὅπως τὴν εἰρήνην βραβεύσωσιν. ἠξίου δὲ Χοσρόης τὸν Βελισάριον διὰ τῆς τοῦ Ῥωμαίων γῆς τὴν πάροδον ποιήσασθαι ἀκινδύνως. ὁ δὲ Βελισάριος Ἰωάννην τὸν Ἐδεσσηνόν, ἄνδρα διαφανέστατον, ὅμηρον τῷ Χοσρόῃ ἀπέστειλεν πρὸς τὸ ἀκινδύνως παρελθεῖν αὐτὸν τὴν τῶν Ῥωμαίων χώραν. οἱ δὲ Ῥωμαῖοι τὸν Βελισάριον ἐν εὐφημίαις εἶχον, μᾶλλον [δὲ] ἐνευδοκιμήσαντα ἐν τούτῳ τῷ ἔργῳ, ἢ ὅτε Γελίμερά τε δορυάλωτον καὶ Οὐιττίγην τοὺς δύο βασιλεῖς εἰς Βυζάντιον ἤγαγεν. ἦν γὰρ ὡς ἀληθῶς λόγου τε καὶ ἐπαίνου ἄξιον, πεφοβημένων τῶν Ῥωμαίων καὶ ἐν τοῖς ὀχυρώμασι κρυπτομένων πάντων, Χοσρόου δὲ στρατῷ μεγάλῳ ἐν μέσῳ γεγονότος τῆς τῶν Ῥωμαίων ἀρ-
P. 188 χῆς, ἄνδρα ἕνα ἐν ὄξει δρόμῳ ἐκ Βυζαντίου ἥκοντα ἀπ' ἐναντίας τοῦ τῶν Περσῶν βασιλέως στρατοπεδεύσασθαι, Χοσρόην δὲ ἐκ τοῦ ἀπροσδοκήτου τῇ τούτου σοφίᾳ ἐξαπατηθέντα ἄπρακτον εἰς τὴν οἰκείαν ἀναχωρῆσαι χώραν.

Τῷ δ' αὐτῷ ἔτει Τιμοθέου ἐπισκόπου Ἀλεξανδρείας τε-

2. τοῦ τὸν] τοῦτον e. 5. διεβεβαιώσατο e, διεβεβαιοῦτο vulg. 11. δὲ delendum videtur. 12. Οὐιττίγην e, Οὐιττίγην vulg. Οὐιτιον a.

pantibus, tentare verebatur. multa igitur secum animo reputans, tandem ad Belisarium misit postulans, ut eos, qui amnem traiecerant, revocaret, sibique tutum pararet discessum. extemplo legatis ad eum missis secessum laudavit Belisarius, brevique delegandos ab imperatore affirmavit, qui firmam cum eo pacem constituerent. Chosroës autem per Romanorum terras transitum a periculo immunem habere postulabat. eapropter Ioannem Edessenum virum illustrissimum ad Chosroëm, quo tutius per Romanorum terras incedere posset, obsidem misit. interim Romani Belisarium felicibus votis faustisque acclamationibus prosequebantur, maiorem nimirum ex eo facto gloriam adeptum, quam cum Gelimerem bello captum atque Vettigem duos reges Cpolim perduxit. et fuit re vera memoratu et laude dignum illud facinus, quod cum Romani universi timore perculsi in munitiora loca se abdidissent, et Chosroës in medias Romani imperii provincias penetrasset, unus homo celeri cursu Byzantio advectus castra Persarum regis exercitui opponere ausus est: suaque sapientia effecit, ut Chosroës re inopinata deceptus, domum infecto negotio repeteret.

Eodem etiam anno Timotheo Alexandriae episcopo defuncto, impius

λευτήσαντος, Σεύηρος ὁ δυσσεβὴς Ἀντιοχείας μοιχὸς πρόεδρος, καὶ Ἰουλιανὸς ὁ Ἁλικαρνασεὺς ἐν Ἀλεξανδρείᾳ φυγόντες, περὶ φθαρτοῦ τε καὶ ἀφθάρτου διενεχθέντες κατ' ἀλλήλων γεγόνασιν, ὡς ἀληθείας ὄντες ἀλλότριοι. καὶ οἱ μὲν Θεοδόσιον, οἱ δὲ Γαϊνᾶν προεβάλλοντο εἰς ἐπίσκοπον Ἀλεξανδρείας· καὶ Γαϊνᾶς μὲν ἐκράτησε τῆς ἐπισκοπῆς ἐνιαυτόν· B
ὁ δὲ Θεοδόσιος δύο. τούτους δὲ Ἰουστινιανὸς πέμψας ἤγαγεν V. 150
ἐν Βυζαντίῳ, καὶ ἀλλήλων κεχωρισμένους διαιτᾶσθαι προσέταξεν. Παῦλον δέ τινα δοκούμενον εἶναι ὀρθόδοξον ἐπίσκοπον Ἀλεξανδρείας προεβάλετο. οὗτος τὴν μνήμην Σεύηρου τοῦ ἀνιέρου ποιήσας ἐξεβλήθη τῆς ἐπισκοπῆς ὀργῇ τοῦ βασιλέως, καὶ ἐλθὼν διέτριβεν εἰς Ἱεροσόλυμα.

Τούτῳ τῷ ἔτει ἐν μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνος ε', γέγονεν A.M. 6034
ἐν Βυζαντίῳ τὸ μέγα θανατικόν. καὶ τῷ αὐτῷ χρόνῳ ἡ ὑπαντὴ τοῦ κυρίου ἔλαβεν ἀρχὴν ἐπιτελεῖσθαι ἐν τῷ Βυζαντίῳ C
τῇ δευτέρᾳ τοῦ Φεβρουαρίου μηνός. καὶ τῷ Αὐγούστῳ μηνὶ ις', τῆς αὐτῆς πέμπτης ἰνδικτιῶνος, ἐγένετο σεισμὸς μέγας ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον αἱ ἐκκλησίαι καὶ οἶκοι καὶ τὸ τεῖχος μάλιστα τὸ κατὰ τὴν Χρυσῆν πόρταν. ἔπεσεν δὲ καὶ ἡ λόγχη ἣν ἐκράτει ὁ ἀνδριὰς ὁ ἑστὼς εἰς τὸν φόρον τοῦ ἁγίου Κωνσταντίνου, καὶ ἡ δεξιὰ χεὶρ τοῦ ἀνδριάντος

4. οἱ μὲν — οἱ δὲ] ὁ μὲν — ὁ δὲ a. 11. δι' ὀργὴν a. 16. Αὐγούσιῳ] αὐτῷ e.

Severus Antiochiae adulter praeses et Iulianus Halicarnassensis Alexandria fugientes, de corruptibili et incorruptibili motis quaestionibus ad invicem dissidentes, tanquam veritatis alieni, deprehensi sunt. et hi quidem Theodosium, Gaïnam alii Alexandriae promoverunt episcopum: et Gaïnas certe per annum tenuit episcopatum, per duos Theodosius. eos demum litteris accitos Cpolim advenire, et ab invicem separatos vivere mandavit Iustinianus, ac demum Paulum quendam de fide recte sentire existimatum renunciavit Alexandriae antistitem. hic ecclesiasticis in precibus et sacrificiis memoriam sacrilegi Severi faciens, irati imperatoris iussu episcopatus dignitate motus, Hierosolymam tandem profectus, ibi moratus est.

Hoc anno, mense Octobri, indictione quinta, mortalitas horrenda A. C. 534
Byzantii incubuit. eodem quoque anno hypapante sive occursus domini mensis Februarii die 2 celebrari coepit. Augusti etiam mensis decimo sexto, eadem indictione, ingens terrae motus Cpoli auditus, ex quo templa, aedes, et maxime murus, qui ad urbis Chrysen portam, corruit. lancea pariter, quam statua sancti Constantini in foro erecta tenebat, et Xerolophi statuae manus dextera decidit in terram:

τοῦ Ξηρολόφου· καὶ ἀπέθανον πολλοί, καὶ ἐγένετο φόβος μέγας.

A.M.6035 Ἀλεξανδρείας ἐπισκόπου Ζωΐλου ἔτος α'.

D Τούτῳ τῷ ἔτει συνέβη πολεμῆσαι τὸν βασιλέα τῶν Ἐξουμιτῶν Ἰνδῶν Ἰουδαίων ἐξ αἰτίας τοιαύτης. ὁ τῶν Ἐξουμιτῶν βασιλεὺς ἐνδότερός ἐστιν τῆς Αἰγύπτου, Ἰουδαΐζων. οἱ δὲ τῶν Ῥωμαίων πραγματευταὶ διὰ τοῦ Ὁμηρίτου εἰσέρχονται ἐπὶ τὸν Ἐξουμίτην, καὶ τὰ ἐνδότερα μέρη τῶν Ἰνδῶν καὶ Αἰθιόπων. τῶν δὲ πραγματευτῶν κατὰ τὸ εἰωθὸς εἰσελθόντων ἐν τοῖς ὀρείοις τοῦ Ὁμηρίτου, Δαμιανὸς ὁ τούτων βασι-

P. 189 λεὺς ἐφόνευσεν αὐτούς, καὶ ἀφείλετο πάντα τὰ αὐτῶν, λέγων, ὅτι οἱ Ῥωμαῖοι κακοποιοῦσιν τοὺς ἐν τῇ χώρᾳ αὐτῶν Ἰουδαίους καὶ φονεύουσιν αὐτούς. καὶ ἐκ τούτου ἔλυσαν τὴν πραγματείαν τῶν ἐνδοτέρων Ἰνδῶν τοῦ Ἐξουμίτου. καὶ ἀγανακτήσας ὁ τῶν Ἐξουμιτῶν βασιλεὺς ὁ Ἀδὰδ ἐδήλωσεν τῷ Ὁμηρίτῃ, ὅτι ἔβλαψας τὴν βασιλείαν μου, καὶ τὴν ἐνδοτέραν Ἰνδίαν, κωλύσας τοὺς Ῥωμαίων πραγματευτὰς τοῦ εἰσέρχεσθαι πρὸς ἡμᾶς. καὶ ἦλθον εἰς ἔχθραν μεγάλην, καὶ συνέβαλον πόλεμον μετ' ἀλλήλων. καὶ ἐν τῷ μέλλειν αὐτοὺς πολεμεῖν, Ἀδὰδ ὁ τῶν Ἐξουμιτῶν βασιλεὺς ἐτάξατο, λέγων· ὅτι

B εἰ νικήσω τὸν Ὁμηρίτην, Χριστιανὸς γίνομαι· καὶ ὅτι ὑπὲρ

6. Ἰουδαΐζων om. f.

inde plurimi mortem oppetiere, et ingens timor omnium animos pervasit.

A.C.535 Alexandriae episcopi Zoili annus primus.

Hoc anno regem Exumitarum (Indiam isti habitant, et Iudaeorum religionem colunt) ex huiusmodi causa bellum sustinere contigit. Exumitarum rex interiorem Aegyptum occupat, et Iudaeorum opiniones sectatur. Romani porro mercatores ad Exumitam et interiores Indorum Aethiopumque partes per Homeritarum terras penetrant. mercatores istos, ut moris erat, per Homeritae montes iter agentes, rex Homeritarum Damianus, direptis eorum facultatibus omnibus, occidit: eo quod Romani, aiebat, Iudaeos secum habitantes vexant, et mortem eis non verentur inferre: ex quo commercium interiorum Indorum Exumitae diremptum fuit. iratus itaque Exumitarum rex Adad Homeritae significavit: prohibitis Romanis mercatoribus ad nos usque accedere, regnum meum et interiorem Indiam omnem magno damno affecisti. ita demum magnis inter se inimicitiis susceptis, mutuo inter se bello contendebant. cumque iam in aciem congressuri essent, Exumitarum rex Adad voto se devinxit in hanc mentem. si Homeritae superior rediero, Christianus fiam, et in Christianorum

Χριστιανῶν πολεμιῶ. καὶ τῇ τοῦ θεοῦ ἐνεργείᾳ ἐνίκησεν κατὰ κράτος, καὶ ἔλαβεν αἰχμάλωτον ζῶντα Λαμιανὸν τὸν βασιλέα αὐτῶν, καὶ τὴν χώραν αὐτῶν, καὶ τὰ βασίλεια αὐτοῦ, καὶ εὐχαριστήσας τῷ θεῷ Ἀδὰδ ὁ βασιλεὺς τῶν Ἐξουμιτῶν, ἔπεμψεν πρὸς τὸν βασιλέα Ἰουστινιανὸν λαβεῖν ἐπίσκοπον καὶ κληρικούς, καὶ διδαχθῆναι γενέσθαι Χριστιανός. καὶ ἐχάρη ἐπὶ τούτῳ μεγάλως ὁ Ἰουστινιανός· καὶ ἐκέλευσεν δοθῆναι αὐτοῖς ἐπίσκοπον, ὃν ἂν θελήσωσιν. καὶ ἐπελέξαντο αὐτοὶ οἱ πρεσβευταὶ περιεργασάμενοι παραμονάριον τοῦ ἁγίου Ἰωάννου ἐν Ἀλεξανδρείᾳ τῇ μεγάλῃ, ἄνδρα εὐλαβῆ, παρθένον, ὀνόματι Ἰωάννην, ἐτῶν ξβ'. καὶ λαβόντες αὐτὸν ἀπῆλθον εἰς τὴν ἰδίαν χώραν πρὸς Ἀδὰδ τὸν βασιλέα αὐτῶν. καὶ οὕτως ἐπίστευσαν τῷ Χριστῷ, καὶ ἐφωτίσθησαν ἅπαντες αὐτοί. C

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ς', ἡμέρᾳ πρώτῃ ἰνδικτιῶνος ἑβδόμης, γέγονε σεισμὸς μέγας εἰς ὅλον τὸν κόσμον, ὡς πεπτωκέναι τὸ ἥμισυ τῆς Κυζίκου. καὶ τῷ αὐτῷ ἔτει D ἐπληρώθη ὁ χαλκοῦς κίων ὁ μέγας πλησίον τοῦ παλατίου, ὁ λεγόμενος Αὐγουστεύς. καὶ ἀνηνέχθη ἡ στήλη τοῦ βασιλέως Ἰουστινιανοῦ ἔφιππος. καὶ τῷ αὐτῷ ἔτει τις ἐκ τῶν Ἰταλῶν χώρας κωμοδρόμος ὀνόματι Ἀνδρέας ἔχων μεθ' ἑαυτοῦ κύνα A.M. 6036 V. 151

3. αὐτοῦ a, αὐτῶν vulg. 6. Χριστιανὸς a, Χριστιανοὺς vulg. 7. μεγάλως om. b. 17. χαλκοῦς] χαλκὸς vulg. 20. κομοδρόμος vulg.

gratiam bello deinceps decertabo. deo igitur opitulante, magnam ille retulit victoriam, regemque Damianum vivum captivum egit, Homeritarum regionem eorumque regiam reddidit plane subditam: gratiasque deo Exumitarum rex subinde persoluturus, episcopum atque clericos ad se mitti, et se suosque de Christiana religione doceri, missis ad imperatorem Iustinianum legatis, expetiit. eo nuncio Iustinianus supra modum laetatus, episcopum, quem ipsi vellent, dari iussit. legati diligenti examine praemisso, sancti Ioannis in magna Alexandrina ecclesia paramonarium, virum pietate ornatum et servata virginitate celebrem, annorum duorum et sexagiata delegerunt. eo igitur abducto, ad regem Adad et propriam regionem redierunt. ita demum Christi fidem professi, baptismi lumine cuncti fuerunt illustrati.

Hoc anno mensis Septembris sexto die, hebdomados primo, indictione prima, magnus terrae motus totum terrarum orbem concussit, adeo ut urbis Cyzici pars media corruerit. eodem anno ingens illa aenea columna ad palatium posita, quae dicitur Augusteus, absoluta est: et equestris imperatoris Iustiniani statua in eam sublata. A. C. 536

ξανθὸν καὶ τυφλόν, ὅστις κελευόμενος ὑπ' αὐτοῦ ἐποίει θεάματα· ἑστῶτος γὰρ αὐτοῦ ἐν τῇ ἀγορᾷ, καὶ ὄχλου παρεστῶτος, λάθρα τοῦ κυνὸς ἐκομίζετο τὰ τῶν ἑστώτων δακτυλίδια, χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ σιδηρᾶ· καὶ ἐτίθει αὐτὰ εἰς τὸ
P. 190 ἔδαφος, περισκέπων αὐτὰ τῷ χώματι· καὶ ἐπέτρεπεν τῷ κυνί, καὶ ἔπερνεν, καὶ ἐδίδου ἑκαστῷ τὸ ἴδιον. ὁμοίως καὶ διαφόρων βασιλέων νομίσματα μιγνύμενα ἐπεδίδου κατ' ὄνομα. ἀλλὰ καὶ παρεστῶτος ὄχλου ἀνδρῶν τε καὶ γυναικῶν, ἐπερωτώμενος ἐδείκνυεν τὰς ἐν γαστρὶ ἐχούσας καὶ τοὺς πόρνους καὶ τοὺς μοιχοὺς καὶ κνίπους καὶ μεγαλοψύχους· καὶ ὑπεδείκνυεν πάντα μετὰ ἀληθείας. ὅθεν ἔλεγον· ὅτι πνεῦμα ἔχει Πύθωνος.

A.M. 6037 Τούτῳ τῷ ἔτει ἐπανέστη ἡ θάλασσα τῇ Θρᾴκῃ ἐπὶ μίλια
B τέσσαρα, καὶ ἐκάλυψεν αὐτὴν ἐπὶ τὰ μέρη Ὀδύσσου καὶ Διονυσοπόλεως καὶ τὸ Ἀφροδίσιον· καὶ πολλοὶ ἐπνίγησαν ἐν τοῖς ὕδασιν. καὶ πάλιν τῷ τοῦ θεοῦ προστάγματι ἀποκατεστάθη ἡ αὐτὴ θάλασσα εἰς τοὺς ἰδίους τόπους.

A.M. 6038 Ἱεροσολύμων ἐπισκόπου Πέτρου, Ἀντιοχείας ἐπισκόπου Δόμνου ἔτος α'.

C Τούτῳ τῷ ἔτει γέγονε λεῖψις σίτου καὶ οἴνου καὶ χειμε-

2. ἐν ἀγορᾷ a. 4. χρυσὰ — ἀργυρὰ — σιδηρὰ vulg. 6. ἔπερνεν] ἔπαιρεν a. 16. ἀποκατεστ. A, ὑποκατ. vulg.

eodem pariter anno planus ac circulator quidam, Andreas nomine, ex Italicis partibus adfuit fulvum et orbum lumine circumducens canem, qui ab eo iussus, et ad eius nutum mira edebat spectacula. is siquidem in forum, magna populi circumstante caterva, prodiens, annulos aureos, argenteos et ferreos, clam cane, a spectatoribus depromebat, eosque in solo depositos, aggesta terra cooperiebat. ad eius deinde iussum singulos tollebat canis, et unicuique suum reddebat. similiter diversorum imperatorum numismata permixta et confusa nominatim et sigillatim proferebat. quin etiam astante virorum ac mulierum circulo, canis interrogatus mulieres uterum gestantes, scortatores, adulteros, parcos ac tenues, ac denique magnanimos, idque cum veritate demonstrabat. ex quo eum Pythonis spiritu motum dicebant.

A.C. 537 Hoc anno mare intumescens erupit in Thraciam ad passuum millia quatuor, locaque cuncta ad Odyssum et Dionysiopolim et Aphrodision eluvione operuit, adeo ut plurimi sub aquis perierint. rursum vero, deo iubente, resedit mare, et in proprios sinus rediit.

A.C. 538 Hierosolymorum episcopi Petri, Antiochiae episcopi Domni annus primus.

Hoc anno frumenti et vini penuria continuumque pluviae pro-

ρία πολλή, καὶ ἐγένετο σεισμὸς μέγας ἐν Βυζαντίῳ, καὶ διαστροφὴ περὶ τοῦ ἁγίου πάσχα. καὶ ἐποίησαν οἱ δῆμοι τὴν ἀποκρεώσιμον μηνὶ Φεβρουαρίῳ δ'. ὁ δὲ βασιλεὺς προσέταξεν ἑτέραν ἑβδομάδα προσθῆναι κρέα. καὶ πάντες οἱ κρεοπῶλοι ἔσφαξαν καὶ προέθηκαν, καὶ οὐδεὶς ἠγόραζε, οὔτε ἤσθιεν. τὸ δὲ πάσχα γέγονεν, ὡς ὁ βασιλεὺς ἐκέλευσεν, καὶ εὑρέθη ὁ λαὸς νηστεύων ἑβδομάδα περιττήν.

Τούτῳ τῷ ἔτει παρελήφθη ἡ Ῥώμη ὑπὸ τῶν Γότθων. καὶ ὁ πάππας Βιγίλιος παρεγένετο ἐν Κωνσταντινουπόλει, καὶ δεχθεὶς ὑπὸ τοῦ βασιλέως μετὰ μεγάλης τιμῆς, ὑπισχνεῖτο ποιεῖν ἕνωσιν τῆς καθολικῆς ἐκκλησίας, καὶ ἀναθεματίζειν τὰ τρία κεφάλαια. τοσοῦτον τιμηθεὶς ὑπὸ τοῦ βασιλέως, ὡς ἐπαρθέντα ἀκοινωνησίαν τεσσάρων μηνῶν δοῦναι Μηνᾷ τῷ Κωνσταντινουπόλεως ἐπισκόπῳ εἰς ἐπιτίμιον. καὶ Μηνᾶς δὲ αὐτὸ τὸ ἐπιτίμιον δέδωκεν. ἀγαγακτήσας δὲ ὁ βασιλεὺς κατὰ Βιγιλίου διὰ τὸ ἐπιτίμιον, καὶ διὰ τὸ ὑπερτίθεσθαι πληρῶσαι τὰ δόξαντα περὶ τῆς ἑνώσεως τῶν ἐκκλησιῶν, ἀπέστειλεν συλλαβεῖν αὐτόν. ὁ δὲ φοβηθεὶς τὴν ὀργὴν τοῦ βασιλέως, τῷ θυσιαστηρίῳ Σεργίου τοῦ μάρτυρος μονῆς τῶν Ὁρμίσδου προσέφυγεν. κἀκεῖθεν ἑλκόμενος, κατέσχεν τοὺς βασιλ-

A.M. 6039 V. 152 D P. 191

3. ἀποκρέωσιν a. 5. εἴσθιεν vulg.

fluvium extitit: terra quoque Byzantii tremuit. paschalis quoque termini perversus est ordo, habuitque populus carnisprivium Februarii die 4. imperator autem carnem alia sequenti hebdomade palam divendi sanxit. lanienam itaque cuncti exercuere macellarii, mactavere et venalem exposuere; nullus tamen pretio comparavit aut comedit carnem. paschalis igitur solemnitas, prout decreverat imperator, celebrata est: ac simul deprehensum, una amplius quam debuerat hebdomade, populum ieiunasse.

Hoc anno Roma a Gotthis capta est. papa vero Vigilius Cpo- A. C. 539
lim profectus, et ab imperatore summis honoribus exceptus, catholicae ecclesiae unitatem et concordiam se praestiturum, et tria capitula anathemate proscripturum pollicitus est. tantis honorum et cultus indiciis ab imperatore decoratus, adeo animatus est, ut a communione exclusionem menses quatuor sustinendam Menae Cpoleos episcopo in poenam imponeret: et ex adverso Menas parem animadversionem in eum constitueret. ob irrogatam itaque poenam huiusmodi, tum quod ea, quae de ecclesiarum concordia et unione consulta decretaque fuerant, a Vigilio non adimplerentur, imperator indignatus, misit qui ipsum detinerent. ille imperatoris iram veritus, ad Sergii martyris altare, quod in Hormisdarum monasterio erectum, confugit: a quo vi

ζοντας· τὸ θυσιαστήριον κίονας, καὶ τούτους κατέστρεψεν, βαρὺς ὢν καὶ μέγας τῷ σώματι. ὁ δὲ βασιλεὺς μεταμεληθείς, ἐδέξατο τὸν πάππαν Βιγίλιον. καὶ παρακληθεὶς Βιγίλιος ὑπὸ Θεοδώρας τῆς αὐγούστης, ἐδέξατο Μηνᾶν τὸν πατριάρ-
B χην τῆς Κωνσταντινουπόλεως τῇ κθ' τοῦ Ἰουνίου μηνὸς τῶν ἁγίων ἀποστόλων.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ ια', τῷ σαββάτῳ τῆς ἁγίας πεντηκοστῆς, τοῦ γενεθλίου ἀγομένου ἱππικοῦ, γέγονε μάχη τῶν δύο μερῶν. καὶ ἀποστείλας ὁ βασιλεὺς τοὺς ἐξκουβίτορας καὶ στρατιώτας ξιφήρεις ἀνεῖλον πολλοὺς ἐξ αὐτῶν, καὶ ἐπνίγησαν φεύγοντες πολλοί. ἄλλοι δὲ ἐσφάγησαν, καὶ γέγονεν ὄλεθρος πολύς.

A.M. 6040 Τούτῳ τῷ ἔτει ἐγένοντο σεισμοὶ συνεχεῖς, καὶ βροχαὶ με-
C γάλαι, ὁμοίως καὶ τῷ Φεβρουαρίῳ μηνὶ σεισμὸς μέγας, ὥστε πάντας ἀπογινώσκειν, καὶ ἐν φόβῳ μεγάλῳ γίνεσθαι καὶ λιτανεύειν, καὶ δέεσθαι τοῦ θεοῦ ῥυσθῆναι τῶν ἐπικειμένων ἀπειλῶν.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Ἰουνίῳ ἰνδικτιῶνος ἐνδεκάτης ἐκοιμήθη ἡ βασίλισσα Θεοδώρα εὐσεβῶς.

A.M. 6041 Τούτῳ τῷ ἔτει γεγόνασι βρονταὶ καὶ ἀστραπαὶ φοβεραὶ

1. θυσιαστηρίου vulg. 5. τῶν ἁγίων ἀπ. om. e. 11. ἐπλήγησαν b.

revulsus, apprehensas altaris suffulcientes columnas, ceu gravi proceroque corpore validus, secum traxit et omnino evertit. demum imperator facti poenitens, papam Vigilium in gratiam recepit. Vigilius pariter a Theodora augusta rogatus, Iunii die vigesimo nono, qui sanctis apostolis sacer, patriarchae Cpoleos Menae pacem restituit.

Eodem anno, die undecimo mensis Maii, sanctae pentecostes sabbato, cum ludi circenses natalitii celebrarentur, pugna inter duas factiones exorta est. quare summissis excubitoribus et militum manu gladiis armata, plurimos ex illis iussit imperator occidi: alii fuga salutem quaerentes, mari submersi vel acceptis vulneribus necati: adeo ut magna prorsus caedes edita sit.

A.C. 540 Hoc anno frequentes terrae motus, pluviaeque ingentes incubuere. mense vero Februario terrae motus adeo vehemens fuit, ut omnes de salute desperantes, metuque prostrati, decretis publicarum processionum precibus, deum, ut imminente periculo servaret, supplices exorarent.

A.C. 541 Eodem anno, mense Iunio, indictione undecima, imperatrix Theodora cum pietate obdormivit.

Hoc anno tonitrua atque fulgura terribilia admodum fuere, adeo

πάνυ, ὥστε πολλοὺς καθεύδοντας ἐκ τῶν ἀστραπῶν βλαβῆ- D
ναι. καὶ τῇ ἡμέρᾳ τοῦ ἁγίου Ἰωάννου γεγόνασι βρονταὶ καὶ
ἀστραπαὶ πάνυ φοβεραί, ὥστε τοῦ Ξηρολόφου τοῦ κίονος ἀπο-
πεταλωθῆναι μέρος καὶ ἡ κεφαλὴ γεγλυμμένη τοῦ αὐτοῦ κίο-
νος. τῷ δὲ Ἰουλίῳ μηνὶ γέγονε συμβολὴ ἐξ ἀμφοτέρων με-
ρῶν, καὶ ἐνεπυρίσθη ἡ οἰκία ἡ λεγομένη Πάρδου· καὶ κατε-
καύθησαν πολλά, τοῦτ' ἔστιν ἀπὸ τοῦ Χαλκοῦ ἕως τῆς λεγο-
μένης τὸ Ἐλευσίας. καὶ ἐγένοντο φόνοι πολλοί. προκένσου
δὲ γενομένου ἐν τῷ Ἑβδόμῳ ἀπώλεσαν οἱ βεστήτορες τὸ στέμ- P. 192
μα τοῦ βασιλέως, ὅπερ μετὰ μῆνας ἡ εὑρέθη. ὅπου καὶ ἐν
μαργαριτάριν καὶ πᾶσα ἡ λοιπὴ αὐτοῦ θέα ἐσώθη καὶ
εὑρέθη.

Ἀλεξανδρείας ἐπισκόπου Ἀπολλιναρίου ἔτος α'. A.M.6042

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ἀχθέντος ἱππικοῦ πρεσβευ- V. 153
τὴς Ἰνδῶν ἦλθεν ἐν Κωνσταντινουπόλει φέρων ἐλέφαντα· B
καὶ εἰσῆλθεν ἐν τῷ ἱπποδρομίῳ. τῷ δὲ Ἰανουαρίῳ μηνὶ κα-
τεβιβάσθη τὸ ὄνομα Μηνᾶ πατριάρχου Κωνσταντινουπόλεως,
καὶ προανεβιβάσθη τὸ ὄνομα Βιγιλίου προτασσομένου ἐν τοῖς
διπτύχοις. τῷ δὲ Μαρτίῳ μηνὶ ἐξείλησεν ὁ ἐλέφας νυκτὸς
ἀπὸ τοῦ σταύλου, καὶ πολλοὺς ἐπάταξεν καὶ ἄλλους ἐφόνευ-

3. τοὺς Ξηρολ. a. τοῦ κίωνος ed. Par. et in marg. τοὺς κίονας. 8. Εὐλυσίας a. 11. αὐτοῦ om. a. 19. ἐξειλησεν] ἐξήλησεν vulg.

ut multi dormientes insinuantibus se per domos fulguribus damnum passi fuerint. die vero sancto Ioanni sacro tonitrua atque fulgura penitus horrenda extitere, ita ut Xerolophi columnae pars una abraderetur et exsquammaretur, et eiusdem columnae epistylium prorsus idem damnum pateretur. mense autem Iulio ambae factiones inter se conflixerunt, et domus, cui a Pardo factum est nomen, incendio consumpta est: aliae quoque aedes plurimae flammis devastatae, quae nimirum ab aereo Tetrapylo ad locum Eleusiae dictum: caedes quoque innumerae perpetratae. processu autem imperatoris ad Hebdomum habito, coronam vestitores amiserunt, quae post octo demum menses reperta fuit: in qua vel unicus unio caeteraque eius ornamenta integra inventa fuere.

Alexandriae episcopi Apollinarii annus primus. A. C. 542

Hoc anno mense Octobri, ludis circensibus celebratis legatus ex India secum ducens elephantem Cpolim venit, et circum ingressus est. porro mense Ianuario patriarchae Cpoleos nomen primo gradu motum est, et Vigilio ei praeposito, nomen etiam eius in ecclesiasticis tabulis ad primum ordinem promotum fuit. Martio vero mense noctu e stabulo elephas evadens plurimos feriit, et alios occidit. die

σεν. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ις' ἐγένετο συμβολὴ τῶν δήμων πρὸς ἀλλήλους ἐν δειλινῇ ἱππικοῦ ἀγομένου· καὶ πολλοὶ ἀπέθανον ἀμφοτέρων τῶν μερῶν, καὶ εἰς ἐργαστήρια εἰσῆλθον καὶ ἥρπαζον, εἴ τι εὕρισκον ὑπάρχον ὄντος Ἰωάννου τοῦ
C ἐπιλεγομένου Κοκκοροβίου. τῷ δὲ Ἰουλίῳ μηνὶ κή, ἡμέρᾳ γ', γέγονεν τὰ ἐγκαίνια τῶν ἁγίων ἀποστόλων, καὶ ἡ κατάθεσις τῶν ἁγίων λειψάνων Ἀνδρέου, Λουκᾶ καὶ Τιμοθέου, τῶν ἁγίων ἀποστόλων. καὶ διῆλθεν ὁ ἐπίσκοπος Μηνᾶς μετὰ τῶν ἁγίων λειψάνων καθήμενος ἐν ὀχήματι χρυσῷ βασιλικῷ διαλίθῳ κρατῶν τὰς τρεῖς θήκας τῶν ἁγίων ἀποστόλων εἰς τὰ γόνατα αὐτοῦ· καὶ οὕτως ἐποίησε τὰ ἐγκαίνια.

A.M.6043 Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ ἰνδικτιῶνος δ' ἐπέμφθη Ναρσῆς ὁ κουβικουλάριος ἐν Ῥώμῃ ὀφείλων πολεμῆσαι τοῖς Γότθοις τοῖς παραλαβοῦσι τὴν Ῥώμην, ἐπειδὴ μετὰ τὸ πα-
D ραλαβεῖν αὐτὴν τὸν Βελισάριον, πάλιν ἐπανέστησαν, καὶ παρέλαβον αὐτὴν οἱ Γότθοι. τῷ δὲ Ἰουλίῳ μηνὶ θ' ἐγένετο σεισμὸς μέγας καὶ φοβερὸς ἐν πάσῃ τῇ χώρᾳ Παλαιστίνης καὶ Ἀραβίας καὶ Μεσοποταμίας καὶ Συρίας καὶ Φοινίκης, καὶ ἔπαθεν Τύρος καὶ Σιδὼν καὶ Βήρυτος καὶ Τρίπολις καὶ Βύβλος. καὶ ἀπέθανον ἐν αὐταῖς ἀνθρώπων πλῆθη πολλά. ἐν δὲ τῇ πόλει Βόστρυος ἀπεσπάσθη ἀπὸ τοῦ παρακειμένου

2. δειλινῆς vulg. 6. γέγοναν vulg., fort. γεγόνασι. 10. τρεῖς om. b. 20. Βύβλος a, Βύβλις vulg. 21. Βότρυος b.

autem decimo sexto Aprilis vespere, dum ludi circenses agerentur, populares factiones ad invicem decertarunt, multique ex utraque parte interfecti: subindeque in officinas irruentes, obvia quaeque diripuerunt, Ioanne cognomento Coccorobio urbis praefecto. caeterum Iulii mensis die vigesimo octavo, tertia feria, sanctorum apostolorum aedis facta est consecratio, et sanctarum reliquiarum Andreae, Lucae et Timothei, qui sancti apostoli, depositio. episcopus vero Menas una cum sanctis reliquiis progressus est, vehiculo aureo imperatorio gemmis exornato vectus: tres autem sanctorum apostolorum gestabat loculos supra genua: atque ita dedicationem celebravit.

A. C. 543 Hoc anno, mense Aprili, indictione quarta, Narses cubicularius bellum Gotthis, qui urbem ceperant, illaturus, Romam missus est. nam post receptam urbem a Belisario, bellum reparaverunt Gotthi, et eam denuo armis occupaverunt. Iulii vero mensis die nono, magnus et terribilis terrae motus factus est per omnem Palaestinae, Arabiae, Mesopotamiae, Syriae et Phoenices regionem: adeo ut Tyrus, Sidon, Berytus, Tripolis et Byblis multa damna acceperint, et hominum perierint multa millia. ad Bostram vero civitatem magna pars promon-

τῇ θαλάσσῃ ὄρους, τοῦ λεγομένου Λιθοπροσώπου, μέρος πολύ, καὶ εἰσηνέχθη εἰς τὴν θάλασσαν, καὶ ἀπετέλεσε λιμένα, ὡς δύνασθαι ὁρμᾶν ἐν αὐτῇ πλοῖα πολλὰ παμμεγέθη. οὐκ εἶχεν γὰρ αὕτη ἡ πόλις πρὸ τούτου λιμένα. ὁ δὲ βασιλεὺς ἀπέστει- P. 193
λεν χρήματα πρὸς τὸ ἀνεγεῖραι τὰ πεπτωκότα τῶν αὐτῶν πόλεων. ἔφυγε δὲ ἡ θάλασσα εἰς τὸ πέλαγος ἐπὶ μίλιον ἕν. καὶ ἀπώλοντο πλοῖα πολλά, καὶ πάλιν τῇ τοῦ θεοῦ κελεύσει ἀποκατέστη εἰς τὴν ἰδίαν κοίτην.

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος ιε' γεγόνασι A.M. 6044
τὰ ἐγκαίνια τῆς ἁγίας Εἰρήνης πέραν ἐν Συκαῖς. καὶ ἐξῆλ-
θον τὰ ἅγια λείψανα ἐκ τῆς μεγάλης ἐκκλησίας μετὰ τῶν
δύο πατριαρχῶν Μηνᾶ τοῦ Κωνσταντινουπόλεως καὶ Ἀπολινα- B
ρίου τοῦ Ἀλεξανδρείας. καὶ ἐκάθισαν ἀμφότεροι ἐν τῷ βα-
σιλικῷ ὀχήματι κατέχοντες ἐν τοῖς γόνασιν αὐτῶν τὰ ἅγια
λείψανα· καὶ ἦλθον ἕως τοῦ περάματος καὶ ἐπέρασαν, καὶ V. 154
ὑπήντησεν αὐτοῖς ὁ βασιλεύς. καὶ ἠνέῳξαν τὴν αὐτὴν ἐκκλη-
σίαν τῆς ἁγίας μάρτυρος Εἰρήνης. τῷ δ' αὐτῷ ἔτει ἐκαθα-
ρίσθη ὁ λιμὴν τοῦ Ἑβδόμου, καὶ τῷ αὐτῷ χρόνῳ τελευτᾷ Μη-
νᾶς ὁ ἐπίσκοπος Κωνσταντινουπόλεως, καὶ ἐγέγονεν ἀντ' αὐτοῦ
ὁ Εὐτύχιος ὁ ἀποκρισιάριος Ἀμασίας μοναχὸς τῆς ἐν Ἀμισίᾳ
μονῆς καὶ πρεσβύτερος τῇ αὐτῇ ἡμέρᾳ, τοῦ λειψάνου Μηνᾶ

1. τῆς θαλάσσης e. 2. εἰσηνέχθη a, εἰσήχθη vulg. 4. ἡ αὐτὴ πόλις vulg. 7. κελεύσει] βοηθείᾳ b.

torii mari adiacentis, cui nomen Lithoprosopus, avulsa in mare translata est: portumque effecit multis magnis navibus recipiendis idoneum: cum urbs illa prius portum non habuisset. imperator autem reparandis earum urbium ruinis magnam pecuniae vim misit. recessit etiam mare in altum pelagi sinum ad mille passus: ex quo multae naves in profundum submersae: rursumque dei nutu in proprium alveum se recepit.

Hoc anno mense Septembri, indictione decima quinta, Sycis, trans A. C. 544
urbis regiae portum, sanctae Irenes dedicatio peracta: comitantibus vero duobus patriarchis Mena Cpoleos et Apollinario Alexandriae e magna ecclesia sanctae reliquiae processerunt. sedebant autem illi in imperatoris curru sanctas reliquias genibus appositas sustentantes. ad lemborum itaque stationem venerunt, et traiicientibus portum occurrit imperator. solemni itaque ritu sanctae Irenes ecclesiam aperuerunt. eodem anno Hebdomi portus repurgatus. eodemque tempore Menas episcopus Cpoleos defunctus est: in cuius locum suffectus apocrisiarius Amaseae, presbyter et monasterii ipsius Amaseae monachus, Eutychius, eo ipso die, quo Menae cadaver in sacris aditis adhuc

Ἰουδαῖοι καὶ Σαμαρεῖται ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, καὶ ποιήσαντες πρὸς ἀλλήλους ἐν τάξει Πρασινοβενέτων ἐπῆλθον τοῖς Χριστιανοῖς τῆς αὐτῆς πόλεως, καὶ πολλοὺς ἀνεῖλον, καὶ ἐκκλησίας κατέκαυσαν. Στέφανον δὲ τὸν ἔπαρχον αὐτῆς πόλεως
P. 195 ἐν τῷ Πραιτωρίῳ ἀνεῖλον, καὶ τὴν ὑπόστασιν αὐτοῦ καθήρπαξαν. ἡ δὲ γυνὴ αὐτοῦ ἀνελθοῦσα ἐν τῇ πόλει, προσῆλθεν τῷ βασιλεῖ· καὶ ἐκέλευσεν Ἀμαντίῳ τῷ στρατηλάτῃ κατελθεῖν ἐν Παλαιστίνῃ, καὶ τὸν φόνον τοῦ Στεφάνου ἐκζητῆσαι· ὅστις εὑρὼν τοὺς μὲν ἐφούρκισεν, τοὺς δὲ ἀπεκεφάλισεν, τοὺς δὲ ἠκρωτηρίασεν καὶ ἐδήμευσεν. καὶ ἐγένετο φόβος μέγας ἐν πᾶσι τοῖς ἀνατολικοῖς μέρεσιν. τῷ δὲ Δεκεμβρίῳ μηνὶ ἐγένετο θνῆσις ἀνθρώπων ἐν διαφόροις πόλεσιν, μάλιστα δὲ τῶν παίδων. ὁμοίως καὶ τῷ Μαΐῳ μηνὶ ἐγένετο σπάνις ἄρτου ἐν
B Βυζαντίῳ. καὶ ἐστενώθησαν καὶ ἔκραξαν τῷ βασιλεῖ· δέσποτα, εὐθηνίαν τῇ πόλει. καὶ ἀνέσκαψαν τὸν ὕπαρχον ἐν γενεθλιακῷ θεωρίῳ, ὄντων ἐν τῷ ἱππικῷ καὶ πρεσβευτῶν τῶν Περσῶν. καὶ ἀγανακτήσας ὁ βασιλεὺς κελεύει Μουσουνίῳ τῷ ὑπάρχῳ κρατῆσαι τοὺς τοῦτο ποιήσαντας, καὶ ἐκολάσθησαν. ἐλύπησαν γὰρ τὸν βασιλέα, ὅτι ἐπὶ τοῦ πρεσβευτοῦ τῶν Περσῶν

2. Προιβινέτων b. 4. ἔπαρχον b, ὕπαρχον vulg. 8. Στεφάνου] ὑπάρχου a. 11. μέρεσιν] πόλεσι b. 16. τῶν om. a. 18. ἐπάρχῳ b.

stina Iudaei et Samaritae tumultuati sunt, et factionis Prasinae et Venetae dissidia inter se simulantes, in Christianos urbis illius cives irruerunt, et multis eorum occisis, succenderunt ecclesias: Stephanum insuper eiusdem civitatis praefectum sustulerunt e medio, et facultates eius omnes depraedati sunt. eius vero coniux Cpolim profecta imperatorem adiit, qui Amantium militiae magistrum in Palaestinam missum de Stephani caede iussit inquirere. sontes quos reperit, quosdam suspendio, alios capitis abscissione, truncatione membrorum nonnullos, plerosque facultatum amissione mulctavit: ex quo metus ingens in partes omnes orientales incubuit. caeterum mense Decembri variis in civitatibus hominum, maxime vero puerorum, mortalitas pervagata est. Maio pariter mense panis raritas Byzantium afflixit: populusque in angustias coniectus, ad imperatorem vociferatus est: domine, da urbi abundantiam. tum in ipsis natalitiis spectaculis, Persarum legatis in circo considentibus, praefecti domum everterunt: ex quo indignatus imperator praefectum Musonium tetrum adeo facinus aggressos detinere, et in eos severius animadvertere iussit. imperator siquidem indoluit populi factiones coram Persarum legato in eum impudenter vociferatas: vini etenim, laridique, et cuiuslibet ciborum speciei ubertas erat quam maxima: tantum frumenti et hordei penuria.

κατέκραζον αὐτῷ οἱ δῆμοι. οἴνου μὲν καὶ λάρδου καὶ παντοίου εἴδους εὐθυνία ἦν, σίτου δὲ καὶ κριθῆς λεῖψις. τῷ δὲ Ἰουλίῳ μηνὶ ιγ', ἡμέρᾳ ε', ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ φοβεραί, ὥστε πολλοὺς βλαβῆναι, καὶ βροχὴ πολλή, ὥστε ἀπὸ C
πολλῆς ἀβροχίας οὖσαν κορεσθῆναι τὴν γῆν.

Ῥώμης ἐπισκόπου Πελαγίου ἔτος α'. A.M.6049

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ ς' εἰς τὴν μνήμην τῆς κόνεως ἐτελεύτησεν ὁ Τιμόθεος ἔξαρχος τῶν μοναστηρίων καὶ ἡγούμενος τῆς Δαλμάτου μονῆς· καὶ ἐγένετο ἀντ' αὐτοῦ
Ἀνθυμος ἔγκλειστος τοῦ αὐτοῦ μοναστηρίου. καὶ ἐφάνη πῦρ V. 156
ἐν τῷ οὐρανῷ ὡς εἶδος λόγχης ἀπὸ ἄρκτου ἕως δυσμῶν. καὶ D
τῷ Ἀπριλλίῳ μηνὶ ἡμέρᾳ β' ἐγένετο σεισμὸς φοβερὸς καὶ ἀβλαβής.

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἡμέρᾳ ς', ἰνδικτιῶνι ς', A.M.6050
γέγονε σεισμὸς μέγας διαφαίνοντος τοῦ σαββάτου. καὶ τῷ P. 196
Δεκεμβρίῳ μηνὶ ιδ' γέγονεν ἕτερος σεισμὸς φοβερὸς πάνυ, ὥστε παθεῖν τὰ δύο τείχη Κωνσταντινουπόλεως, τό τε Κωνσταντινιακὸν καὶ τὸ ὑπὸ Θεοδοσίου κτισθέν. κατέπεσον δὲ ἐν Ἐξαιρέτῳ ἐκκλησίαι, καὶ τὰ ἐπέκεινα τοῦ Ἑβδόμου καὶ ὁ
ἅγιος Σαμουήλ, καὶ ἡ ἁγία Θεοτόκος τῶν Πεταλᾶ, καὶ τοῦ ἁγίου Βικεντίου, καὶ πολλὰ θυσιαστήρια ἐκκλησιῶν καὶ κιβώ-

5. οὖσαν] fort. παθοῦσαν. 7. Νοεμβρίῳ b. 8. κόνης b.
15. διαφαύοντος e. 21. κιβούρια vulg.

Iulii demum mensis die decimo tertio, hebdomadis quinto, fulgura et tonitrua adeo horrenda excitata, ut multi damnum paterentur: imber quoque ita copiosus, ut imbris inopia laborans terra, aquis plane exsaturata fuerit.

Romae episcopi Pelagii annus primus. A. C. 549

Hoc anno, mensis Decembris die sexto, monasteriorum praefectus et Dalmati monasterii privatim praepositus Timotheus ad pulveris igniti memoriam obiit: et in eius locum Anthymus eiusdem monasterii inclusus suffectus est. ignisque in caelo apparuit in lanceae specie a septentrione ad occasum: et Aprilis mensis die secundo, horrendus extitit terrae motus, a quo nullum illatum periculum.

Hoc anno, mensis Octobris die sexto, indictione sexta, sub sabbati crepusculum ingens terrae motus extitit: et mensis Decembris quarto decimo, alius pariter fuit plane horrendus: adeo ut duo muri Cpoleos urbis, qui nimirum Constantiniacus, et qui a Theodosio dicitur extructus, damnum paterentur. ruinam vero expertae sunt quae in Exaereto ecclesiae, et quae protenduntur Hebdomum ultra; sancti Samuelis sanctaeque deiparae, cui ex Petala nomen, sancti insuper A. C. 550

ρια, ἀπὸ τῆς Χρυσῆς πόρτης ἕως τοῦ Ῥουσίου· καὶ οὐκ ἦν τόπος ἢ προάστειον, ὃ οὐκ ἔπεσεν ἀπὸ τῆς φοβερᾶς ἀπειλῆς
B τοῦ σεισμοῦ. τὸ δὲ Ῥήγιον κατέπεσεν ἕως ἐδάφους, ὥστε μὴ γνωρίζεσθαι αὐτό. ἔπεσε δὲ ἡ ἐκκλησία τοῦ ἁγίου Στρατωνίκου καὶ Καλλινίκου ἕως ἐδάφους, αἱ οὖσαι ἐν τῷ Ῥηγίῳ. καὶ 5
ὁ κίων δὲ ὁ πορφυροῦς ὁ ἑστὼς ἔμπροσθεν τοῦ παλατίου Ἰουκουνδιανῶν μετὰ τῆς ἐπικειμένης αὐτῷ στήλης ἔπεσε, καὶ ἐπάγη εἰς τὴν γῆν πόδας ὀκτώ. ἔπεσε δὲ καὶ ἡ στήλη Ἀρκαδίου τοῦ βασιλέως ἡ εἰς τὴν ἀψῖδα τοῦ Ταύρου, ἡ εἰς τὸ ἀριστερὸν μέρος ἑστῶσα, καὶ πολλοὶ ἔπαθον ἐν τοῖς συμπτώ- 10
C μασιν. ἕτεροι δὲ μεθ' ἡμέρας ὀκτὼ καταληφθέντες ὑπὸ τῶν συμπτωμάτων, διεσώθησαν μετὰ δύο καὶ τρεῖς ἡμέρας. ἠκούσθη δὲ ὅτι καὶ ἐν ἑτέραις πόλεσιν τὸ αὐτὸ γέγονε. τοιοῦτον γὰρ μέγαν καὶ φοβερὸν σεισμὸν οὐ μέμνηται ἄνθρωπος ἐπὶ τῆς γῆς ἐν τῇ γενεᾷ ἐκείνῃ. ἔμεινεν δὲ σειομένη ἡ γῆ ἡμέ- 15
ρας καὶ νυκτὸς [μετὰ φιλανθρωπίας] ἡμέρας δέκα, καὶ πρὸς ὀλίγον οἱ ἄνθρωποι κατενύγησαν λιτανεύοντες, φιλανθρωπίας δὲ γενομένης παρὰ θεοῦ, ἐπὶ τὸ χεῖρον πάλιν γεγόνασιν. ὁ δὲ βασιλεὺς οὐκ ἐφόρεσεν τὸ στέμμα ἐπὶ ἡμέρας μ'. ἀλλὰ

1. Ῥησίου b, Ῥουσίου f. 3. κατέπεσεν e, οὕτως ἔπεσεν vulg. 7. Ἰουκουνδιανῶν Goar. ex Proc. de Aed. Iust., Ἰουκουρδιανῶν a f, Ἰουκαρδιανῶν vulg. 11. καταληφθέντων b. 16. μετὰ φιλανθρωπίας delendum videtur.

Vincentii templum, pluraque ecclesiarum altaria, nec non ciboria, a Chryse porta ad eam quae Rusii, corruerunt: neque locus aut suburbanum praedium extitit, quod ab horrenda terrae motus agitatione iacturam non tulerit. ad solum autem usque ita deturbatum est Rhegium, ut ubi quondam steterit, nec ipsis oculis extaret. ad haec sanctorum Stratonici et Callinici ecclesiae, quae in Rhegio, ad imum usque solum eversae: sed et porphyretica columna e palatii Iucundianarum regione erecta, una cum superposita sibi statua decidit, defossaque est in terram pedes octo. corruit etiam in terram imperatoris Arcadii statua, ad arcus Tauri partem sinistram posita: multique ruinis oppressi: plures post octo dies sub ruinis reperti post dies duos aut tres incolumes evaserunt. quin etiam in aliis civitatibus idem contigisse relatum. paris enim et aeque magni terribilisque terrae motus famam, ea hominum aetate, per universum terrarum orbem se audivisse nemo meminit. concutiebatur continuo terra diu noctuque per dies integros decem, non abalienata penitus dei clementia, et ad breve spatium homines processionum precibus attenti ad poenitentiam sunt revocati: dei vero humanitatem securius experti, in deteriora rursum facinora retro lapsi sunt. imperator

καὶ τῇ ἁγίᾳ τοῦ Χριστοῦ γεννήσει χωρὶς αὐτοῦ προῆλθεν ἐν τῇ ἐκκλησίᾳ· ὥστε καὶ τὰ ἐξ ἔθους γενόμενα ἄριστα εἰς τὰ D
ιθ' ἔπαυσαν· καὶ τὴν τούτων ἔξοδον τοῖς πτωχοῖς ἔδωκαν. τῷ δ' αὐτῷ χρόνῳ εἰσῆλθεν ἔθνος ἐν τῷ Βυζαντίῳ παράδο-
5 ξον τῶν λεγομένων Ἀβάρων, καὶ πᾶσα ἡ πόλις συνέτρεχεν εἰς τὴν θέαν αὐτῶν, ὡς μηδέποτε ἑωρακότες τοιοῦτον ἔθνος. εἶχον γὰρ τὰς κόμας ὄπισθεν μακρὰς πάνυ δεδεμένας πραν-δίοις καὶ πεπλεγμένας. ἡ δὲ λοιπὴ φορεσία αὐτῶν ὁμοία τῶν λοιπῶν Οὔννων. οὗτοι φυγόντες ἐκ τῆς ἰδίας χώρας
10 ἦλθον εἰς τὰ μέρη Σκυθίας καὶ Μυσίας, καὶ ἔπεμψαν πρὸς Ἰουστινιανὸν πρέσβεις δεχθῆναι αὐτούς. τῷ δὲ Φεβρουαρίῳ μηνὶ γέγονεν θνῆσις ἀνθρώπων ἀπὸ βουβῶνος, μάλιστα δὲ P. 197
τοῖς νέοις, ὥστε μὴ ἐπαρκεῖν τοὺς ζῶντας θάπτειν τοὺς τε- V. 157
θνεῶτας· ἐκράτησεν δὲ ἡ θνῆσις ἀπὸ μηνὸς Φεβρουαρίου
15 ἕως μηνὸς Ἰουλίου.

Τούτῳ τῷ ἔτει μηνὶ Μαΐῳ ζ', ἡμέρᾳ γ', ὥρᾳ πέμπτῃ A.M. 6051
φιλοκαλουμένου τοῦ Τρούλλου τῆς μεγάλης ἐκκλησίας (ἦν γὰρ B
διερρηγμένος ἐκ τῶν γενομένων σεισμῶν) ἐργαζομένων τῶν Ἰσαύρων, ἔπεσεν τὸ ἀνατολικὸν μέρος τῆς προϋποστολῆς τοῦ

1. τοῦ add. ex b: τοῦ θεοῦ add. f. 3. δέδωκαν vulg., fort. δεδώκασι. 9. τοῖς λοιποῖς Οὔννοις a, αὐτῶν λοιπῶν Οὔννων f. 18. διερρηγμένος a, διαρερηγμένος vulg. 18. ἐργαζομένων] h. l. desinit lacuna codicis A. 19. πρὸ ὑποστολης A.

interim stemma capiti per dies quadraginta non imposuit: sed et absque corona sacris Christi natalitiis ad ecclesiam processit: adeo ut agitata, ut moris est, ad novemdecim accubitus convivia, penitus cessaverint, et eorum pretium in pauperes insumpserint. sub idem tempus gens prorsus insolens atque incognita, Abares ei nomen, Cpolim advenit: et ad eius spectaculum, quod nusquam visi fuissent huius formae homines, cuncta urbs effusa est. comas siquidem a tergo longas admodum taeniis revinctas et implexas gestabant: reliquus licet habitus Unnico simillimus conspiceretur. illi porro relicta patria regione in Scythiae Mysiaeque partes se conferentes, ut humanius in iis provinciis admitterentur, ad Iustinianum legatos destinaverunt. caeterum mense Februario mortifera ex bubone lues in homines, maxime iuvenes, grassata est: adeo ut sepeliendis mortuis non sufficerent vivi: obtinuit vero et invaluit a Februario ad usque mensem Iulium.

Hoc anno, mensis Maii die septimo, hebdomadis tertio, hora post A.C. 551
exortum quinta, suis pene iam ornamentis perfecti et Isaurorum opera bene instructi magnae ecclesiae Trulli (disruptus enim et hiatu de-

ἁγίου θυσιαστηρίου, καὶ συνέτριψεν τὸ κιβώριον καὶ τὴν ἁγίαν τράπεζαν καὶ τὸν ἄμβωνα. καὶ κατεγινώσκοντο οἱ μηχανικοί, ὡς ὅτι περ ὑποκάτωθεν οὐκ ἐποίησαν τὴν κρέμασιν φυγόντες τὴν ἔξοδον, ἀλλ' ἐτρύπησαν τοὺς πινσοὺς τοὺς βαστάζοντας τὸν τροῦλλον, καὶ διὰ τοῦτο οὐκ ἐβάσταξαν. λοι-
C πὸν συνιδὼν ὁ εὐσεβέστατος βασιλεὺς ἤγειρεν ἄλλους πινσούς, καὶ ἐδέξατο τὸν τροῦλλον, καὶ οὕτως ἐκτίσθη, ὑψωθεὶς πλέον εἴκοσι πόδας εἰς ἀνάβασιν ἐπάνω τοῦ πρώτου κτίσματος.

Τῷ δ' αὐτῷ ἔτει ἐπανέστησαν Οὖννοι καὶ Σκλάβοι τῇ Θρᾴκῃ πλήθη πολλά, καὶ ἐπολέμησαν αὐτήν, καὶ πολλοὺς ἐφόνευσαν καὶ ᾐχμαλώτευσαν. ἐπίασαν δὲ καὶ Σέργιον τὸν στρατηλάτην υἱὸν Βάρχου τοῦ πρεσβυτέρου, καὶ τὸν Ἐδερμᾶν τὸν στρατηγὸν Καλοποδίου τοῦ ἐνδοξοτάτου κουβικουλαρίου καὶ πραιποσίτου. εὑρόντες δὲ τοῦ τείχους τοῦ Ἀναστασιακοῦ τόπους τινὰς πεπτωκότας ἐκ τῶν σεισμῶν, εἰσελθόντες ᾐχμα-
D λώτευσαν ἕως Δρυπίας καὶ Νυμφῶν καὶ Χιτουκώμεως· καὶ πάντες ἔφυγον ἐν τῇ πόλει μετὰ τῶν ὑπαρχόντων αὐτῶν· τοῦτο δὲ γνοὺς ὁ βασιλεὺς ἐδημότευσε πολλούς, καὶ ἔπεμψεν εἰς

2. μηχανικοί] χειμερικοί A f. 3. ὡς A, καὶ vulg. ἀποκάτωθεν A. 5. οὐκ ἐβάσταξαν A f, οὐ κατεβάσταξαν vulg. 8. ἐπάνω om. b. 10. πλήθη πολλά, καὶ ἐπολ. αὐτήν A, καὶ ἐπολ. αὐτ. πλ. πολλὰ vulg. 11. καὶ ante Σέργιον add. ex A. 16. Δρουπίας A. Χιτουκώμεως A e, Σίτου κωμέως f, Χιτοῦ κώμης vulg.

formis ex terrae motuum concussione cernebatur) pars orientalior contractae ad sanctum altare testudinis decidit in terram. molis eiusmodi collabente ruina ciborium, sancta mensa, et ambo comminuta sunt et plane contrita. tantae porro iacturae incusabantur architecti, quod, ut sumptibus parcerent, pilarum capita ad trulli radices non solide per omnes partes compegissent, sed eas pilas, quae trullum suffulciunt, fenestris et aperturis reliquissent hiantes, ex quo sustentando trullo non fuere satis. hoc animadverso, pilas alias piissimus imperator extruxit, quae trullum deinceps exceperunt: atque ita instauratus est viginti pedes altior, quam in priori aedificatione antea fuerat.

Hoc etiam anno Unni et Sclavi cum maximis copiis in Thraciam irruentes eam bello vastaverunt, multosque homines vel occiderunt, vel in captivitatem abduxerunt: sed et Sergium militiae magistrum, Bacchi senioris filium, et Ederman ducem Calopodii clarissimi cubicularii et praepositi filium ceperunt. cumque partes quasdam muri Anastasiani terrae motibus collapsas reperissent, per eas ingressi, in potestatem suam redegerunt loca ad Drypiam, Nymphas et Chittus vicum sita: cunctique facultatibus secum asportatis in urbem con-

Μακρὸν τεῖχος· καὶ συγκροὺσαντες πόλεμον ἐκεῖ πολλοὶ ἀπέθανον τῶν Ῥωμαίων καὶ σχολαρίων. λοιπὸν ἐκέλευσεν ὁ βασιλεὺς καὶ κατηνέχθησαν τὰ ἀργυρᾶ κιβώρια, καὶ αἱ ἅγιαι τράπεζαι αἱ ἀργυραῖ ἔξω τῆς πόλεως, καὶ παρεφύλατον τὰς πόρτας πάσας τοῦ τείχους τοῦ Θεοδοσιακοῦ αἱ σχολαὶ καὶ οἱ προτίκτορες καὶ οἱ ἀριθμοὶ καὶ πᾶσα ἡ σύγκλητος· ἰδὼν δὲ ὁ βασιλεὺς ὅτι ἐπιμένουσιν οἱ βάρβαροι, ἐκέλευσε Βελισάριον τὸν πατρίκιον ἐξελθεῖν κατ' αὐτῶν μετὰ P. 198
ἑτέρων τῆς συγκλήτου. ὁ δὲ Βελισάριος ἔλαβεν πᾶσαν τὴν ἵππον, τήν τε βασιλικὴν καὶ τοῦ ἱππικοῦ καὶ τῶν εὐαγῶν οἴκων καὶ παντὸς ἀνθρώπου, ὅπου ἦν ἵππος· καὶ ὁπλίσας λαόν, ἐξῆλθεν εἰς Χιτούκωμιν· καὶ ἐποίησεν φοσσάτον, καὶ ἤρξατο πιέζειν ἐξ αὐτῶν τινὰς καὶ φονεύειν. καὶ ἐκέλευσεν κοπῆναι δένδρα, καὶ σύρεσθαι ὄπισθεν τοῦ ἐξερκέτου αὐτῶν, καὶ ἐγένετο ἐκ τοῦ ἀνέμου κονιορτὸς μέγας, καὶ ἐπῆγεν ἐπάνω τῶν βαρβάρων. οἱ δὲ νομίσαντες ὅτι πλῆθος πολὺ εἰσιν, ἔφυγον· καὶ ἦλθον εἰς τὰ μέρη τοὺ ἁγίου Στρατονίκου εἰς τὸ Δέκατον. μαθόντες δὲ ἐκ τῶν κατασκόπων, ὅτι παραφυλακὴ πολ- B
λή ἐστιν εἰς τὰ τείχη Κωνσταντινουπόλεως, ἦλθον εἰς τὰ μέρη V. 158
Τζουρουλλοῦ καὶ Ἀρκαδιουπόλεως καὶ τοῦ ἁγίου Ἀλεξάνδρου

3. ἀργυρὰ κιβούρια vulg. 7. μένουσι A. 8. μετὰ καὶ ἄλλων συγκλητικῶν a. 10. τῶν add. ex A. 12. Χιτούκωμιν A, Χίτου κώμην vulg. φοσσάτον A, φουσάτον vulg. 13. πιάνειν A. 14. ὄπισω a. αὐτῶν] αὐτοῦ a.

fugerunt. quamobrem imperator multos ex civium numero delectos ad Longum murum misit: ibi commissa pugna multi Romanorum et scholarium ceciderunt. postremum autem iubente imperatore ciboria argentea et sanctae mensae pariter ex argento, quae extra civitatem in ecclesiis erant, suis locis exportatae sunt: portas vero omnes Theodosiani muri defenderunt scholae, protectores, numeri et universus senatus. sed cum barbaros illic pertinaciter permanere videret imperator, patricium Belisarium una cum aliis senatus contra ipsos progredi iussit. porro Belisarius sumptis omnibus equis, tam imperatoris, quam circi, sed et sacrarum domorum, nec non uniuscuiusque hominis privati, cui fuit equus in potestate, populoque armis instructo, ad Chitti pagum profectus est: ibique aciem omnem composuit: tum quosdam ex barbaris capere, et interficere coepit: quin etiam arbores caedi, et pone exercitum in terram trahi imperavit: ex quo pulvis ingens vento excitatus et in barbaros delatus super eos incubuit: qui cum maximas copias inde adesse existimarent, in fugam versi, ad regionem sancti Stratonici, ad Decatum recessere. ac cum subinde a speculatoribus rescivissent Cpoleos muros magno militum numero esse defensos, Tzurulum et Arcadiopolim et Sanctum

Ζουπαρῶν, καὶ ἔμειναν ἐκεῖ παρακαθήμενοι ἕως τὸ ἅγιον πάσχα. μετὰ δὲ τὴν ἑορτὴν τοῦ πάσχα ἐξῆλθεν ὁ βασιλεὺς καὶ πάντες τῆς πόλεως σὺν αὐτῷ ἐν Σηλυμβρίᾳ ἐπὶ τὸ κτίσαι τὸ τεῖχος τὸ μακρόν· ὅθεν οἱ βάρβαροι εἰσῆλθον. καὶ ἔμεινεν ὁ βασιλεὺς ἐκεῖ ἕως τοῦ Αὐγούστου μηνός· ὁμοίως καὶ οἱ βάρβαροι ἔξω τῆς πόλεως περιεπόλευον ἕως τοῦ Αὐγούστου. λοιπὸν ἐκέλευσεν ὁ βασιλεὺς γενέσθαι πλοῖα διάπρυμνα, ὥστε ἀπελθεῖν εἰς τὸν Δανοῦβιν, καὶ ἀπαντῆσαι τοῖς βαρ-

C *βάροις περοῦσι, καὶ πολεμῆσαι αὐτούς. τοῦτο γνόντες οἱ βάρβαροι, παρεκάλεσαν διὰ πρεσβευτοῦ ἀκινδύνως ἐᾶσαι αὐτοὺς περᾶσαι τὸν Δανοῦβιν. καὶ ἔπεμψεν Ἰουστῖνον τὸν ἀνεψιὸν αὐτοῦ καὶ κουροπαλάτην, καὶ διέσωσεν αὐτούς.*

A.M. 6052 *Ἀντιοχείας ἐπισκόπου Ἀναστασίου ἔτος α'.*

D *Τούτῳ τῷ ἔτει ἤρξατο ὁ βασιλεὺς κτίζειν τὴν γέφυραν τοῦ Σαγάρεως ποταμοῦ. καὶ ἀποστρέψας τὸν αὐτὸν ποταμὸν ἐν ἄλλῃ κοίτῃ, ἐποίησεν καμάρας φοβερὰς πέντε, καὶ ἐποίησεν αὐτὸν διοδεύεσθαι, ξυλίνης πρότερον οὔσης τῆς γεφύρας.*

A.M. 6053 *Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ θ', ἡμέρᾳ ε', ἰνδικτιῶνι θ',*

2. τὴν add. ex A. 5. καὶ οἱ A, δὲ οἱ vulg. 7. διάπρυμνα A a, διάπροιμνα f, δίπρυμνα vulg., ἀμφίπρυμνα Agath. p. 327, 9. 8. τοῖς βαρβάροις περοῦσι (fort. περῶσι) A, τοὺς βαρβάρους περνοῦσι f, τοῦ βαρβάρους εἰ περνοῦσι vulg. 9. αὐτοὺς A a f, αὐτοῖς vulg. 12. Κουροπαλάτην] Κοροπαλάτην A, Κυροπαλάτην vulg. 16. ἐποίησεν alterum] ἤγειρεν a, ἤλισε A f.

Alexandrum Zupparorum versus digressi sunt: ibique castris positis usque ad pascha substitere. peracto festo paschali imperator cum universis civibus urbe relicta, ad reparandas Muri longi ruinas Selybriam perrexit: quare pedem retulerunt barbari, et trans murum abierunt. ibi mansit imperator ad Augustum usque mensem: similiter et barbari usque ad mensem Augustum extra urbem circumvagabantur. caeterum imperator bipuppes naves confici, iisque in Danubio adversos Unnos, si quando transfretarent, excipi, et cum eis manus iussit conseri. his auditis barbari missis legatis petiverunt, ut sibi reditus tuto permitteretur, et Danubium traiicerent. misit ergo imperator Iustinum nepotem suum et curopalatem: eosque dimisit incolumes.

A.C. 552 Antiochiae episcopi Anastasii annus primus.

Hoc anno pontem ad Sagarim fluvium coepit imperator construere: et flumine in alium alveum abducto, arcus quinque mirabiles ac stupendos excitavit, per quos faciles esset ad utramque ripam transitus: cum pons tantum ligneus antea fuisset.

A.C. 553 Hoc anno, mensis Septembris die nono, hebdomados quinto, in-

ἐφημίσθη ἐν Κωνσταντινουπόλει, ὅτι ἐτελεύτησεν ὁ βασιλεύς. P. 199
ἦν γὰρ ἐλθὼν ἀπὸ τῆς Θρᾴκης, καὶ οὐδένα ἐθεώρει. καὶ λοιπὸν
οἱ δῆμοι ἥρπασαν τοὺς ἄρτους αἰφνίδιον ἐκ τῶν ἀρτοπωλείων
καὶ μαγκιπίων· καὶ περὶ ὥραν τρίτην οὐχ εὑρίσκετο ἄρ-
τος ἐν πάσῃ τῇ πόλει, καὶ βροχὴ μεγάλη τῇ αὐτῇ ἡμέρᾳ ἐγέ-
νετο. ἐκλείσθησαν δὲ καὶ τὰ ἐργαστήρια, καὶ ἐθρυλλήθη τὸ
παλάτιον, ὅτι οὐδεὶς ἐκ τῆς συγκλήτου ἐθεώρει τὸν βασιλέα
διὰ τὸ κεφαλαλγῆσαι αὐτόν. ἐκ τούτου ἐπίστευον ὅτι ἀπέθα-
νεν. περὶ ὥραν δὲ ἐννάτην συμβούλιον ἐποίησεν ἡ σύγκλητος,
καὶ ἀπέστειλεν τὸν ἔπαρχον, καὶ ἐποίησεν φῶτα ἅψαι εἰς πᾶ-
σαν τὴν πόλιν, ὅτι ὑγίανεν ὁ βασιλεύς. καὶ τούτῳ τῷ τρόπῳ B
κατεστάθη ἡ πόλις ἐκ τῆς ταραχῆς. μετὰ δὲ τὸ ὑγιᾶναι τὸν
βασιλέα, Εὐγένιος ὁ ἀπὸ ὑπάρχων διέβαλλε Γεώργιον τὸν
κουράτωρα τῶν Μαρίνης καὶ Αἰθέριον τὸν κουράτωρα τῶν
Ἀντιόχου, ὡς θελήσαντας ποιῆσαι βασιλέα Θεόδωρον τὸν
υἱὸν Πέτρου μαγίστρου, ᾧ συνεφώνησεν καὶ Γερόντιος ὁ
ἔπαρχος τῆς πόλεως. ζητηθείσης δὲ τῆς ὑποθέσεως καὶ μὴ
ἀποδειχθείσης, ἠγανακτήθη ὁ Εὐγένιος, καὶ ἐδημεύθη ὁ οἶκος
αὐτοῦ. προσφυγὼν δὲ ἐκεῖνος τῇ ἐκκλησίᾳ, ἐσώθη. τῷ δὲ

1. ἐφημίσθη A, ἐφημήθη vulg. 4. μαγκιπίων A, μανκιπείων vulg. καὶ περὶ A, καίπερ vulg. 5. ἐγένετο add. ex A. 8. κεφαλαλγεῖσθαι A. 10. ἀπέστειλεν τὸν ἔπαρχον A, ἔπεμψεν τὸν ὕπαρχον vulg. 12. κατέστη A. 14. Ἐθέριον A. 15. θελήσαντα A b. 17. ἔπαρχος A, ὕπαρχος vulg.

dictione nona, imperatorem obiisse per Cpolim rumor sparsus est. e Thracia quippe in urbem redux, conspicuum nemini se fecerat. plebs itaque confusa ex officinis et mancipiis sive pistrinis panes diripuit, et a tertia iam diei hora nullibi civitatis reperiebatur panis, et copiosus admodum imber eo die decidit. officinae demum omnes clausae: rumorque ex palatio manavit, ad imperatoris conspectum, quod capitis dolore vexetur, ex senatu admitti neminem, ex quo eum ex humanis sublatum arbitrabantur. circa nonam vero horam senatus inito super ea re consilio, praefectum misit, qui pro imperatoris salute, per totam urbem faces et lumina iussit accendi: et hoc pacto ex tanto tumultu ad pristinam tranquillitatem urbs rediit. integra demum imperatori restituta valetudine, Eugenius expraefectus curatorem palatiorum Marinae Georgium et Antiochi curatorem Aetherium, quasi magistri Petri filium Theodorum ex Gerontii urbis praefecti consilio imperatorem creare attentassent, accusavit. facto de crimine diligenti examine, nec eo comprobato, Eugenius invidia non plene liberatus, domum publice proscriptam amisit: is vero ad ecclesiam confugiens, saluti consuluit. mense autem Decembri magno incendio in portu

Δεκεμβρίῳ μηνὶ γέγονεν ἐμπυρισμὸς μέγας ἐν τῷ λιμένι Ἰου-
C λιανοῦ, καὶ πολλοὶ οἶκοι ἐκάησαν καὶ ἐκκλησίαι ἀπὸ ἀρχῆς
τοῦ λιμένος ἕως τοῦ Πρόβου. γέγονε δὲ καὶ θανατικὸν μέγα
ἐν τῇ Κιλικίᾳ καὶ Ἀναζαρβῷ, καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ
V. 159 καὶ σεισμοί, καὶ συνέβαλλον κατ' ἀλλήλων οἱ ὀρθόδοξοι καὶ
οἱ Σευηριανοί, καὶ πολλοὶ φόνοι γεγόνασι. καὶ ἀποστείλας ὁ
βασιλεὺς Ζίμαρχον τὸν κόμητα τῆς ἀνατολῆς ἐκόλασε τοὺς
ἀτάκτους, καὶ πολλοὺς ἐξώρισεν καὶ ἐδήμευσεν καὶ ἠκρωτη-
ριάσεν.

A.M. 6054 Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ιβ', ἡμέρᾳ δ', ἰνδικτιῶνι
D ι', ἑσπέρας βαθείας γέγονεν ἐμπυρισμὸς μέγας ἐν τοῖς Καισα-
ρείου, ἕως τῆς λεγομένης Ὀμφακερᾶς. καὶ ἐκάησαν ὅλα τὰ
ἐργαστήρια καὶ οἱ πυλεῶνες ἕως τοῦ Βοός. τῷ δὲ Νοεμβρίῳ
μηνὶ ἱππικοῦ ἀγομένου πρὸ τοῦ ἀνελθεῖν τὸν βασιλέα, γέγονε
δημοτικὴ ταραχή, καὶ ἐπῆλθον οἱ Πράσινοι τοῖς Βενέτοις, καὶ
P. 200 γνοὺς ὁ βασιλεὺς ἀνῆλθεν ἐν τῷ καθίσματι, καὶ θεασάμενος
τὴν μάχην, ἐκέλευσεν Μαριανῷ τῷ κόμητι τῶν ἐξκουβιτόρων
σὺν τῷ κουράτωρι τῶν Καισαρείου κατελθεῖν, καὶ χωρίσαι τὰ
μέρη. οἱ δὲ ἀπελθόντες οὐκ ἠδυνήθησαν χωρίσαι αὐτούς.

2. οἶκοι] τόποι A b. καὶ ἐκκλησίαι add. ex A. 3. τῶν Πρόβου A. 7. Ζήμαρχον A. κόμητα A, κόμιτα vulg. ἐκώλυσε A b. 8. καὶ ἐδ. καὶ ἠκρ. om. a. 12. καὶ ἐκάησαν om. A b f. 14. ἀγομένου A, γενομένου vulg. 15. ταραχή] ἑορτή f. τοῖς Βενέτοις A, τοὺς Βενέτους vulg. 17. ἐξκουβιτόρων A, ἐξκουβίτων vulg. 18. χωρῆσαι f.

Iuliani excitato, multae domus et aedes sacrae multae a portu extremo usque ad Probi conflagrarunt. mortifera quoque lues per Ciliciam et Anazarbum grassata est: terrae motus Antiochiam magnam concusserunt: contentione insuper inter Severianos et orthodoxos orta, multae caedes utrinque perpetratae. imperator autem Zimarcho orientis comite misso, seditiosos, multis ex illis in exilium actis, bonis eorum publicatis, membris quoque amputatis castigavit.

A. C. 554 Hoc anno, mensis Octobris die duodecimo, hebdomados quarto, indictione decima, magnum profunda iam vespera incendium ad Caesarii partes, ad locum, cui Omphacera, nomen, grassatum est: et officinae omnes et fornices ad Bovis locum conflagrarunt. Novembri etiam mense ludis circensibus celebratis, priusquam imperator spectatum advenisset, factionum seditio exorta est, et Prasini in Venetos irruere. nuncio ad imperatorem delato, sedile sibi positum in circo conscendit, et conflictu spectato, Marianum comitem excubitorum et Caesarii palatii curatorem partibus dirimendis in arenam iussit descendere. ubi conflictus locum tenuerunt, tumultui sedando non

καὶ πολλοὶ μὲν ἀπέθανον ἐξ ἀμφοτέρων τῶν μερῶν, πολλοὶ δὲ καὶ ἐπληγώθησαν. εἰσελθόντες δὲ οἱ Βένετοι εἰς τὰ βάραθρα τῶν Πρασίνων ἔκραζον· ἄψον ὧδε, ἄψον ἐκεῖ. ὁ δὲ Πράσινος οὐ φαίνεται. καὶ πάλιν οἱ Πράσινοι ἔκραζον· αἵ, αἵ, ὅλοι, ὅλοι εἰς τὴν μέσην. ἦλθον εἰς τὰς γειτονίας τῶν Βενέτων, καὶ ἐλίθαζον οὓς εὗρισκον καὶ ἔκραζον· ἄψον, ἄψον ὧδε. Βένετος οὐ φαίνεται. καὶ εἰσῆρχοντο εἰς τὰς γειτονίας B διαφανούσης κυριακῆς, καὶ ἥρπαζον τὰς ὑποστάσεις. καὶ ἐκέλευσεν ὁ βασιλεὺς συσχεθῆναι τοὺς Πρασίνους, καὶ πολλαῖς βασάνοις ἐκολάσθησαν. οἱ δὲ Βένετοι προσέφυγον τῇ ἐκκλησίᾳ τῆς Θεοτόκου τῶν Βλαχερνῶν. οἱ δὲ ἐξαλύσαντες Πράσινοι προσέφυγον εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν Χαλκηδόνι· οὓς ἐκβαλὼν ὁ ἔπαρχος ἐτιμωρήσατο. ἤρξαντο δὲ αἱ γυναῖκες αὐτῶν καὶ αἱ μητέρες κράζειν εἰς τὰς ἐκκλησίας τῷ βασιλεῖ, ἵνα παράσχῃ τοῖς Πρασίνοις ἐνδουλγεντίας· καὶ ἐδιώχθησαν μετὰ βάκλων, καὶ οὐ διηλλάγη αὐτοῖς ὁ βασιλεὺς ἕως τῆς Χριστοῦ γεννήσεως. τῷ δὲ Φεβρουαρίῳ μηνὶ ἐκέλευσεν ὁ βασιλεύς, τῶν ἑπτὰ σχολαρίων τοὺς καθεζομένους C ἐν τῇ Νικομηδείᾳ καὶ Κίῳ καὶ Προύσῃ καὶ Κυζίκῳ καὶ

1. πολλοὶ δὲ καὶ A, καὶ πολλοὶ vulg. 3. ἔκραζον· αἵ αἵ, ὅλλοι, ὅλλοι ἐς τὴν μέσην f. 6. ἄψον, ἄψον ὧδε A f, ἄψον ὧδε, ἄψον ἐκεῖ vulg. 11. ἐξαλύσαντες A, ἐξηλήσαντες a f, ἐξελάσαντες vulg. 13. ἔπαρχος A, ὕπαρχος vulg. 15. ἐνδουλγεντίαις A, ἐνδουλγεντίαις vulg.

fuere satis, nec consertam pugnam distrahere valuerunt: ita ut multi ex utraque parte caesi fuerint, vulnerati etiam multi. ingressi vero Veneti in Prasinorum cuneos et carceres: incende hic, exclamabant, ignem illuc admove. Prasinus vero nusquam comparet. Prasini ex adverso vociferabantur: hem, hem, cuncti, cuncti in mediam arenam procedite. progressi in Venetorum vicinias, lapidibus obvios quosque obruerunt, clamantes: ignem huc applica, ignem illic suppone. Venetus non comparet. dominica vero iam illucente irruerunt in vicinias, et omnia Venetorum bona diripuere. imperator autem Prasinos apprehendi iussit: ex quibus multi variis tormentis castigati. at Veneti ad ecclesiam deiparae, quae in Blachernis, confugerunt. Prasini autem exilientes ad sanctam Euphemiam Chalcedonem aufugere: quos inde expulsos praefectus suppliciis affecit. porro coniuges et matres eorum ad imperatorem in ecclesiis clamare, ut Prasinis indulgentiam concederet: illae vero baculis repulsam passae sunt: nec placatus imperator, quin Christi natalitia celebrarentur. Februario vero mense imperator iussit ex septem scholariorum numeris, qui, residebant in Bithynia, Nicomedia, Cio, Pruza, Cyzico, Cotyaeo et

Κοτυαίῳ καὶ Δορυλαίῳ ἀπελθεῖν, καὶ καθίσαι ἐν τῇ Θρᾴκῃ ἐν τῇ Ἡρακλείᾳ καὶ ταῖς πέριξ αὐτῆς πόλεσι. τῷ δὲ Μαρτίῳ μηνὶ ἐπανέστησαν αἱ σχολαὶ τῷ κόμητι αὐτῶν, διά τινας συνηθείας ἃς ἐλάμβανον, καὶ ἀπέκοψεν αὐτάς. καὶ ἐπῆλθον αὐτῷ. εὑρέθη δὲ ἐκεῖ Θεόδωρος ὁ υἱὸς Πέτρου τοῦ μαγίστρου ὁ Κονδοχαίρης, καὶ ἀπειλητικοῖς λόγοις χρησάμενος, ἠδυνήθη αὐτοὺς καταπραῦναι. τῷ δ' αὐτῷ ἔτει παρελήφθη ὁ Βαισίπολις ὑπὸ τῶν Οὔννων· καὶ ἔπεμψεν ὁ βασιλεὺς Μάκελλον τὸν στρατηλάτην καὶ ἴδιον αὐτοῦ ἀνεψιὸν μετὰ πλήθους στρατοῦ, τοῦ ἀναρρύσασθαι τὴν πόλιν καὶ τὴν Περσίδα. τῷ δὲ Ἀπριλλίῳ μηνὶ παρελήφθη καὶ ἡ Ἀναστασιόπολις τῆς Θρᾴκης ὑπὸ τῶν Οὔννων. καὶ τῷ Μαΐῳ μηνὶ γ' κατηγορήθη Ζίμαρχος ὁ κουράτωρ τῶν Πλακιδίας, ὡς κατὰ τοῦ βασιλέως λαλήσας πολλὰ καὶ δεινά, ὑπὸ Γεωργίου κουράτωρος τῶν Μαρίνης καὶ Ἰωάννου ἀπὸ ὑπάτων συγγενῶν Θεοδώρας τῆς βασιλίσσης.

A.M. 6055 P. 201 *Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ γέγονε στάσις δημοτικὴ ἐν τοῖς Πιττακίοις, καὶ πολλοὺς ὁ βασιλεὺς ἐτιμωρήσατο. τῷ δὲ Νοεμβρίῳ μηνὶ ἀβροχία πολλὴ ἐγένετο, καὶ λειψις ὑδά-*

1. Κοτυαγίῳ A. 2. ταῖς πέριξ αὐτῆς πόλεσι A, τοῖς πέριξ αὐτῆς vulg. 4. ἀπέκοψεν A, ἀπέκοψαν vulg. ἐπανῆλθον A. 6. Γογδοχαίρης A. 8. ὁ Βαισίπολις] πόλις A e f, fort. Ὀδεσσόπολις. 11. τῷ δὲ Ἀπριλλίῳ μηνὶ] τῷ δ' αὐτῷ ἔτει b, τῷ δ' αὐτῷ μηνὶ a. καὶ ἡ Ἀν. A, ἡ Ἀν. vulg. 13. Πλακίδας A alii.

Dorlyaeo, ut relictis his locis subsisterent in Thracia, atque Heracleae, caeterisque urbibus circum vicinis. Martio deinde mense scholae tumultum contra suum comitem concitavere, ob quaedam stipendia recipi solita, ac deinde rescissa. in eum itaque impetum fecerunt. hic tum forte aderat Theodorus Petri magistri filius, cui cognomen Condocheres, qui minaci oratione usus, eos demulcere et sedare valuit. eodem anno Baesipolis ab Unnis capta est: quamobrem Marcellum militiae magistrum et nepotem suum cum copioso exercitu ad eam civitatem atque Persiam liberandam misit. exinde mense Aprili Anastasiopolis Thraciae urbs ab Unnis occupata: ac mense tandem Maio, Zimarchus Placidiae curator, quasi multa in imperatorem eaque gravia deblaterasset, delatus est a Georgio, Marinae facultatum curatore, et Ioanne exconsule, ambobus imperatricis Theodorae consanguineis.

A.C. 555 Hoc anno, mense Octobri, popularis seditio in Pittaciis excitata est: et in plurimos imperator animadvertit. mense vero Novembri, ex diuturniore imbris penuria magnus ubique aquarum defectus extitit: adeo ut ad aquarum receptacula rixae pugnaeque fuerint com-

των, ὥστε γενέσθαι μάχας πολλὰς ἐν τοῖς ὑδρείοις. ἐφύσησε δὲ καὶ βορρᾶς ἄνεμος Αὐγούστῳ μηνί, καὶ οὐδαμοῦ νότος, καὶ οὐκ ἤρχοντο τὰ πλοῖα ἐν τῇ πόλει, ὥστε καὶ λιτὰς ἐκβαλεῖν Εὐτύχιον τὸν πατριάρχην εἰς Ἱερουσαλήμ, τοῦτ' ἔστιν εἰς τὸν ἅγιον Διομήδην.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ . . . . . ἐπινίκια ἦλθον ἀπὸ Ῥώμης Ναρσοῦ τοῦ πατρικίου δηλοῦντα παραλαβεῖν αὐτὸν πόλεις ὀχυρὰς τῶν Γότθων δύο Βηρωΐαν καὶ Βρίγκας. τῇ δὲ κε B τοῦ αὐτοῦ μηνὸς ἡμέρᾳ σαββάτου ἑσπέρας ἐπιβουλὴν ἐμελέτησάν τινες τοῦ φονεῦσαι τὸν βασιλέα, ὡς κάθηται ἐν τῷ παλατίῳ. ἦσαν δὲ Ἀβλάβιος ἀπὸ Μελιστῶν καὶ Μάρκελλος ἀργυροπράτης καὶ Σέργιος ὁ ἀνεψιὸς τοῦ κουράτωρος Αἰθερίου. ἡ δὲ μελέτη αὐτῶν, ὡς κάθηται ἐν τῷ τρικλίνῳ ἑσπέρας πρὸ τοῦ μησεῦσαι, εἰσπηδήσαντες σφάξωσιν αὐτόν, ἔχοντες ἰδίους ἀνθρώπους συνεργοῦντας αὐτοῖς Ἰνδοὺς κρυπτομένους εἰς τὸ Σιλεντιαρίκιν καὶ εἰς τὸν Ἀρχάγγελον καὶ εἰς τὸ Ἅρμα, ἵνα γενομένης τῆς ἐπιβουλῆς ταραχὴν ποιήσωσιν. ὁ δ' αὐτὸς Ἀβλάβιος καὶ χρυσίον ἔλαβεν παρὰ Μαρκέλλου τοῦ C

2. καὶ post δὲ add. ex A. Αὐγούστου μηνὸς b. 3. ἐν τῇ πόλει add. ex A. 6. haec lacuna etiam in A non suppletur. 7. παραλαμβάνειν A b. 8. Βηρωΐαν A, Βεροΐαν vulg. nonne Βηρώναν? 11. Μελιτῶν A. 12. ὁ add. ex A. 13. μελέτη] ἐπιβουλὴ a. 14. μησεύσει A, μισεῦσαι a, μησεύει f. 16. καὶ εἰς τὸν A, εἰς τὸν vulg.

missae. mense etiam Augusto soli boreae flatus, noti aura nullibi spirare, ex quo navigia a meridie ad urbem appellere non potuere. quamobrem Eutychius patriarcha processiones cum precibus Hierusalem, hoc est, ad sanctum Diomedem duxit.

Eodem etiam anno, mense . . . . . victoriae triumphales nuncii Roma Cpolim delati, pervenerunt: Narsetem videlicet patricium duas urbes munitissimas Veronam et Brixiam a Gotthis recepisse. mensis vero eiusdem die vigesimo quinto, sabbato circa vesperam de imperatore interficiendo, ubi sederet in palatio, quidam coniuraverunt. facinoris auctores fuerunt Ablabius exmonetarius, Marcellus argentarius, et nepos Aetherii curatoris Sergius. eorum porro coniuratio huiusmodi fuit: nimirum cum imperator in triclinio sub vesperam accubuisset, priusquam abeundi copia fieret, irruentes eum interfecturi essent. quin etiam quosdam homines Indos ad hoc facinus adiutores ad Silentiarium et locum Archangeli Harmatisque nomine nuncupari solitum in insidiis latentes habuere, qui molitione ad finem perducta, tumultum concitarent. porro ipse Ablabius auri libras quinquaginta a Marcello argentario, ut suam ipsi operam ad

ἀργυροπράτου λίτρας ν' εἰς τὸ συνεργῆσαι αὐτῷ, καὶ τοῦ θεοῦ εὐδοκήσαντος ἐθάρρησεν Ἀβλάβιος Εὐσεβίῳ τῷ ἀπὸ ὑπάτων ὄντι κόμητι Φυδεράτων καὶ Ἰωάννῃ τῷ λογοθέτῃ τῷ κατὰ Δομεντζίολον λέγων, ὅτι τῇ ἑσπέρᾳ ταύτῃ βουλόμεθα ἐπελθεῖν τῷ βασιλεῖ. ὁ δὲ μηνύσας τῷ βασιλεῖ ἐκράτησεν αὐτούς, καὶ εὗρεν αὐτοὺς φοροῦντας κρυπτὰ ξίφη. καὶ ὁ μὲν ἀργυροπράτης Μάρκελλος ἀστοχήσας τοῦ προσδοκωμένου, σύρας, ὃ ἐφόρει ξίφος, δέδωκεν ἑαυτῷ τρεῖς πληγὰς ἐν τῷ
D τρικλίνῳ, συσχεθεὶς δὲ τελευτᾷ. Σέργιος δὲ ὁ Αἰθερίου ἀνεψιὸς διαδρὰς προσέφυγεν ἐν Βλαχέρναις, ὃν ἐξαγαγόντες τῆς ἐκκλησίας καὶ ἐξετάσαντες ἔπεισαν ὁμολογῆσαι, ὡς καὶ Ἰσάκιος ὁ ἀργυροπράτης, καὶ Βελισάριος ὁ ἐνδοξότατος πατρίκιος καὶ αὐτὸς συνῄδει τοιαύτῃ ἐπιβουλῇ, καὶ Βῖτος ὁ ἀργυροπράτης, καὶ Παῦλος ὁ κουράτωρ τοῦ αὐτοῦ Βελισαρίου ἐγίνωσκον τὴν σκέψιν. καὶ συσχεθέντων ἀμφοτέρων, καὶ ἐκδοθέντων Προκοπίῳ τῷ ὑπάρχῳ, κατέθεντο, καὶ κατεῖπον Βελισαρίου τοῦ πατρικίου. αὐτίκα οὖν ὁ βασιλεὺς γέγονεν ὑπὸ ἀγανάκτησιν Βελισαρίου· πολλοὶ δὲ φυγῇ ἐχρήσαντο. τῇ ε' τοῦ
P. 202 Δεκεμβρίου μηνὸς ἐποίησεν ὁ βασιλεὺς σιλέντιον, ὃ ἐνέγκας

4. ἐν τῇ ἑσπ. A. 11. καὶ prius add. ex A. 12. ὁ prius add. ex A. 15. σκέψιν A, σκῆψιν vulg. συσχεθ. ἀμφοτέρων A b, συσχ. πάντων ἀμφ. vulg. 16. Προκοπίῳ] h. l. iterum lacuna intercedit in cod. A, quae usque ad p. 380, 5. καὶ περιπλακεὶς pertinet.

id accommodaret, acceperat. Ablabius autem, deo ita disponente, cum Eusebio exconsuli, qui foederatorum comes erat, et Ioanni Logothetae, qui Domentziolo adhaerebat, quod coniuraverant fidenter aperuit: hac ipsa, inquit, vespera imperatorem aggredi et interficere decrevimus. ille re ad imperatorem nunciata detinuit eos, et gladios occulte ferentes deprehendit. et argentarius quidem Marcellus consilio suo frustratus, educto, quem gerebat, gladio, tres sibi plagas in ipso triclinio inflixit. mox dum caperetur, expiravit. Aetherii vero nepos Sergius surripiens se in Blachernarum aedem confugit: eumque vi eductum et examinatum hortati sunt fateri Isacium argentarium, et clarissimum patricium Belisarium cum eo coniurationis huiusmodi participes; ac insuper argentarium Vitum, Paulumque Belisarii curatorem eiusdem fuisse conscios. comprehensus igitur uterque et Procopio praefecto traditus insidias omnes detulit, et patricium Belisarium accusavit. confestim itaque in Belisarium imperator exarsit: ex quo multi fugam arripere consiliati sunt. tum vero Decembris die quinto curiam convocavit imperator, adducto secum etiam sanctissimo patriarcha Eutychio, eorumque confessionibus palam recitari iussis, Beli-

καὶ τὸν ἁγιώτατον πατριάρχην Εὐτύχιον κελεύσας ἀναγνω- V. 161
σθῆναι τὰς αὐτῶν καταθέσεις, καὶ ἀκούσας Βελισάριος μεγά-
λως ἐβαρήθη, καὶ γέγονεν ὑπὸ ἀγανάκτησιν τοῦ βασιλέως, καὶ
πέμψας ὁ βασιλεὺς ἔλαβεν πάντας τοὺς ἀνθρώπους αὐτοῦ,
καὶ αὐτὸν ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτοῦ παραφυλαττόμενον.
τῷ δὲ Δεκεμβρίῳ μηνὶ κ' γέγονεν ἐγκαίνια τῆς μεγάλης ἐκκλη-
σίας τὸ δεύτερον· ἡ δὲ παννυχὶς τῶν αὐτῶν ἐγκαινίων γέγονεν
εἰς τὸν ἅγιον Πλάτωνα, καὶ ἐξῆλθεν ἐκεῖθεν ὁ πατριάρχης B
Κωνσταντινουπόλεως Εὐτύχιος μετὰ τῆς λιτῆς, συμπαρόντος
καὶ τοῦ βασιλέως, καθεζόμενος ἐν τῷ ὀχήματι, καὶ φορῶν τὸ
ἀποστολικὸν σχῆμα καὶ κρατῶν τὸ ἅγιον εὐαγγέλιον, πάντων
τῶν λαῶν ψαλλόντων τό· Ἄρατε πύλας, ἄρχοντες, ὑμῶν. τῷ
δ' αὐτῷ μηνὶ παρελήφθη μέρη τινὰ τῆς Ἀφρικῆς ὑπὸ τῶν
Μαυριτάνων ἐπαναστάντων [αὐτῶν τῇ Ἀφρικῇ] τρόπῳ τοι-
οὑτῳ. Κουτζίνας τις ὀνόματι ἐκ τοῦ αὐτοῦ ἔθνους ἔξαρχος
τῶν Μαυριτάνων, εἶχεν ἔθος λαμβάνειν παρὰ τοῦ κατὰ τὸν
καιρὸν ἄρχοντος τῆς Ἀφρικῆς ῥητὸν χρυσίον. ἐλθόντος δὲ
αὐτοῦ λαβεῖν αὐτό, Ἰωάννης ὁ ἄρχων Ἀφρικῆς ἐφόνευσεν
αὐτόν. ἀνέστησαν δὲ τὰ τέκνα αὐτοῦ τοῦ Κουτζίνα ἐκδικοῦν- C
τες τὸ πατρῷον αἷμα, καὶ ἐπαναστάντες τῇ Ἀφρικῇ, παρέλαβον

2. μεγάλως ἐλυπήθη, καὶ a. 7. παννιχὺς vulg. 14. Mauρικιανῶν vulg. αὐτοῖς τῇ Ἀφρικῇ a, haec verba potius delenda videntur. 17. ἄρχοντα a. 19. ἐκζητοῦντες τὸ πατρῷον λῆμα b.

sarius coram assistens et auditor, graviter indoluit, et in imperatoris offensionem incurrit, qui militibus summissis domesticos eius detinuit omnes, ipsum vero propria domo inclusum sub custodia servari praecepit. porro mensis Decembris die vigesimo magnae ecclesiae dedicatio secundo celebrata: nocturnaeque vigiliae dedicationi huiusmodi praemitti solitae apud sancti Platonis peractae: et exinde sacro procedendi ritu, cui praesentem imperator se exhibuit, patriarcha Cpoleos Eutychius curru vectus, et apostolico habitu ornatus, sacrum manibus tenens evangelium, progressus est, cunctis e populo concinentibus: attollite portas, principes, vestras. eodem quoque mense partes quaedam Africae a Mauritanis in Africa rebellionem excitantibus occupatae sunt hoc pacto. quidam nomine Cutzinas memoratae Mauritanorum gentis princeps, a praefecto, qui per id tempus regeret Africam, certum auri pondus accipere solebat. eam pecuniae summam accipere profectum Ioannes Africae praefectus occidit. insurgunt itaque Cutzinae liberi paternum sanguinem ulturi, et excursionibus Africam vastantes, abactis hinc inde praedis, partes regionis aliquas

αὐτῆς μέρη τινά, πραιδεύσαντες. ὁ οὖν βασιλεὺς γνοὺς τοῦτο, ἀπέστειλεν πρὸς βοήθειαν τῆς Ἀφρικῆς Μαρκιανὸν τὸν ἀνεψιὸν αὐτοῦ καὶ στρατηλάτην μετὰ ἐξερκέτου, πρὸς τὸ εἰρηνεῦσαι τοὺς Μαύρους. καὶ προσερρύησαν αὐτῷ, εἰρήνευσεν ἡ Ἀφρική· τῷ δὲ Ἀπριλλίῳ μηνὶ διεδέχθη ὁ Προκόπιος ὁ ὕπαρχος τῆς πόλεως, καὶ γέγονεν ἀντ' αὐτοῦ Ἀνδρέας ὁ ἀπὸ λογοθετῶν. καὶ ἐξερχομένου αὐτοῦ ἀπὸ παλατίου τῆς Χαλκῆς καθημένου ἐν τῷ ὀχήματι, καὶ ἀπερχομένου ἐν τῷ πραιτωρίῳ, D ὑπήντησαν αὐτῷ οἱ Πράσινοι εἰς τὸ Λαῦσον· καὶ ἤρξαντο αὐτὸν ὑβρίζειν, καὶ λιθάζειν· καὶ ἐγένετο ἀταξία μεγάλη ἐν τῇ μέσῃ τῶν δύο μερῶν. καὶ εἰσῆλθον ἐν ταῖς φυλακαῖς, καὶ ἐκράτησεν ἡ μάχη ἀπὸ ὥρας ἰ ἕως ἑσπέρας. καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰουστῖνον τὸν ἀνεψιὸν αὐτοῦ καὶ κουροπαλάτην, καὶ ἀπεδίωξεν αὐτούς. καὶ πάλιν περὶ ὥραν ιβ' συνέβαλλον μάχην, καὶ ἐκρατήθησαν· καὶ ἐπόμπευσεν ἐπὶ πολλὰς ἡμέρας· καὶ ἔκοψαν τοὺς ἀντίχειρας αὐτῶν, ὅσοι μετὰ ξιφῶν ἐμαχήσαντο. καὶ τῇ ιθ' τοῦ Ἰουλίου μηνὸς ἐδέχθη Βελισάριος ὁ πατρίκιος, ἀπολαβὼν καὶ πάσας αὐτοῦ τὰς ἀξίας. ἔφθασε δὲ καὶ Πέτρος ὁ μάγιστρος ἀπὸ Περσίδος P. 203 ποιήσας πάκτα εἰρήνης ἔτη ζ, ἕνεκεν Λαζικῆς καὶ τῶν μερῶν τῆς ἀνατολῆς. τῷ δ' αὐτῷ μηνὶ ἦλθον πρέσβεις Ἀσκὴλ τοῦ

12. ἕως ἑσπέρας om. f. 20. ἔτη ιζ f.

occupant. his cognitis nepotem suum et militiae magistrum Marcianum cum exercitu valido imperator mittit, iuvandae nimirum armis Africae, Maurisque ad pacis et servitutis officia revocandis. Marciani imperium faciles excepere Mauritani, et Africa omnis in pace composita est. porro Aprili mense Procopio urbis praefecto exautorato institutus est Andreas exlogotheta: eoque post impositum onus e palatio Chalces egresso, curruique insidente, et ad praetorium procedente, Prasini et Lausum facti sunt obviam, virumque contumeliis et lapidibus exceperunt: ex quo inter duas partes ingens orta seditio. in carceres enim involaverunt: duravitque congressus ab hora decima ad vesperam. imperator autem Iustinum nepotem suum et curopalatem misit, qui cohiberet impetum et seditiosos fugaret. circa duodecimam vero pugnam rursus instauraverunt: qui tamen ex illis comprehensi, in multos dies per urbem ignominiae inurendae causa traducti sunt: et, quibus cum gladiis contentio inita, manuum pollices truncati. caeterum Iulii mensis die decimo nono, patricius Belisarius prioribus cunctis dignitatum honoribus restitutus, in gratiam quoque imperatoris rediit. Petrus etiam magister e Persia reversus est, constitutis in annos septem pacis conditionibus, quod in Lazicen alias-

ῥηγὸς Ἑρμηχιόνων τοῦ ἔσωθεν κειμένου τῶν βαρβάρων ἐθνους πλησίον τοῦ ὠκεανοῦ. τῷ δ' Αὐγούστῳ μηνὶ γέγονε λειψις ὕδατος, ὥστε σφαλισθῆναι τὰ δημόσια λουτρά, καὶ γενέσθαι φονοκοπεῖα εἰς τὰ ὑδρεῖα. B

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ἰνδικτιῶνι ιβ' ἀπῆλθεν A.M. 6056
ὁ βασιλεὺς Ἰουστινιανὸς χάριν εὐχῆς ἐν τοῖς Μυριαγγέλοις, V. 162
ἤγουν ἐν Γερμίοις πόλει τῆς Γαλατίας. τῷ δὲ Νοεμβρίῳ μηνὶ εἰσῆλθεν ἐν Βυζαντίῳ Ἀρέθας ὁ πατρίκιος, καὶ φύλαρχος τῶν Σαρρακήνων, ὀφειλὰς ἀγαγεῖν τῷ βασιλεῖ, τίς τῶν τέκνων αὐτοῦ ὀφείλει μετὰ τὴν αὐτοῦ ἀποβίωσιν κρατῆσαι τῆς φυλαρχίας αὐτοῦ, καὶ περὶ τῶν γινομένων ὑπὸ Ἀβάρου τοῦ υἱοῦ Ἀλαμανδάρου εἰς τοὺς τόπους αὐτοῦ. τῷ δὲ Δεκεμβρίῳ μηνὶ γέγονεν ἐμπυρισμὸς μέγας, καὶ ἐκαύθη τελείως C
ὁ ξενὼν τοῦ Σαμψών, καὶ τὰ ἔμπροσθεν τοῦ Ῥούφου οἰκήματα καὶ τὸ μεσίαυλον τὸ πλησίον τῆς μεγάλης ἐκκλησίας, τὸ λεγόμενον Γαρσονοστάσιον, καὶ τὰ δύο ἀσκητήρια τὰ πλησίον τῆς ἁγίας Εἰρήνης σὺν τῷ μεσιαύλῳ αὐτῆς, καὶ μέρος τοῦ νάρθηκος αὐτῆς.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ ἰνδικτιῶνι ιγ' τελευτᾷ Βε- A.M. 6057
λισάριος ὁ πατρίκιος ἐν Βυζαντίῳ, καὶ ἡ τούτου περιουσία

4. φονοκοπεῖα a, φονοκόπια vulg. 8. ἦλθεν Βυζαντίῳ f. 9. ἀγάγαι b f. 11. Ἀμάρου a.

que orientis regiones spectabat. eodem mense venerunt legati Ascel regis Hermechionum, qui interiores barbararum nationum provincias iuxta oceanum obtinent. Augusto denique mense ea aquarum penuria contigit, quae publica balnea claudi, et caedes plurimas ad aquarum receptacula committi cogeret.

Hoc anno mense Octobri, indictione duodecima, ad Myriangelos, A. C. 556
Germium videlicet, quae Galatiae urbs est, orationis habendae causa imperator Iustinianus profectus est. mense vero Novembri patricius Arethas et Saracenicarum tribuum moderator Byzantium venit, renunciaturus imperatori, quis filiorum post eius obitum in tribunatum potestatem obtineret, nec non ea quae ab Abaro Alamandari filio in suam provinciam commissa erant. caeterum mense Decembri magnum incendium exortum est, quo Sampsonis hospitium peregrinis recipiendis destinatum omnino consumptum, aedes ad Rufi partem anteriorem, medii quoque ad magnam ecclesiam atrii aedificium, cui militum statio nomen factum, duo quoque monasteria ad sanctam Irenem posita, nec non eiusdem ad mediam aream structura, et narthecis ipsius ecclesiae bona pars flammis devastata.

Hoc anno mense Martio, indictione decima tertia, patricius Beli- A. C. 557
sarius Byzantii moritur, facultatesque eius omnes imperialibus Mari-

D ἦλθεν εἰς τὸν δεσποτικὸν οἶκον τῆς Μαρίνης. τῇ δὲ αὐτῇ ιγ' ἰνδικτιῶνι μηνὶ Ἀπριλλίῳ ιβ' Εὐτύχιος πατριάρχης Κωνσταντινουπόλεως καθῃρέθη καὶ ἐξωρίσθη ἐν Ἀμασίᾳ ὑπὸ Ἰουστινιανοῦ. καὶ γέγονεν ἀντ' αὐτοῦ Ἰωάννης ἀπὸ σχολαστικῶν ἀποκρισιάριος ὢν τῆς Ἀντιοχείας τῆς μεγάλης.

Τῷ δ' αὐτῷ ἔτει Ἰουστινιανὸς ὁ βασιλεὺς τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα, καὶ ἴδικτον πανταχοῦ καταπέμψας ἀλλότριον εὐσεβείας, θεοῦ προφθάσαντος, ἐτελεύτησεν μηνὶ Νοεμβρίῳ ια', τῆς ἐχομένης ιδ' ἰνδικτιῶνος, βασι-
P. 204 λεύσας ἔτη λή, μῆνας ζ, ἡμέρας ιγ'. καὶ γίνεται τούτου διάδοχος ὁ ἀνεψιὸς αὐτοῦ, Ἰουστῖνος ὁ κουροπαλάτης.

Τῷ δ' αὐτῷ ἔτει οἱ Θεοδοσιανοὶ καὶ Γαϊανῖται ἐν Ἀλεξανδρείᾳ κτίζειν ἤρξαντο συνακτήρια, καὶ αὐθεντήσαντες οἱ Γαϊανῖται ἐπίσκοπον ἐν αὐτοῖς ἐχειροτόνησαν Ἐλπίδιον ἀρχιδιάκονον αὐτῶν, ὃν ὁ βασιλεὺς δεδεμένον ἐλθεῖν προσέταξεν. ἐρχόμενος δὲ κατὰ τὸν Σίγριν ἀπέθανεν. Θεοδοσιανοὶ δὲ Δωρόθεον κρυπτῶς ἐν νυκτὶ ἐπίσκοπον ἑαυτοῖς ἐχειροτόνησαν. καὶ εἰς ἓν συνελθόντες οἵ τε Γαϊανῖται καὶ οἱ Θεοδοσιανοὶ κοινὸν ἐπίσκοπον ἑαυτοῖς ἐνεθρόνισαν καὶ ἐχειροτόνησαν· Ἰωάννην δὲ
B τινα μοναχόν, ὃν οἱ Γαϊανῖται * δόλον ὑπομεμενηκέναι νομί-

5. τῆς μεγάλης om. f. 7. fort. ἤδικτον, ut et alias. 14. ἐχειροτόνησαν] ἐνεθρόνησαν a f. 19. fort. ἐχειροτόνησαν Ἰωάννην τινὰ μοναχόν, ut et Goar. coniecit. 20. δόλον] δοῦλον a e, sed fort. scribendum: δόλον ὑπομεμελετηκέναι.

nae aedibus, et eius aerario addictae. eiusdem quoque indictionis decimae tertiae mense Aprili, eiusque die duodecimo, patriarcha Cpoleos Eutychius a Iustiniano dignitate motus est, et Amaseam relegatus: Ioannes vero exscholasticus magnae Antiochiae responsalis in eius locum subrogatus est.

Eodem anno Iustinianus opinionem de corruptibili atque incorruptibili movens, cum edictum super ea re ab omni pietate alienum in provincias omnes emisisset, deo praevertente, mortuus est, die undecimo mensis Novembris, indictione decima quarta iam currente, cum regnasset annos octo supra triginta, menses septem, dies tredecim: successor eius nepos Iustinus curopalates designatur.

Eodem pariter anno Theodosiani et Gaianitae conventicula Alexandriae aedificare coeperunt: Gaianitae vero auctoritate ac viribus praevalentes Elpidium suum archidiaconum ordinaverunt; quem imperator vinctum ad se adduci iussit: in itinere vero ad Sigrim mortuus est. porro Theodosiani clam noctu Dorotheum sibi praefecerunt: convenientesque in unum tam Theodosiani, quam Gaianitae, eum communem utrisque episcopum in sedem intulerunt. cum autem Gaia-

σαντες τὸν πώγωνα τοῦ ἀββᾶ σὺν τῷ δέρματι καὶ τῇ σαρκὶ ἐξέδειραν.

Ῥωμαίων βασιλέως Ἰουστίνου, Κωνσταντινουπόλεως ἐπι- A.M. 6058
σκόπου Ἰωάννου, Ἱεροσολύμων ἐπισκόπου ἔτος α'.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ ιδ', ἰνδικτιῶνι ιδ', ἐβα-
σίλευσεν Ἰουστῖνος ὁ ἀνεψιὸς Ἰουστινιανοῦ στεφθεὶς ὑπὸ
Ἰωάννου πατριάρχου ἀπὸ σχολαστικῶν. ἦν δὲ τῷ γένει Θρᾴξ, V. 163
μεγαλόψυχός τε καὶ εἰς πάντα ἐπιδέξιος, φιλοκτίστης· εἶχεν C
δὲ γυναῖκα Σοφίαν ὀνόματι, ἥν τινα καὶ ἔστεψεν αὐγοῦσταν.
εὐσεβὴς δὲ ὢν ἐπεκόσμησεν τὰς ἐκκλησίας τὰς κτισθείσας ὑπὸ
Ἰουστινιανοῦ, τήν τε μεγάλην ἐκκλησίαν καὶ τοὺς ἀποστόλους
καὶ ἄλλας ἐκκλησίας καὶ μοναστήρια, χαρισάμενος αὐτοῖς κει-
μήλια καὶ πᾶσαν πρόσοδον. ἦν δὲ ὀρθόδοξος πάνυ. καὶ ἀπέ-
στειλεν τὸν ἀββᾶν Φοτεινὸν τὸν πρόγονον Βελισαρίου τοῦ πα-
τρικίου, δοὺς αὐτῷ ἐξουσίαν κατὰ παντὸς προσώπου καὶ πρά-
γματος τοῦ εἰρηνεῦσαι τὰς ἐκκλησίας πάσας Αἰγύπτου τε καὶ D
Ἀλεξανδρείας.

Τούτῳ τῷ ἔτει Αἰθέριος καὶ ὁ Ἄβδιος, καὶ ὁ σὺν αὐτοῖς A.M. 6059
ἰατρὸς ἐπεβούλευσαν τῷ βασιλεῖ Ἰουστίνῳ, γνωσθέντες δὲ
ἀπέθανον ξίφει. ἐποίησεν δὲ ὑπατείαν, καὶ ἔρριψεν χρήματα
πολλά, ὥστε πολλοὺς πλουτίσαι.

9. γυναῖκαν vulg. 18. γνωσθέντες δὲ] καὶ γν. δὲ vulg.

nitae Ioannem quendam monachum dolos adversum se commentum arbitrarentur, barbam cum pelle atque carne abbati avulsere.

Romanorum imperatoris Iustini, Cpoleos episcopi Ioannis, Hiero- A. C. 558
solymorum episcopi Macarii annus primus.

Hoc anno, mensis Novembris die decimo quarto, indictione decima quarta, nepos Iustiniani Iustinus a Ioanne exscholastico patriarcha coronatus suscipit imperium. fuit genere Thrax, generosus, et in gerendis rebus dexter, et aedificiis gaudens. coniugem habuit nomine Sophiam, cui cum augustae dignitate coronam imposuit. pietatis studiosus ecclesias a Iustiniano aedificatas ornavit, magnam videlicet ecclesiam, sanctorum apostolorum, nec non alias, ut et monasteria, quae cuncta sacra supellectile, muneribusque, collatisque redditibus dotavit. bene sensit in omnibus de fide. Photinum praeterea Belisarii patricii privignum, potestate in quasvis personas, atque res data, ad omnes Aegypti et Alexandriae ecclesias reconciliandas bonaque pace componendas misit.

Hoc anno Aetherius et Abdius, et una cum eis medicus Iustini A. C. 559
imperatoris vitae struxerunt insidias: deprehensi vero, gladio perierunt. consulum vero more munus dedit Iustinus, multasque pecunias, quibus etiamnum plures ditati, sparsit in populum.

Τῷ δ' αὐτῷ ἔτει ὁ ἀββᾶς Ἀγάθων ἀδελφὸς Ἀπολιναρίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας ἐλθὼν εἰς Ἀλεξάνδρειαν, καὶ λόγους εἰσπραττόμενος, Εὐστόχιον μοναχὸν ὄντα καὶ οἰκονόμον
P. 205 *Ἀλεξανδρείας τότε, τῆς οἰκονομίας χάριν ἐφρούρησεν τοῦτον· ὃς φυγὼν διὰ τῆς στέγης ἦλθεν ἐν Βυζαντίῳ, Μακαρίου τότε ἐκβληθέντος τῆς ἐκκλησίας κατὰ συσκευήν· καὶ ἐχειροτονήθη Εὐστόχιος ἀντὶ Μακαρίου ἐπίσκοπος Ἱεροσολύμων.*

A.M. 6060 *Ἱεροσολύμων ἐπισκόπου Εὐστοχίου ἔτος α'.*

B *Τούτῳ τῷ ἔτει μετασταλεμένη Σοφία εὐσεβεστάτη αὐγοῦστα τοὺς τε ἀργυροπράτας καὶ σημαδαρίους, ἐκέλευσεν ἐνεχθῆναι τὰς ὁμολογίας τῶν χρεωστούντων καὶ τὰ σημάδια· καὶ ἐντυχοῦσα αὐτοῖς, ἔλαβε τὰ σημάδια παρασχομένη αὐτὰ τοῖς χρεωστοῦσι, καὶ ἀπέδωκεν αὐτὰ τοῖς ἰδίοις δεσπόταις· καὶ μεγάλως εὐφημίσθη ἐπὶ τούτῳ ὑπὸ πάσης τῆς πόλεως. Εὐστόχιος δὲ ἀπελθὼν εἰς Ἱεροσόλυμα μίσει τῷ πρὸς Ἀπολινάριον καὶ Ἀγαθῶνα καὶ Μακάριον, τοὺς τῆς νέας λαύρας μοναχοὺς ἐξέβαλλεν, ὡς Ὠριγενιστάς· καὶ διὰ τοῦτο ἔξε-*
C *βλήθη· καὶ πάλιν ἀπεκατέστη Μακάριος εἰς τὸν ἴδιον θρόνον.*

A.M. 6061 *Ἱεροσολύμων ἐπισκόπου πάλιν Μακαρίου, Ἀλεξανδρείας Ἰωάννου ἔτος α'.*

7. *ἐπισκόπου* vulg. 13. *χρεωστοῦσι, καὶ ἀπέδωκεν αὐτὰ τοῖς* add. ex e.

Eodem anno abbas Agatho Apolinarii episcopi Alexandrini frater, Alexandriam profectus ad rerum administratarum rationes exigendas, Eustochium monachum Alexandriae tunc magnum oeconomum male gesti muneris incusatum misit in carcerem: qui tecto elapsus, Byzantium perrexit. Macario vero dolis ecclesia depulso, in eius locum Hierosolymorum episcopus Eustochius consecratus est.

A. C. 560 Hierosolymorum episcopi Eustochii annus primus.

Hoc anno nummulariis foeneratoribusque cunctis convocatis, iussit augusta debitorum syngraphas et pignora ad se proferri: quibus in potestatem acceptis, pignora debitoribus restituit, et in propriorum dominorum manibus cuncta reposuit: atque ob id factum summis eam laudibus tota urbs prosequuta est. Eustochius autem Hierosolymam profectus, odio, quo in Apolinarium, Agathonem et Macarium ferebatur, novae laurae monachos Origeniani dogmatis incusatos expulit: quamobrem ipse postmodum eiectus est, et Macarius rursum proprio throno redditus.

A. C. 561 Hierosolymorum episcopi Macarii iterum, Alexandriae Ioannis annus primus.

Τούτῳ τῷ ἔτει ἱπποδρομίας τελεσθείσης, καὶ φιλονεικούντων τῶν μερῶν εἰς ἀλλήλους, ἔπεμψεν μανδάτα εἰς ἑκάτερα τὰ μέρη ὁ βασιλεύς, λέγων, εἰς μὲν τοὺς Βενέτους, ὅτι ὁ Ἰουστινιανὸς ὁ βασιλεὺς παρ' ὑμῖν ἐτελεύτησεν, εἰς τοὺς Πρασίνους, ὅτι παρ' ὑμῖν ὁ βασιλεὺς Ἰουστινιανὸς ζῇ· καὶ ἀκούσαντα τὰ μέρη ἐσίγησαν, καὶ οὐκ ἔτι ἐφιλονείκησαν. D

Τῷ δ' αὐτῷ ἔτει ἤρξατο κτίζειν τὸ παλάτιον τῶν Σο- V. 164
φιανῶν ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας, προφάσει τοῦ ἐκεῖ ταφῆναι Ἰοῦστον τὸν υἱὸν αὐτοῦ πρὸ τοῦ βασιλεῦσαι αὐτόν, ἔτι κουροπαλάτου ὄντος αὐτοῦ, ἐν τῷ οἴκῳ τοῦ ἀρχαγγέλου τοῦ ἐκεῖσε, κοσμήσας αὐτὸ ὑπὸ διαφόρων πολυτίμων μαρμάρων.

Ῥώμης ἐπισκόπου Βενεδίκτου ἔτος α'. A.M. 6062

Τούτῳ τῷ ἔτει Ἰουστῖνος ὁ βασιλεὺς ἤρξατο κτίζειν τὸ P. 206
παλάτιον τὸ δεύτερον ἐν τῷ προαστείῳ αὐτοῦ, ὃ εἶχεν πρὸ τοῦ βασιλεῦσαι αὐτόν. ὁμοίως δὲ καὶ ἐν τῇ νήσῳ τῆς Πριγκίπου, καὶ αὐτῷ ὅντι προαστείῳ αὐτοῦ ἐν τῷ λιμένι, καὶ τὴν ἐκκλησίαν τῶν ἁγίων Ἀναργύρων ἐν τοῖς Δαρείου. ἀποκατέστησεν δὲ τὸ λουτρὸν τοῦ Ταύρου τὸ δημόσιον, καὶ ἐπωνόμασεν αὐτὸ Σοφιανάς, ἐπ' ὀνόματι τῆς γυναικὸς αὐτοῦ Σοφίας.

4. ὁ βασιλεὺς om. a. 11. αὐτὸ] αὐτῷ vulg. 17. προαστείῳ a f, προάστειον vulg.

Hoc anno ludis equestribus in circo celebratis et contendentibus ad invicem factionibus, ad utrasque partes mandata misit imperator; ad Venetos quidem his verbis usus: imperator Iustinianus penes vos obiit: ad Prasinos autem, imperator Iustinianus penes vos vivit. his auditis conquieverunt factiones, et ad priora dissidia nusquam redierunt.

Eodem anno Sophianorum palatium coniugis Sophiae nomine, occasione accepta, quod in eo, dum curopalatem adhuc ageret, filius eius Iustus fuisset sepultus, exaedificare coepit, in domo nimirum archangeli istius loci. pretiosioribus vero marmoribus palatium adornavit.

Romae episcopi Benedicti annus primus. A. C. 562

Hoc anno imperator Iustinus, in suburbano, quod ante susceptum imperium possidebat, alterum palatium coepit extruere: et in principis insula, quae pariter eius erat, suburbanum aliud erexit ad portum: nec non sanctorum mercede non conductorum ad Darii regionem. ad haec publicum Tauri balneum a se reparatum de coniugis Sophiae nomine Sophianas nuncupavit.

Τῷ δ' αὐτῷ ἔτει Ἀναστάσιος ὁ ἐπίσκοπος Ἀντιοχείας ὁ μέγας καθαψάμενος ἐν τοῖς ἀντιγράφοις τῶν συνοδικῶν Ἰωάννου τοῦ Κωνσταντινουπόλεως τοῦ χειροτονήσαντος Ἰωάννην
B τὸν Ἀλεξανδρείας, καὶ τούτου χειροτονηθέντος ἐξεβλήθη τῆς ἰδίας ἐπισκοπῆς κατὰ ἀγανάκτησιν Ἰουστίνου, καὶ ἐχειροτονήθη Γρηγόριος μοναχὸς καὶ ἀποκρισιάριος τῆς μονῆς τῶν Βυζαντίων.

A.M. 6063 Ἀντιοχείας ἐπισκόπου Γρηγορίου ἔτος α'.

Τούτῳ τῷ ἔτει Ναρσῆς ὁ κουβικουλάριος καὶ πρωτοσπαθάριος, ὁ ἀγαπητὸς τοῦ βασιλέως Ἰουστινιανοῦ, εἰς ὃν ἐλοι-
C δορεῖτο, ἔκτισεν τὴν οἰκίαν Ναρσοῦ καὶ τὴν μονὴν τῶν Καθαρῶν. ἀκούσας δὲ Ἰουστῖνος ὁ βασιλεὺς περὶ τοῦ ἀνεψιοῦ αὐτοῦ, ὃν εἶχεν ἐν Ἀλεξανδρείᾳ αὐγουστάλιον, ὅτι συσκευὴν μελετᾷ κατὰ τοῦ βασιλέως, πέμψας ἀπεκεφάλισεν αὐτόν.

A.M. 6064 Τούτῳ τῷ ἔτει ἤρξατο κτίζειν ὁ Ἰουστῖνος τὴν ἐκκλησίαν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐν ὀρφανοτροφείῳ, καὶ τῶν ἁγίων ἀποστόλων ἐν τῷ Τρικόγχῳ τὴν καεῖσαν
D ἐπὶ Ζήνωνος τοῦ βασιλέως. προσέθηκε δὲ καὶ εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν Βλαχερνῶν τὰς δύο ἀψίδας, τῆς τε ἄρκτου καὶ μεσημβρίας ἐν τῷ μεγάλῳ ναῷ, καὶ ἐποίησε τὴν ἐκκλησίαν κατὰ σταυρίου.

10. Ἰουστινιανοῦ a, Ἰουστίνου vulg.

Eodem etiam anno cum magnus ille Anastasius Antiochiae episcopus in synodales epistolas Ioannis Cpoleos episcopi, qui Ioannem Alexandrinum consecraverat, atque etiam in ipsum Ioannem Alexandrinum, qui ordinatus fuerat, rescriptis suis invectus fuisset: Iustini mandato sede depulsus est, et in eius locum Gregorius monachus et Byzantiorum monasterii apocrisiarius promotus.

A.C. 563 Antiochiae episcopi Gregorii annus primus.

Hoc anno Narses cubicularius et protospatharius, qui Iustiniano imperatori adeo carus fuit, ut eius gratia ludibriis respergeretur, domum Narsetis construxit et Catharorum monasterium. imperator autem Iustinus proprium nepotem, quem augustalis dignitate Alexandriae decoraverat, insidias in se machinari cum praesensisset, misit extemplo qui ipsum capite plecterent.

A.C. 564 Hoc anno sanctorum apostolorum Petri et Pauli ecclesiam coepit Iustinus aedificare in orphanorum hospitio, aliamque sanctorum apostolorum, quae Zenonis imperatoris tempore conflagrarat, in Triconcho. ad ecclesiam quoque sanctae deiparae Blachernarum duas absides addidit, et hanc, quae septentrionem, illam, quae meridiem respiciat, extruxit in celeberrimo illo templo: totamque molem illam in crucis normam composuit.

Τούτῳ τῷ ἔτει Ῥωμαῖοι τε καὶ Πέρσαι τὴν εἰρήνην διέφθειραν, καὶ πάλιν ὁ Περσικὸς ἀνεκαινίσθη πόλεμος διὰ τὸ πρεσβεῦσαι τοὺς Ὁμηρίτας Ἰνδοὺς πρὸς Ῥωμαίους, καὶ ἀποστεῖλαι τὸν βασιλέα Ἰουλιανὸν τὸν μαγιστριανὸν μετὰ σάκρας πρὸς Ἀρέθαν βασιλέα τῶν Αἰθιόπων διὰ τοῦ Νείλου ποταμοῦ ἀπὸ Ἀλεξανδρείας καὶ τῆς Ἰνδικῆς θαλάσσης· καὶ ἀπεδέχθη τῷ βασιλεῖ Ἀρέθᾳ μετὰ χαρᾶς πολλῆς, ὡς ἐφιεμένῳ τὴν φιλίαν τοῦ βασιλέως Ῥωμαίων. ἐξηγεῖτο δὲ ἐπανελθὼν ὁ αὐτὸς Ἰουλιανός, ὅτε ὅτε ἐδέξατο αὐτόν, γυμνὸς ἦν ὁ βασιλεὺς Ἀρέθας, καὶ κατὰ τοῦ ζώσματος αὐτοῦ εἶχεν εἰς τὰς ψύας λινόχρυσα ἱμάτια· κατὰ δὲ τῆς γαστρὸς ἐφόρει σχιστὰ διὰ μαργαρίτων τιμίων, καὶ ἐν τοῖς βραχίοσιν ἀνὰ πέντε κλαβίων, καὶ χρυσᾶ ψέλλια εἰς τὰς χεῖρας αὐτοῦ· ἐν δὲ τῇ κεφαλῇ λινόχρυσον φακιόλιον ἐσφενδονισμένον, ἔχον ἐξ ἀμφοτέρων τῶν δεσμῶν σειρὰς τέσσαρας, καὶ μανιάκιν χρυσοῦν ἐν τῷ τραχήλῳ αὐτοῦ· καὶ ἵστατο ἐπάνω τεσσάρων ἐλεφάντων ἑστώτων καὶ ἐχόντων ζυγὸν καὶ τροχοὺς τέσσαρας, καὶ ἐπάνω ὡς ὄχημα ὑψηλὸν ἡμφιεσμένον χρυσείοις πετάλοις, ὥσπερ ἐστὶ τὰ τῶν ἀρχόντων τῶν ἐπαρχιῶν ὀχήματα· καὶ ἑστὼς ἐπάνω αὐτοῦ ἐβάσταζεν σκουτάριν μικρὸν κεχρυσωμένον καὶ δύο λαγκίδια χρυσᾶ· καὶ πᾶσα ἡ σύγκλητος αὐτοῦ μετὰ ὅπλων ᾄδοντες μέλη μου-

P. 207

V. 165

B

4. μετὰ σάκρας om. a.

Hoc etiam anno ruptis Romanos inter et Persas pacis foederibus, Persicum rursus renovatum est bellum, missorum videlicet ab Homeritis Indis ad Romanos legatorum invidia, ac insuper quod Iulianum magistrianum ab Alexandria per Nilum fluvium et Indicum mare cum sacris ad Arethan regem Aethiopum misisset imperator. legatum cum ingenti gaudio rex Arethas excepit, eeu qui Romanorum imperatoris amicitiam disideraret. reversus e legatione Iulianus a rege Aretha hunc in morem instructo exceptum se referebat. erat ille nudus quidem corpore, at circa lumbos, qua cingulum ponitur, lineam vestem auro gestabat intertextam, quae ad ventrem quasi divisa, et pretiosioribus gemmis cernebatur intercisa. alligabantur brachiis quinque circuli, et manibus inerant armillae aureae. fascia linea auro distincta caput circumvolvebatur, et ex utraque nodorum parte quatuor pendebant catenae: collo vero torquem gerebat aureum. iugo quatuor elephantis vecto, cui rotae quatuor, et currus desuper sublimis, quales praefectorum provinciarum rhedae, laminis aureis circumtectus, ferebatur. in eo stans breve scutum aureum, lanceasque binas breves manibus tenebat: universi vero eius aulici circumstabant armis instructi, musicos accinentes modulos. intromissus itaque Romanorum legatus,

σικά. εἰσενεχθεὶς οὖν ὁ πρέσβυς τῶν Ῥωμαίων καὶ προσκυνήσας, ἐκελεύθη παρ' αὐτοῦ ἀναστῆναι καὶ ἀχθῆναι πρὸς αὐτόν. δεξάμενος οὖν τὴν τοῦ βασιλέως σάκραν, κατεφίλησε τὴν σφραγῖδα τὴν ἔχουσαν τὸ στηθύριον τοῦ βασιλέως· δεξάμενος δὲ καὶ τὰ δῶρα ἐχάρη μεγάλως. ἀναγνοὺς δὲ εὗρεν περιέχοντα τοῦ ὁπλίσασθαι αὐτὸν κατὰ τοῦ βασιλέως Περσῶν, καὶ τὴν πλησιάζουσαν αὐτῷ χώραν τῶν Περσῶν ἀπολέσαι, καὶ τοῦ λοιποῦ μηκέτι συνάλλαγμα ποιεῖν μετὰ τῶν Περσῶν, ἀλλὰ δι' ἧς ὑπέταξεν χώρας τῶν Ὁμηριτῶν διὰ τοῦ Νείλου ποταμοῦ ἐπὶ τὴν Αἴγυπτον τὴν ἐν Ἀλεξανδρείᾳ πραγματείαν ποιεῖσθαι. εὐθέως δὲ στρατεύσας ὁ βασιλεὺς Ἀρέθας ἐπ' ὄψεσι τοῦ πρεσβευτοῦ Ῥωμαίων, ἐκίνησε πόλεμον κατὰ Περσῶν, προπέμψας τοὺς ὑπ' αὐτὸν Σαρακηνούς. ἀπελθὼν δὲ καὶ αὐτὸς εἰς Περσικὴν χώραν, ἐξεπόρθησε πᾶσαν τὴν ἐν τοῖς μέρεσιν ἐκείνοις. κρατήσας δὲ ὁ βασιλεὺς Ἀρέθας τὴν κεφαλὴν τοῦ πρεσβευτοῦ Ἰουλιανοῦ, καὶ δεδωκὼς αὐτῷ εἰρήνης φιλήματα, ἀπέλυσεν αὐτὸν ἐν πολλῇ θεραπείᾳ σὺν πολλοῖς χαρίσμασιν. ἐγένετο δὲ ἄλλη αἰτία ταράξασα τὸν Χοσρόην. Οὖννοι γὰρ κατ' ἐκεῖνο τοῦ καιροῦ, οὓς Τούρκους λέγειν εἰώθαμεν, πρεσβεύουσι πρὸς Ἰουστῖνον διὰ τῆς τῶν Ἀλανῶν χώρας ἀποστειλαντες. τοῦτο φοβηθεὶς ὁ Χοσρόης, προσ-

16. τοῦ πρεσβευτοῦ om. b. 18. χαρίσμασιν] χρήμασιν e.
19. κατ' ἐκεῖνο τοῦ καιροῦ] κατ' ἐκείνῳ τῷ καιρῷ vulg.

exhibito adorationis honore, ut erigeret se, et adductus propior fieret, iussus est. tum vero traditae sibi imperatoris sacrae sigillum eiusdem facie una cum pectore insculptum exosculatus, de acceptis ab eo muneribus magno prorsus gaudio affectus est. perlecta vero sacra haec demum scripta invenit, ut nimirum arma adversus Persarum regem capesseret, et conterminas Persarum provincias devastaret, nec ullum amplius cum eo percuteret foedus: sed, quam reddidit sibi subditam, Homeritarum regione per Nilum fluvium Alexandriam facto itinere commercium exerceret. confestim itaque in ipso legati Romanorum conspectu coacto exercitu, et Saracenis, qui sub ipso militabant praemissis, rex Arethas bellum in Persas movit: ipseque postmodum Persarum ditionem ingressus, vicinas sibi provincias, quaqua late patent, depopulatus est. apprehenso tandem legati Iuliani capite, pacis oscula suaviter fixit; amplisque muneribus collatis, multo comitatu stipatum a se dimisit. extitit etiam alia, quae Chosroëm turbavit molestia. per id enim tempus Unni, quos Turcos nuncupamus, per Alanorum terras legationem ad Iustinum destinant. ea de re Chosroës in metum adductus, Armeniorum adversum

φασίζετο τὴν τῶν Ἀρμενίων πρὸς αὐτὸν ἀνταρσίαν καὶ πρὸς Ἰουστῖνον προχώρησιν, καὶ ᾔτειτο τοὺς πρόσφυγας. ἐτέλει γὰρ ὁ βασιλεὺς τῶν Ῥωμαίων ἀνὰ ἔτος πεντακοσίας λίτρας χρυσίου, ὅπως τὰ πλησιάζοντα τοῦ τόπου φρούρια διαφυλάττωσι Πέρσαι, ἵνα μὴ εἰσβαλόντα τὰ ἔθνη ἑκατέραν διαλύσωσι πολιτείαν, καὶ κοινοῖς ἀναλώμασι τὰ φρούρια ἐφυλάττοντο. P. 208 ὁ δὲ Ἰουστῖνος ἔλυσεν τὴν εἰρήνην φάσκων, ἐπονείδιστον εἶναι φορολογεῖσθαι ὑπὸ τῶν Περσῶν τοὺς Ῥωμαίους. διὰ τοῦτο χώραν ἔλαβεν ὁ μέγας οὗτος Περσῶν τε καὶ Ῥωμαίων πόλεμος. ὁ δὲ Ἰουστῖνος Μαρτῖνον πατρίκιον καὶ συγγενῆ αὐτοῦ στρατηγὸν χειροτονήσας τῆς ἀνατολῆς κατὰ Περσῶν ἐξέπεμψεν.

Ἱεροσολύμων ἐπισκόπου Ἰωάννου ἔτος α'. A.M. 6065

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ ς' ἠσθένησεν ὁ βασιλεύς, B καὶ ἐν λύπῃ γέγονε πρὸς Βαδούριον τὸν ἴδιον ἀδελφόν, καὶ ὕβρισεν αὐτὸν ἐσχάτως, ἐπιτρέψας τοῖς κουβικουλαρίοις γροθιζόμενον ἐξαγαγεῖν αὐτὸν ἐπὶ σιλεντίου. ἦν δὲ κώμης τῶν βασιλικῶν στανλων. μαθοῦσα δὲ Σοφία ἐλυπήθη, καὶ ἐνεκά- V. 166 λεσε τῷ βασιλεῖ· ὁ δὲ μετεμελήθη, καὶ κατελθὼν πρὸς αὐ-

2. Ἰουστινιανὸν a. 4. διαφυλάττουσι vulg. 6. τὸ φρούριον b. 9. ἀνέλαβεν b. 10. τὸν πατρίκιον f. 15. Βαδουάριν a. 17. σηλεντίου vulg., σελεντίου a f. 19. μετεβλήθη b.

se rebellionem ementitus, eorum etiam ad Iustinum defectionem praetexebat, et transreddi sibi postulabat. quingentas insuper auri libras Romanorum imperatore pendere solito, ut vicina barbaris castella custodirent Persae, ne ex barbarorum locis irrumpentes alterutri imperio perniciem inferrent; quare communibus utriusque impensis loca quaeque munita servabantur in utriusque limitibus: Iustinus pactum huiusmodi rescindendum censuit; Romanos Persis tributa pendere indecorum esse causatus. eaque magni illius Romanos inter ac Persas belli occasio extitit. quamobrem Iustinus Martinum patricium cognatum suum orientis militiae magistrum renuncians in expeditionem contra Persas misit.

Hierosolymorum episcopi Ioannis annus primus. A.C. 565

Hoc anno, mensis Octobris die sexto, adversa valetudine iactatus fuit imperator. in proprium vero fratrem Badurium ira incitatus, extremis eum subiecit contumeliis. data quippe cubicullariis pugnis eum incessendi potestate, ita spretum et foedatum in consilium trahi mandavit. erat is imperatoriorum stabulorum comes. eo cognito indoluit Sophia, et imperatorem damnavit. ille facti poenitens descendit in stabulum, et cum cubicullariorum praeposito non exspectatus intra-

τὸν εἰς τὸν σταῦλον εἰσῆλθεν ἄφνω μετὰ τοῦ πραιποσίτου κουβικουλαρίων. ὁ δὲ Βαδούριος ἰδὼν τὸν βασιλέα ἔφυγεν
C ἀπὸ ζακὸς εἰς ζάκαν φόβῳ τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς ἔκραζεν· ὁρκίζω σε κατὰ τοῦ θεοῦ, ἀδελφέ μου, μεῖνόν με. καὶ δραμὼν ἐκράτησεν αὐτόν. καὶ περιπλακεὶς κατεφίλησεν αὐτὸν λέγων· ἔπταισά σοι, ἀδελφέ μου· ἀλλὰ δέξαι με ὡς ἀδελφόν σου πρῶτον καὶ ὡς βασιλέα. ἐκ γὰρ διαβολικῆς ἐνεργείας οἶδα ὅτι τοῦτο γέγονεν. ὁ δὲ πεσὼν εἰς τοὺς πόδας αὐτοῦ κλαίων, εἶπεν· ἀληθῶς, δέσποτα, ἐξουσίαν ἔχεις· πλὴν παρουσίᾳ τῆς συγκλήτου εὐτέλησας τὸν δοῦλον σου· ἄρτι ὁ
D δεσπότης τούτοις ἀπολόγησαι. καὶ ἐδείκνυεν αὐτῷ τὰ ἄλογα. ὁ δὲ βασιλεὺς παρεκάλεσεν αὐτὸν συμφαγεῖν αὐτῷ, καὶ εἰρήνευσαν. τῷ δ' αὐτῷ χρόνῳ γέγονε πόλεμος περὶ τὸ Σάργαθον Περσῶν καὶ Ῥωμαίων μέγας, καὶ ἐνίκησαν οἱ Ῥωμαῖοι.

A.M. 6066 Περσῶν βασιλέως Ὁρμίσδα ἔτος α'.

Τούτῳ τῷ ἔτει ἦλθον οἱ Ἀβάρεις εἰς τὰ μέρη τοῦ Δανουβίου, καὶ μαθὼν ὁ βασιλεὺς ἀπέστειλεν Τιβέριον τὸν κό-
P. 209 μητα τῶν ἐξκουβιτόρων κατ' αὐτῶν· καὶ συμβαλὼν αὐτοῖς ἡττήθη αἰφνιδιασθεὶς ὑπ' αὐτῶν, καὶ ἀποβαλὼν πολλοὺς ὑπέστρεψεν. Ὁρμίσδας δὲ ὁ βασιλεὺς Περσῶν Ἀρταβάνην στρα-

5. καὶ περιπλακεὶς] h. l. in ordinem redit A. 7. καὶ ὡς βασ. A, καὶ βασ. vulg. 11. ἐδείκνυεν A, ἐδείκνυσεν vulg. 12. εἰρήνευσαν A, εἰρηνεῦσαι vulg. 13. περὶ τὸν Σ. A. 20. Ἀρδαβάνην A ubique.

vit. Badurius conspiciens imperatorem, ac subinde timore compulsus a praesepi in praesepe aliud desiliit. imperator vero clamabat: obtestor te per deum, frater mi, siste: et currens detinuit: brachiisque complexus, et osculis deliniens: te quidem, inquit, frater, offendi: verum ceu fratrem tuum maiorem et imperatorem agnosce: diaboli namque opera haec contigisse non sum nescius. is ad imperatoris pedes procidens, lachrimis rigans, ait: penes te certe, domine, suprema omnium potestas est: verum cum praesente senatu servum tuum despexeris, ceu dominus etiam coram eo excusatione alicuius rei deinceps tege: eique subinde equos demonstrabat: quem imperator ad mensam eo die invitavit, et sic in amicitiam redierunt. caeterum eodem anno cum pugna Romanos inter atque Persas commissa fuisset ad Sargathum, Romani vicere.

A. C. 566 Persarum regis Hormisdae annus primus.

Hoc anno in provincias Danubio conterminas grassati sunt Avares: quo cognito, Tiberium excubitorum comitem adversus eos misit imperator. pugna cum Avaribus commissa, Tiberius, ex improviso ab hostibus oppressus, superatur, multisque e suis desideratis revertitur.

τηγὸν χειροτονήσας ἀπέστειλεν περᾶσαι τὸν Εὐφράτην, καὶ τὴν Ῥωμαίων χώραν λυμήνασθαι. αὐτὸς δὲ παραλαβὼν τὰς δυνάμεις ἐπέστη τοῖς τὴν Νίσιβιν πολιορκοῦσι Ῥωμαίοις. ὁ δὲ Μαρτῖνος τοῦτο γνούς, καταλιπὼν τὴν Νίσιβιν, ἀνεχώρησεν ἐπὶ τὰ Ῥωμαϊκὰ μέρη. Ἀρταβάνης δὲ περὶ τὴν Ἀντιόχειαν γενόμενος, καὶ διαφθείρας τὰ προάστεια τῆς πόλεως, ἐπὶ τὴν κοίλην Συρίαν ἐχώρει. οὕτω μὲν οὖν ὁ Ἀρταβάνης πολλῆς αἰχμαλωσίας κρατήσας, εἰς τὴν ἑαυτοῦ χώραν ἐπανέζευξεν. ὁ δὲ αὐτοκράτωρ Ἰουστῖνος ἐπὶ τοῖς πραττομένοις δεινοπαθῶν, τὸν μὲν Μαρτῖνον τῆς στρατηγίας ἀπέπαυσεν. Ἀρχέλαον δὲ στρατηγὸν χειροτονεῖ. ὁ δὲ Ἀρταβάνης τὸ Δαρᾶς παρέλαβεν, καὶ οὕτως ὑπέστρεψεν. καὶ τοῦτο μαθὼν Ἰουστῖνος, καταπλαγεὶς τῷ μεγέθει τῆς συμφορᾶς, νόσῳ παραφορᾶς περιβάλλεται, καὶ σπονδὰς ποιῆσαι αἰτεῖται τῷ Ὁρμίσδᾳ, ὅστις ἐνιαυσίας σπονδὰς ποιῆσαι κατεδέξατο.

B

Τούτῳ τῷ ἔτει Ἰουστῖνος ὁ βασιλεὺς Τιβέριον τὸν κόμητα τῶν ἐξκουβιτόρων υἱοποιησάμενος καίσαρά ἀνηγόρευσεν, καὶ συγκάθεδρον αὐτοῦ ἐποίησεν ἐν ταῖς ἱπποδρομίαις καὶ αἰσίαις ἡμέραις. ἦν γὰρ ὁ βασιλεὺς στυφόμενος τοὺς πόδας καὶ τὸ πλεῖον κατακείμενος.

A.M. 6067

C

V. 167

3. τοῖς τὴν Νίσ. πολ. Ῥωμ. A a, τὴν Νίσ. πόλ. τοῖς Ῥωμ. vulg. 6. παραγενάμενος A. τὰ τῆς πόλ. προ. a. 9. αὐτοκράτωρ A a, βασιλεὺς vulg. πραττομένοις A a, γενομένοις vulg. 16. τὸν add. ex A.

Persarum vero rex, Hormisdas Artabane exercitus duce constituto, copias Euphratem traiicere iussit, et Romanorum provincias devastare. Ille coacto universo exercitu in Romanos Nisibin obsidentes impetum facere meditabatur: quod persentiens Martinus, Nisibi relicta, in Romanas partes retrocessit. tum vero Artabanes Antiochiam profectus, vastitate suburbanis eius locis illata, in Coelesyriam transivit. ita demum Artabanes captivis praedaque onustus in Persarum terras remeavit. imperator Iustinus ea clade afflictus, Martinum munere abdicavit: Archelaum vero ducem instituit. Artabanes insuper Daras obtinuit: ac ita reversus est. imperator vero nuncio tantae cladis accepto, consternatus, infirma valetudine mentisque alienatione vexatur, et ab Hormisda, ut pacem inirent et foedus percuterent, expetiit: qui ad annum tantum inducias iniri concessit.

Hoc anno imperator Iustinus comitem excubitorum Tiberium adoptatum sibi filium caesarem renunciavit, sedisque ac paris honoris consortem effecit, tam in circensibus ludis, quam in festis ac solemnibus diebus. pedum enim morbo laborans, plurima temporis parte lecto decumbebat.

A. C. 567

1. συνετῶς τὴν ἀκοὴν ἐπισκ., omisso τὴν παραβολὴν, A f. 2. τοῦ μηκέτι A. 14. οἱ add. ex A. 18. διασωθέντας A e, σωθέντας vulg. 19. εὐτροφεῖσθαι e.

diversas partes se convolventis, et qua partem superiorem inclinantis, qua vero inferiorem erigentis et excelsius elevantis. porro Sesostris cum similitudinem hanc, qua pollebat animi sagacitate, percepisset, lege sancita edixit, ne ulli deinceps reges currum apud Aegyptios traherent. subrisit Chaganus his auditis, et pacis foedera servaturum se promisit: in potestate vero Prisci stare, qua parte spoliorum vellet, se donatum relinqueret. in transitus itaque concessi mercedem, captivos omnes Priscus Chagano restituit, ipse setentis sibi spoliis amnem iterum sine periculo traiecit. Chaganus his acceptis mirum in modum laetatus est: Prisco vero Byzantium reverso, Petrus in exercitus ducendi munus succossit.

A.C.588 Hoc anno Petro duci suis mandatis significavit imperator, ut stipendiorum tertiam partem nummis aureis persolvendam Romani milites acciperent: partem aliam armis sibi concessis: ultimam denique data ad vestes quaslibet materia sibi repensam profiterentur. quod ubi resciverunt, ad rebellionem se converterunt. deterritus dux factum apud milites excusavit, nequaquam id verum esse asseverans: quin etiam alias litteras ostendit, quibus iubebat imperator, ut milites qui in bello fortiter se gesserant, et e gravibus periculis incolumes evaserant, in urbibus data vacatione agerent, et publicis sumpti-

μασίων· τοὺς δὲ παῖδας τῶν στρατιωτικῶν εἰς τοὺς τόπους
τῶν οἰκείων γονέων ἐγγράφεσθαι· καὶ ταύτῃ τῇ πιθανότητι B
τὸν λαὸν κατεπραΰνεν, καὶ τὸν καίσαρα ἀνευφήμησαν. ταῦτα
δὲ ὁ Πέτρος τῷ βασιλεῖ κατεμήνυσεν. ἐλθὼν δὲ ἐπὶ Μαρ-
κιανούπολιν ἀποστέλλει χιλίους προτρέχειν. οὗτοι περιτυχόν-
τες Σκλαβινοῖς ἐπιφερομένοις Ῥωμαϊκὴν λεηλασίαν πολλήν,
τούτους τρέπονται· οἱ δὲ βάρβαροι τὴν αἰχμαλωσίαν ἀπο-
σφάξαντες, καὶ αἰχμαλωσίας πολλῆς κρατήσαντες, ἐπὶ τὰ Ῥω-
μαϊκὰ ὑπέστρεψαν.

Τῷ δ' αὐτῷ ἔτει ἔκτισεν ὁ βασιλεὺς τὸ ἡλιακὸν τῆς
Μαγναύρας τὸ στρογγύλον· καὶ ἔστησεν ἐν τῷ μεσαύλῳ τὴν C
ἰδίαν στήλην, καὶ ἀπέθετο ἐκεῖ τὸ ἁρμαμέντον.

Τούτῳ τῷ ἔτει Πέτρου τοῦ στρατηγοῦ κυνηγοῦντος, καὶ A.M. 6089
ὗς ἀγρίου αὐτῷ συναντήσαντος, τὸν πόδα τούτου ἐν δένδρῳ
ἐξέθλιψεν, καὶ ἀφορήτοις ὀδύναις χρόνῳ πολλῷ ἐνοσιλεύετο.
ὁ δὲ αὐτοκράτωρ γράμμασιν αἰσχίστοις καὶ ὀνειδισμοῖς ἀφο-
ρήτοις αὐτὸν περιέβαλεν, ἀκούσας Σκλαβινὰ ἔθνη κατὰ τοῦ
Βυζαντίου κινεῖσθαι. ὁ δὲ Πέτρος βιασάμενος εἰς Νόβας
παρεγένετο. οἱ δὲ τῆς πόλεως ἐπίσημοι στρατιῶται ἅμα τῷ

2. οἰκείων add. ex A. πειθανότητι vulg. 3. κατεπραΰνεν A, καταπραΰνας vulg. εὐφήμησαν A. 4. τῷ βασ. A, καὶ τῷ βασ. vulg. 7. τρέποντας A b, τρέπουσιν vulg. 10. τὸ Ἡλ. A, τὸν Ἡλ. vulg. 11. τὸ στρογγύλον add. ex A a f. 15. ἀφορήτοις A, ἀφορήτας vulg. 17. περιέβαλεν A, περιβάλλειν vulg. ἀκούων A. 18. Νομὰς e f.

bus inter caeteros senes alerentur: amplius ut militum liberi in proprium parentum locum ascriberentur. eiusmodi verborum lenocinio exercitum ita demulsit, ut caesarem universi faustis acclamationibus prosequnti sint: de quibus omnibus Petrus imperatorem certiorem fecit. Marcianopolim vero accedens, milites mille, qui praecurrerent, misit. isti vero in Sclavinos, qui magnam e Romanorum finibus praedam avexerant, incidentes, in fugam barbaros vertere. at barbari captivis interfectis, caeteram praedam, quae maxima fuit, secum abducentes, in Romanorum fines regressi sunt.

Eodem anno solarium Magnaurae rotundum condidit imperator, suamque statuam ad medium atrium erexit, ibidemque posuit armamentum.

Hoc anno cum Petrus dux venatum prodiisset, agrestis sus ob- A. C. 589
viam factus pedem eius ad arborem contrivit: ex quo doloribus plane intolerandis diu cruciatus est. imperator autem litteris inclementioribus, probrosis, conviciisque gravissimis eum perstrinxit, cum Sclavinos Byzantium versus adventare rescivisset. his Petrus commotus ac vere coactus Novas se contulit. cum vero urbis primates ac milites

D ἐπισκόπῳ τῷ στρατηγῷ ὑπήντων· οὓς ἰδὼν ὁ στρατηγὸς καὶ θαυμάσας τὴν ἐξόπλισιν καὶ ἀνδρείαν αὐτῶν, κελεύει καταλιπόντας τὸ ἄστυ τῇ Ῥωμαϊκῇ πληθύϊ συναναμίγνυσθαι· οἱ δὲ στρατιῶται ἐπὶ φρουρᾷ τῆς πόλεως συντεταγμένοι, οὐκ ἐπείθοντο τοῦτο ποιῆσαι. θυμωθεὶς δὲ ὁ στρατηγός, ἀπέστειλεν Γένζωνα μετὰ πλήθους στρατιωτῶν. οἱ δὲ μαθόντες ἔφυγον εἰς τὴν ἐκκλησίαν, καὶ τὰς θύρας τοῦ ναοῦ κλείσαντες, ἐκάθηντο ἔνδον. ὁ δὲ Γένζων τῇ αἰδοῖ τοῦ ναοῦ, ἄπρακτος διέμεινεν· Πέτρος δὲ ὀργισθείς, ἀποχειροτονεῖ τὸν Γένζωνα τῆς στρατηγίας, καὶ ἐκπέμπει Σκρίβωνα ἠτιμωμένως τὸν ἐπίσκοπον πρὸς αὐτὸν ἀγαγεῖν. οἱ δὲ τῆς πόλεως πανοικεὶ συναχθέντες, ἀτίμως τὸν Σκρίβωνα τῆς πόλεως ἀπελαύνουσιν· καὶ τὰς πύ-
P. 232 λας τῆς πόλεως κλείσαντες, τὸν μὲν Μαυρίκιον βασιλέα εὐφήμουν, τὸν δὲ στρατηγὸν ὕβρεσι περιέβαλλον· καὶ οὕτως ἀτίμως ὁ Πέτρος ἐκεῖθεν ἀνεχώρησεν. προπέμπει δὲ χιλίους ἐπὶ κατασκοπῇ· οἱ δὲ περιτυγχάνουσι Βουλγάροις χιλίοις τὸν ἀριθμόν. οἱ δὲ Βούλγαροι θαρροῦντες τῇ εἰρήνῃ τοῦ Χαγάνου, ἀμερίμνως ἐβάδιζον· οἱ δὲ Ῥωμαῖοι πρὸς τοὺς Βουλγάρους τὰς ὁρμὰς ἐποιοῦντο. οἱ δὲ Βούλγαροι ἀποστέλλουσιν ἄνδρας ἑπτά, παραινοῦντες μὴ παραλῦσαι τὴν εἰρήνην. τοῦτο

2. καταλιποῦντας vulg., καταλιπόντα A. 7. ἐκάθηντο ἔνδον om. A f. 8. αἰδοῖ A, αἰδῷ vulg. 11. πανοικεὶ A, πανοικὶ vulg. συνηγμένοι b. 15. ἐκεῖθεν add. ex A. 17. τῇ add. ex A. 19. ταὶς τομὰς e. Βούλγαροι A alii codd., Βουλγάρεις vulg. 20. ἄνδρας om. A.

una cum episcopo ei obviam progressi essent, speciosum militum ornatum ac fortitudinem miratus dux, ut, urbe relicta, se Romano exercitui adiungerent, mandavit. at milites qui ad urbis custodiam deputati fuerant, id exequi detrectaverunt: ex quo dux iratus, Genzonem cum armata militum manu ad eos misit: qui ea de re certiores facti, ad ecclesiam confugientes, clausis templi portis intus se continuere. Genzon templi sanctitatem veritus, re intentata substitit. Petrus inde exasperatus, Genzonem munere abdicavit, et Scribonem misit, qui episcopum ignominiose ad se traduceret. at cives vicatim et cum totis familiis congregati, Scribonem turpiter urbe expellunt; occlusisque urbis portis Mauricium quidem imperatorem faustis vocibus prosequuti, ducem probris palam proscidere: atque ita demum Petrus turpiter inde recessit. cum vero mille homines speculatum praemisisset, hi in Bulgarorum turmam numeri eiusdem incidere. at Bulgari, paci, quae cum Chagano intercedebat, confisi, securi citra ullam suspicionem progrediebantur. cum autem Romani eos adoriren-

ἀκούσαντες οἱ προτρέχοντες, μηνύουσιν τῷ στρατηγῷ ταῦτα. ὁ δὲ στρατηγὸς ἔφη· οὐδὲ εἰ ὁ αὐτοκράτωρ παρέλθοι, τούτων B φείσομαι. συμβολῆς δὲ γενομένης, τρέπονται οἱ Ῥωμαῖοι. οἱ δὲ βάρβαροι οὐκ ἐδίωξαν αὐτούς, ἵνα μὴ κεκῶντες κινδύνῳ περιπέσωσιν. ὁ δὲ στρατηγὸς τὸν ταξίαρχον τῶν προτρεχόντων χαλεπῶς ἐμαστίγωσεν. τοῦτο μαθὼν ὁ Χαγάνος πρέσβεις πρὸς τὸν Πέτρον ἐξέπεμψεν, τὴν ἔναρξιν αἰτιώμενος, καὶ ὡς Ῥωμαῖοι ἄνευ δικαίας αἰτίας τὴν εἰρήνην διέλυσαν. ὁ δὲ Πέτρος ἀπατηλοῖς λόγοις χρησάμενος, μὴ εἰδέναι τὴν κίνησιν διϊσχυρίζετο, διπλασίονα δὲ διδόναι τὰ σκῦλα ἅπαντα· καὶ οὕτως ἐν μοίραις δύο οἱ βάρβαροι τὰ ἀπολωλότα σκῦλα ἀνα- V. 185 λαβόντες, στέργουσι τὴν εἰρήνην. ὁ δὲ Πέτρος κατὰ Πηρεγάστου τοῦ ἐξάρχου τῶν Σκλαβινῶν χωρεῖ. οἱ δὲ βάρβαροι C περὶ τὴν ὄχθην τοῦ ποταμοῦ τούτοις ὑπαντήσαντες, διεκώλυον τοῦ περᾶσαι. οἱ δὲ Ῥωμαῖοι ἀπὸ τῶν πορθμίων τοξεύοντες, τούτους ἀπέστρεψαν· καὶ τραπέντων αὐτῶν, πλήττεται κατὰ τῆς λαγόνος ὁ Πηρέγαστος καὶ θνήσκει. περάσαντες δὲ οἱ Ῥωμαῖοι αἰχμαλωσίας πολλῆς ἐκράτησαν, καὶ εἰς τὰ ἴδια ἐπανέζευξαν. πλανηθέντων δὲ τῶν ὁδηγῶν καὶ ἀνύδροις τό-

1. τῷ στρατηγῷ A, τὸν στρατηγὸν vulg. 2. παρέλθῃ A. τούτων A, τούτοις vulg. 3. συμβ. δὲ πολέμου γενομ. A. 10. τὰ om. A. 14. τὴν ὄχθην A, τὴν ὄχθαν vulg. 17. τῆς add. ex A. 19. καὶ ἐν ἀν. A.

tur, Bulgari viros septem delegavere, qui Romanis pacem haud ita solvendam esse persuaderent. quae ubi praecursores audiverunt, duci confestim retulere. dux vero, neque si imperator ipse advenerit, inquit, eis parcam. consertaque pugna Romani in fugam vertuntur: nec tamen eos insequuti sunt barbari, ne victoriam ardentius amplexati, in insidias inciderent. dux porro praecursorum praefectum virgis acriter caedi imperavit. quod cum ad Chaganum renunciatum fuisset, legatos ad Petrum decrevit, qui hostilem hanc aggressionem incusantes, Romanos nulla iusta de causa pacem solvisse quererentur. sed Petrus hanc suorum incursionem se plane ignorasse blandis ac fraudulentis verbis adstruxit: duplicata se nihilominus ipsis spolia dare omnia: atque ita barbari spoliis, quae amiserunt, dupla forte receptis, pacem servavere. caeterum Petrus contra Peregastum Sclavinorum praefectum expeditionem suscepit. at barbari secundum fluminis ripam Romanis obviam facti, eos amnem traiicere prohibebant. Romani contra e vectoriis navibus tela mittentes, barbaros averterunt. dumque in fugam vertuntur, Peregastus ilio sauciatus, moritur. Romani ergo flumen transgressi, praeda maxima coacta in pro-

ποις περιπεσόντες, ἀκινδύνευε τὸ στρατόπεδον· βαδίσαντες δὲ διὰ τῆς νυκτός, περιτυγχάνουσιν τῷ Ἴλβαχίᾳ ποταμῷ. λόχμης δὲ εἰς τὸ ἀντίπερα ὑπούσης τῷ ποταμῷ, οἱ βάρβαροι ἐν ταύτῃ κρυπτόμενοι, τοὺς ἀρυομένους τὸ ὕδωρ ἐτόξευον· μεγάλης
D τοίνυν ἐπηρείας τοῖς Ῥωμαίων γενομένης στρατεύμασιν, πρὸς φυγὴν ἐχώρησαν, καταπολεμηθέντες ὑπὸ τῶν βαρβάρων. ὁ δὲ Μαυρίκιος ταῦτα ἀκηκοὼς τὸν Πέτρον τῆς στρατηγίας ἐπέπαυσεν, καὶ τὸν Πρίσκον πάλιν στρατηγὸν τῆς Θρᾴκης ἐπέστειλεν.

A.M. 6090 P. 233 Τούτῳ τῷ ἔτει Πρίσκος στρατηγὸς ἐξῆλθεν ἐν τῇ Θρᾴκῃ, καὶ τὰς δυνάμεις ἠρίθμησεν, καὶ εὗρεν ὅτι πλῆθος πολὺ διεφθάρη ἐξ αὐτῶν. τούτους δὲ ἀναλαβὼν παραγίνεται εἰς τὸν Ἴστρον ποταμὸν εἰς Νόβας. ὁ δὲ Χαγάνος τοῦτο μαθὼν πρέσβεις ἐξέπεμψεν τὴν αἰτίαν πυνθανόμενος τῆς ἀφίξεως. ὁ δὲ Πρίσκος προσφασίσατο διὰ κυνηγέσια ἐληλυθέναι. ὁ δὲ Χαγάνος, οὐ δίκαιόν ἐστι, φησίν, ἐν ἀλλοτρίῳ τόπῳ κυνηγεῖν· ὁ δὲ Πρίσκος ἴδιον ἔλεγεν εἶναι τὸν τόπον, καὶ τὴν ἐξ ἀνατολῆς ἀπόδρασιν τῷ Χαγάνῳ ὠνείδιζεν. ὁ δὲ βάρβαρος τῆς Σιγγιδόνος τὸ τεῖχος κατέλυσεν· καὶ ἐπὶ τὴν τῶν Ῥωμαίων γῆν ἐχώρει. τοῦτο μαθὼν ὁ Πρίσκος παραγίνεται εἰς τὴν νῆ-

2. Ἴλβαχίᾳ A a f, Ἴλβαχίῳ vulg. 3. ὑπούσης A, ὑπιούσης vulg. 4. τοὺς ἀρυομένους A a f, τοῖς ἀρυομένοις vulg. 5. Ῥωμαίων A, Ῥωμαίοις vulg. 7. τῆς add. ex A. 12. ἀναλαβών A, παραλαβὼν vulg. 13. Νόβας A e f, νομὰς vulg., vid. supra p. 423, 18.

pria loca se recepere. sed ductores recta via aberrantes, et in arida inaquosaque loca deflectentes, exercitum in magnum coniecere periculum. iter porro noctu peragentes, diverterunt ad Ilbacium amnem. barbari vero in insidiis, quas trans flumen collocaverant, delitescentes, in Romanos, qui haustum venérant, tela iaculabantur. ex quo Romani cum magna clade afficerentur, a barbaris demum debellati versi sunt in fugam. Mauricius his auditis Petrum officio privavit, et Priscum iterum Thraciae ducem delegavit.

A. C. 590 Hoc anno dux Priscus in Thraciam profectus exercitum recensuit, et magnam militum manum ex eis periisse et desiderari comperit. iis eductis ad Istrum fluvium Novas se contulit. quibus cognitis Chaganus legatos profectionis causam sciscitaturos misit. Priscus venandi gratia se accessisse praetexere. ad quem Chaganus: nefas, ait, alieno in solo te venatum exercere. Priscus contra proprium asserere fundum, et Chaganum ex oriente transfugam affirmare et exprobrare. eapropter barbarus eversis Singidonis moenibus, in Romanam ditionem

σον τοῦ Ἴστρου, καὶ παραλαβὼν δρόμωνας, παραγίνεται πρὸς B
τὸν Χαγάνον εἰς Κωνσταντίολαν, θέλων αὐτῷ ὁμιλῆσαι. ἐλ-
θόντι δὲ τῷ Χαγάνῳ πρὸς τὴν ὄχθην τοῦ ποταμοῦ, ὁ Πρί-
σκος ἀπὸ τῆς νηὸς διελέγετο. ὁ δὲ Χαγάνος ἔφη πρὸς αὐ-
τόν· τί σοι, Πρίσκε, καὶ τῇ γῇ τῇ ἐμῇ; καὶ ταύτην βούλει
διὰ ψεύδους λαβεῖν ἐκ τῶν χειρῶν μου; κρινεῖ ὁ θεὸς ἀνὰ
μέσον ἐμοῦ καὶ Μαυρικίου τοῦ βασιλέως. ἐκζητήσει τὰ
αἵματα τοῦ στρατοῦ τῶν Ῥωμαίων, καὶ τοῦ στρατοῦ τοῦ
ἐμοῦ ἐκ τῶν χειρῶν αὐτοῦ. ὁ δὲ Πρίσκος ἔφη· οὐ μίαν
πόλιν ἐγχειρεῖς παρ' ἡμῶν λαβεῖν. ὁ δὲ Χαγάνος· ὄψει
μετ' ὀλίγον πεντήκοντα πόλεις Ῥωμαϊκὰς δουλουμένας βαρ-
βάροις. ὁ δὲ Πρίσκος διὰ τοῦ ποταμοῦ τὰς ναῦς τῇ Σιγγι-
δόνι παραστησάμενος, ταύτην ἐπῴρθησεν, καὶ τοὺς Βουλγάρους C
ἐξ αὐτῆς ἐξεδίωξεν, καὶ τὸ τεῖχος κτίζειν ἀπήρξατο. ὁ δὲ
Χαγάνος ἀγγέλους πρὸς αὐτὸν ἀπέστειλεν, καὶ τοὺς ψευδω-
νύμους ἑαυτοῦ θεοὺς διεμαρτύρετο καταιτιώμενος τῶν γενο-
μένων τὸν Πρίσκον. χειμῶνος δὲ καταλαβόντος, ἑκάτεροι εἰς
τὰ ἴδια ἀνεχώρησαν. τῷ δ' αὐτῷ ἔτει Πέτρος ὁ ἀδελφὸς
Μαυρικίου ἔκτισεν τὴν ἐκκλησίαν τῆς ἁγίας Θεοτόκου τῶν
Ἀραβίνδα κοσμήσας αὐτὴν ἐκ διαφόρων μαρμάρων· ὁμοίως

2. Κωνσταντίολα A. 5. καὶ ante τῇ γῇ add. ex A. 9. post ἔφη lacunae signa expunxi, sed mox ante ὄψει ex A addidi: ὁ δὲ Χαγάνος. 11. δουλουμένας a, δουλομ. vulg. 15. ἀγγέλους πρὸς αὐτὸν A, πρὸς αὐτὸν ἀγγ. vulg. 18. ὑπεχώρησαν A. 20. Ἀραβίνδα A alii, Ῥεοβίνδα vulg.

penetravit. eo comperto ad Istri insulam confert se Priscus, et conscensis agitatisque dromonibus, Chaganum adloquuturus Constantiolam proficiscitur. ad fluminis autem ripam consistenti Chagano Priscus e navigio colloquium habebat. tum Chaganus ad Priscum: quid tibi, amabo, Prisce, cum ditione mea? ut quid eam dolis occupare moliris? et e manibus meis eripere? iudicabit deus inter me et imperatorem Mauricium: et ex eius manibus mei Romanorumque exercitus sanguinem reposcet. ad haec Priscus: non urbem unam nobis eripere conaris. cui Chaganus respondit: scito quinquaginta alias Romani imperii urbes barbarorum virtute subigendas te brevi conspecturum. Priscus vero navibus ad Singidonem applicatis, urbem depopulatus, Bulgaros ex ea eiecit, et murum exaedificare coepit. at Chaganus legatis ad eum missis, fictorum deorum fidem obtestatus, de iis, quae commiserat, apud ipsummet graviter conquestus est. ingruente porro hieme uterque patrios lares revisit. hoc etiam anno Petrus Mauricii frater sanctae deiparae Arabindarum ecclesiam diversis

καὶ Κυριακὸς ὁ πατριάρχης τὰ Διακονίσσης τὴν ἐκκλησίαν τῆς ἁγίας θεοτόκου.

A.M.6091 V.186 D Τούτῳ τῷ ἔτει συναθροίσας ὁ Χαγάνος τὴν αὐτοῦ δύναμιν ἐπὶ τὴν Δαλματίαν ἐχώρησεν. καὶ καταλαβὼν τὴν Βάλβης καὶ τὰς περὶ αὐτὴν τεσσεράκοντα πόλεις πάσας ἐπόρθησεν. ὁ δὲ Πρίσκος ταῦτα μεμαθηκὼς Γουνδούην ἐπὶ τῇ κατασκοπῇ τῶν πραττομένων ἀπέστειλεν· καὶ καταλαβὼν τοὺς βαρβάρους διὰ δυσβάτων χωρίων τὴν βάδισιν ποιουμένους, περιτυγχάνει δύο βαρβάροις τῷ οἴνῳ κεκαρωμένοις· καὶ τούτους διηρώτα ὁ Γουνδούης τὰ τῶν βαρβάρων κινήματα. οἱ δὲ ἔφασαν, δισχιλίοις ὁπλίταις τὴν αἰχμαλωσίαν τὸν Χαγάνον παραδεδωκέναι, καὶ πρὸς τὰ οἰκεῖα ἀποστεῖλαι. ταῦτα ὁ Γουνδούης μεμαθηκὼς κρύπτεται ἐν μικρᾷ φάραγγι, καὶ ἐξ P.234 ἐωθινοῦ ἐπὶ τὰ νῶτα τούτων γενόμενος, ἀθρόως πάντας ἀνεῖλεν· καὶ τὴν αἰχμαλωσίαν λαβὼν πρὸς τὸν Πρίσκον ἤγαγεν. ὁ δὲ Χαγάνος τὰ τῆς ἀποτυχίας μαθὼν εἰς τὴν ἑαυτοῦ ἐπανέζευξεν χώραν· καὶ ὁ Πρίσκος ὑπέστρεψεν εἰς τὰ ἴδια.

A.M.6092 B Τούτῳ τῷ ἔτει ἰνδικτιῶνι γ' μηνὶ Μαρτίῳ ἀναλαβὼν τὰς δυνάμεις ὁ Πρίσκος ἐπὶ τὴν Σιγγιδόνα παραγίνεται. ὁ

1. Κυρ. ὁ πατρ. A, ὁ Κυρ. πατρ. vulg. fort. κατὰ Διακ. 3. τὰς περὶ αὐτὸν δυνάμεις A. 4. Βάλκης A. 5. τεσσεράκοντα πόλεις] μ' πόλεις A, μητροπόλεις vulg. 8. τὴν βαδικὴν A. ποιουμένους A, ποιούμενος vulg. 9. βαρβάρους — κεκαρωμένους A. 11. ἔφασαν A, ἔφησαν vulg. 13. ἐξεωθῆναι f. 14. τούτων A, τούτου vulg. 15. πρὸς τὸν Π. — — — μαθὼν om. A.

marmoribus ornatam extruxit. ad Diaconissae pariter compitum Cyriacus patriarcha sanctae deiparae ecclesiam posuit.

A.C. 591 Hoc anno Chaganus collectis omnibus copiis in Dalmatiam suscepit expeditionem: Balben vero et circumposita quadraginta oppida omnia devastavit. rei fama excitus Priscus Gunduem quae ab hostibus admissa fuerant exploratum misit. ille locis plane imperviis iter agens, barbaros duos vino graves offendit, eosque de barbarorum consiliis interrogat. respondent illi: millibus hominum duobus bene armatis Chaganum praedam commendasse, eamque omnem ad Bulgaris domesticos lares agi. eo comperto, Gundues in angusta valle occultatur, et hostes a tergo summo diluculo adortus, ex improviso, cunctos confertim occidit: et recuperatam praedam ad Priscum reduxit. Chaganus clade cognita propriam repetit regionem, et Priscus pariter domum revertitur.

A.C. 592 Hoc anno indictione tertia mense Martio Priscus educto exercitu Singidonem versus proficiscitur. Chaganus ex adverso collectis viri-

δὲ Χαγάνος συναθροίσας τὴν ἑαυτοῦ δύναμιν ἄφνω τῇ Μυσίᾳ ἐφίσταται, καὶ τὴν Τομωσίων πόλιν ἐνεχείρει λαβεῖν. διὰ τοῦτο καὶ Πρίσκος τὴν Σιγγιδόνα καταλιπών, τούτῳ ἐπλησίαζεν. τῆς δὲ ἑορτῆς τοῦ πάσχα καταλαβούσης, καὶ τῶν Ῥωμαίων λιμῷ τηκομένων, ἀκηκοὼς ὁ Χαγάνος τῷ Πρίσκῳ ἐδήλου ἁμάξας ἐκπέμψαι πρὸς αὐτὸν ὅπως ἀπανήματα ἀποστείλῃ αὐτοῖς, ἵνα μετὰ ἱλαρότητος τὴν ἑαυτῶν ἑορτὴν ἐκπληρώσωσιν. τετρακοσίας τοίνυν ἁμάξας πληρώσας τούτοις ἐξέπεμψεν· ὁμοίως καὶ ὁ Πρίσκος εἴδη τινὰ Ἰνδικὰ ἀντέπεμψεν τῷ βαρβάρῳ· πέπερί τε καὶ φύλλον Ἰνδικὸν καὶ κόστον καὶ κασσίαν, καὶ ἕτερα τῶν ἐπιζητουμένων· καθεζομένου τοῦ Χαγάνου εἰς τὸ Θέρμιον, καὶ ταῦτα δεξάμενος ἥσθη ἐπ' αὐτοῖς· καὶ μέχρι τοῦ πληρωθῆναι τὴν ἑορτὴν Ῥωμαῖοί τε καὶ βάρβαροι ἀλλήλοις συνηυλίζοντο· καὶ οὐκ ἦν φόβος ἐν ἑκατέραις δυνάμεσιν. τῆς δὲ ἑορτῆς πληρωθείσης διαχωρίζονται ἀπὸ τῶν Ῥωμαίων οἱ βάρβαροι. ὁ δὲ Μαυρίκιος ἐπὶ συνάρσει δῆθεν τοῦ Πρίσκου Κομεντίολον ἀπέστειλεν μετὰ πεζικῆς δυνάμεως. τοῦτο μαθὼν ὁ Χαγάνος ἐπὶ Μυσίαν κατὰ Κομεντιόλου στρατεύεται ἀπὸ τριάκοντα σημείων τοῦ Κομεντιόλου. ὁ δὲ

2. ἐφίσταται A, ἐπίστασαι vulg. πόλιν] πάλιν A. 3. καὶ ante Πρ. add. ex A. 6. ἀποστείλῃ A, ἐκπέμψῃ vulg. 8. τοίνυν A, οὖν vulg. 9. καὶ ὁ A, δὲ ὁ vulg. ἀντέπεμψεν A, ἐξέπεμψεν vulg. 10. πέπερί τε A, πίπερ τε vulg. 11. ἐπιζητουμένων A, ζητουμένων vulg. 18. ἐπὶ Μυσ. A, ἐπὶ τὴν M. vulg.

bus ex inopinato in Mysiam irrumpit, et Tomosiam urbem occupare molitur. quare Singidone relicta Priscus ad eum proximus accessit. imminente vero paschali celebritate, Romanis fame tabefactis, cum eorum penuriam percepisset Chaganus, convehendo commeatui currus, quos etiam cibis onustos instrueret, ad ipsum mitti Prisco significat: ut proprium sibi festum Romani cum epulorum gaudio peragerent. currus itaque quadringentos cibis probe refertos ad eos destinavit. Priscus etiam vicissim species Indicas, piper nimirum, folium Indicum, costum, cassiam, et alia postulata misit ad barbarum, qui tum ad Thermium sedem posuerat: et id muneris laetantissime accepit: atque ita donec festi celebritas expleretur, Romani cum barbaris permixtim et absque discrimine conversabantur; nec in alterutrius castris terroris suspicio ex huiusmodi societate exorta est. diebus vero solemnibus iam elapsis barbari a Romanis seiunguntur. porro Mauricius suppetiis Prisco ferendis cum pedestri militum manu Comentiolum misit. Chaganus nuncio accepto, adversus Comentiolum expeditione suscepta, ad trigesimum lapidem a Comentioli exercitu castra posuit. quare

D Κομεντίολος ἀναπορῶν ἄγγελον πρὸς τὸν Χαγάνον ἐξέπεμψεν. φασὶ δέ τινες τὸν Μαυρίκιον ὑποθέσθαι τῷ Κομεντιόλῳ, ὅπως τὸ Ῥωμαϊκὸν στράτευμα παραδώσῃ πολεμίοις διὰ τὰς ἀταξίας αὐτῶν. νυκτὸς δὲ μεσούσης ἐκέλευσεν τὸν στρατὸν ὁπλίσασθαι, μὴ παραγυμνώσας τοῖς ὄχλοις μέλλειν πόλεμον συστήσασθαι. αὐτοὶ δὲ ὑπειληφότες ὅτι γυμνασίας ἕνεκεν εἰσηροφορεῖν αὐτοὺς ἐκέλευσεν, οὐχ ὡς ἔδει ὡπλίσαντο. ἡμέ-
V. 187 ρας δὲ γενομένης καὶ τῶν βαρβάρων καταλαβόντων, θρύλλος πολὺς τὸν στρατὸν κατέλαβεν· ὁ δὲ Κομεντίολος τὰς τάξεις
P. 235 ἐτάραττεν, καὶ αἴτιος αὐτοῖς ἀκαταστασίας ἐγένετο. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι πρὸς φυγὴν ἐτρέποντο. οἱ δὲ βάρβαροι ἀστρατήγητον τὸν λαὸν εὑρηκότες, ἀνηλεῶς τούτους ἐφόνευον. ὁ δὲ Κομεντίολος ἀσχήμῳ φυγῇ ἐπὶ τὰ Δριζίπερα γίνεται· οἱ δὲ τῆς πόλεως ὕβρεσι καὶ λίθοις βάλλοντες αὐτόν, τοῦ ἄστεως ἀποπέμπουσιν. οἱ δὲ βάρβαροι ἐπὶ τὰ Δριζίπερα
ἐλθόντες, τήν τε πόλιν ἐπόρθησαν καὶ τὸν ναὸν τοῦ ἁγίου Ἀλεξάνδρου ἐνέπρησαν· τόν τε τάφον αὐτοῦ ἠργυρωμένον εὑρόντες, ἀνοσίως σκυλεύουσι. καθυβρίσαντες δὲ καὶ τὸ σῶμα τοῦ μάρτυρος, καὶ πολλὴν ἐν τῇ Θρᾴκῃ αἰχμαλωσίαν ποιη-
B σάμενοι, ἐν ὄχλῳ λαμπρῷ Ῥωμαίων κατεπαιρόμενοι. τοῦ δὲ

3. τὸ add. ex A. 10. ἀκαταστασίας om. A b e. 11. οἱ add. ex A. 13. Δριζίπερα A ubique, Δριζήπερα vulg. 16. τοῦ ὁσίου Ἀλ. a. 18. καθυβρίσαντες A, καθυβρίζουσι vulgo. 20. ἐνώχλουν τῷ λαμπρῷ Ῥωμανῷ A e.

Comentiolus in magnas mentis angustias adductus legationem ad Chaganum destinavit. Mauricium sane Comentiolo ut Romanum exercitum a tumultibus concitandis deinceps compescendum adversariis proderet, quorundam rumor extitit. porro media nocte milites armari iussit, nec tamen se praelium initurum esse significavit: unde milites exercitationis tantum ergo arma capessenda se iusses arbitrati, non ut decuit pro certamine sustinendo sunt instructi. adventante luce, et iam barbaris irruentibus, ingens tumultus totum exercitum pervadit. sane Comentiolus ipse turbabat ordines, et confusionis auctorem omnino se praebebat, atque ita Romani in fugam versi sunt. barbari nulla militiae lege compositum exercitum operti, summa inhumanitate cunctos trucidant. Comentiolus turpi fuga ad Drizipera salutem quaesivit, quem cives contumeliis lapidibusque emissis, urbe expellunt. tum vero barbari Drizipera profecti, civitate direptioni tradita, in sancti Alexandri templum incendio grassati sunt, cumque sepulchri thecam argento ornatam reperissent, illusis prius et contemptis martyris reliquiis, ornamentum omne sacrilege spoliavere: inde coacta per totam Thraciam praeda, collectisque captivis, ipsi, multitudine

Κομεντιόλου ἐν τῷ Βυζαντίῳ καταλαβόντος, μέγιστος τάραχος καὶ κλύδων τῇ πόλει ἐνέσκηψεν· ὥστε φοβηθέντες βούλεσθαι τὴν Εὐρώπην καταλιπεῖν, καὶ πρὸς τὴν Ἀσίαν ἐν τῇ Χαλκηδόνι μετοικισθῆναι. ὁ δὲ βασιλεὺς τά τε ἐξκούβιτα ἀναλαβών, καὶ ὁπλιτικὸν συλλεξάμενος ὅμιλον, τὰ Μακρὰ διεφρούρησε τείχη. οἱ δὲ δῆμοι τὴν πόλιν ἐφύλαττον· καὶ ἡ σύγκλητος παρῆνει τὸν βασιλέα πρεσβείαν πρὸς τὸν Χαγάνον ἐκπέμψαι. ὁ δὲ θεὸς τὴν ἐκδίκησιν τοῦ μάρτυρος Ἀλεξάνδρου ποιούμενος, λοιμικὴν νόσον τοῖς βαρβάροις ἔπεμψεν· καὶ ἐν μιᾷ ἡμέρᾳ ἑπτὰ υἱοὺς τοῦ Χαγάνου διὰ πυρετοῦ καὶ βουβῶνος ἀπέκτεινε σὺν πολλοῖς ἄλλοις ὄχλοις· ὥστε ἀντὶ χαρᾶς ἐπινικίου καὶ παιάνων καὶ ἀσμάτων θρήνους καὶ δάκρυα καὶ πένθη ἀπαρηγόρητα ἔχειν τὸν βάρβαρον. ἡ δὲ σύγκλητος παρεκάλει τὸν καίσαρα τὸν βάρβαρον πρεσβεῦσαι εἰς τὰ Δριζίπερα, * ὅστις λόγοις ἠπίοις τὸν βάρβαρον ἐκολάκευεν. ὁ δὲ βάρβαρος οὐκ ἠβούλετο τὰ δῶρα δέξασθαι, καίπερ θρήνῳ ἀσχέτῳ τῶν παίδων κατεχόμενος. ἔφασκε δὲ πρὸς τοὺς

C

7. παρῄνει τὸν βασιλέα πρεσβείαν πρὸς τ. Χ. A, παρῄνει πρὸς τὸν Χ. πρεσβείαν vulg. 11. σὺν πολλοῖς ἄλλοις A, σὺν πολλ. καὶ ἄλλ. vulg. 12. θρήνους A, θρῆνον vulg. 13. ἔχειν] εἶχον A, εἶχεν vulg. 14. τὸν καίσαρα πρεσβεῦσαι τὸν Χαγάνον A, sed nomen legati ubique omittitur, qui apud Simocatt. VII, 15. Harmato appellatur: fortasse igitur legendum est: παρεκάλει τὸν καίσαρα πρεσβεῦσαι τὸν Ἁρμάτωνα εἰς Δριζίπερα. 15. ἐκολάκευεν A, ἐκολάκευσεν vulg. 16. καίπερ add. ex A. 17. πρὸς τὸ πρεσβεύειν A f.

armis, ordine, necessariis bene instructa, in Romanos insultabant. inde Comentiolo Byzantium reverso, ingens ex timore perturbatio animorumque procella toti urbi incubuit: adeo ut prae nimio timore, de relinquenda Europa, et transmigratione in Asiae Chalcedonem consilium aperte iniretur. imperator autem excubitorum satellitio stipatus, collecto armatorum militum globo Longum murum tutabatur: urbem vero populi factiones custodiebant, senatu legationem ad Chaganum decernendam suadente. porro deus iniurias martyri Alexandro irrogatas ulturus morbum pestilentem in barbaros immisit, qui uno solo die febri ex bubone orta septem Chagani liberos cum innumera populi multitudine extinxit: adeo ut triumphalis laetitiae, victoriae paeanum, cantuumque vice luctus, lacrimas atque planctus prorsus inconsolabiles receperit. senatus itaque legatos ad Chaganum Drizipera a caesare destinari rogabat * * * * * * * qui officio functus blandis verbis barbarum delinivit. barbarus impotenti luctu ex filiorum iactura detentus, munera accipere detrectavit; tantum legatos affatur hoc pacto:

πρέσβεις· κρινεῖ ὁ θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ Μαυρικίου αὐ-
D τοκράτορος· αὐτὸς γὰρ τὴν εἰρήνην διέλυσεν· ἐγὼ δὲ τοὺς
αἰχμαλώτους ἀποδίδωμι αὐτῷ κατὰ ψυχὴν νόμισμα ἓν κομιζό-
μενος παρ' αὐτοῦ. ὁ δὲ Μαυρίκιος οὐκ ἠνέσχετο δοῦναι·
καὶ πάλιν ὁ Χαγάνος ἠτήσατο ἀνὰ ἡμίσους λαβεῖν κατὰ ψυ-
χήν· καὶ οὐδ' οὕτως ὁ βασιλεὺς δοῦναι κατεδέξατο, ἀλλ' οὐδὲ
τεσσάρων κερατίων λαβεῖν. καὶ θυμωθεὶς ὁ Χαγάνος πάντας
ἀπέκτεινεν, καὶ ἐπὶ τὰ ἴδια ἀνέζευξεν, πεντήκοντα χιλιάδας
ταῖς σπονδαῖς τοῖς Ῥωμαίοις ἐπιθείς. καὶ τὸν Ἴστρον ποτα-
μὸν μὴ διαβαίνειν ὡμολόγησαν. ἐκ τούτου πολὺ μῖσος κατὰ
Μαυρικίου τοῦ βασιλέως ἐκινήθη· καὶ ἤρξαντο λοιδορίαις
P. 236 τοῦτον βάλλειν· ὁμοίως καὶ ὁ λαὸς ὁ ἐν τῇ Θρᾴκῃ πρὸς λοι-
δορίαν τοῦ βασιλέως ἐκινήθη. ὃ δὲ στρατὸς ἐντολικαρίους
ἔπεμψεν πρὸς τὸν βασιλέα κατὰ Κομεντιόλου ὡς προδοσίαν
ἐν τῷ πολέμῳ ποιήσαντος, ἐν οἷς ἦν καὶ ὁ Φωκᾶς, ὅστις τῷ
βασιλεῖ διαλεγόμενος βρυερῶς τούτῳ ἀντέλεγεν ἐν τῷ σιλεν-
τίῳ, ὥστε τινὰ τῶν πατρικίων τοῦτον ματζῶσαι, καὶ τὸν
πώγωνα αὐτοῦ τίλαι. ὁ δὲ βασιλεὺς οὐ κατεδέξατο τὴν κατὰ
Κομεντιόλου ἔγκλησιν· ἀλλὰ τούτους ἀπράκτους ἀπέλυσεν·
διὰ τοῦτο καὶ ἡ ἐπιβουλὴ τοῦ βασιλέως ἀρχὴν ἔλαβεν. κατὰ

5. fort. ἀνὰ ἥμισυ. 12. καὶ ὁ λ. A, δὲ ὁ λ. vulg. 16. βριαρῶς A. 17. μουντζῶσαι A. 20. ἡ add. ex A. ἐλάμβανεν A.

sedet deus aequus iudex inter me et Mauricium imperatorem: ipse violandae paci ansam dedit. captivos tamen omnes ei reddam accepto in singula capita nummo uno. Mauricius eam pecuniae summam depromere non tulit: quare dimidium nummum pro singulorum capite redimendo rursum postulat Chaganus: sed neque dimidiatum nummum, neque etiam ceratia quatuor, quae tandem pro singulis petierat Chaganus, Mauricius solvere admisit. eapropter Chaganus cunctos ad unum interfecit, et in propriam regionem regressus tributo, quod ex antiquis conditionibus Romani pendebant, quinquaginta millia de novo addidit. Istrum vero fluvium se non amplius traiecturos utrinque Romani et Bulgari convenere. ex istis odium ingens in Mauricium conflatum, unde et conviciis iniuriisque eum aperte proscindere, exercitus quoque grex universus per Thraciam sparsus ad ludibria dirasque in eum expuendas moveri. exercitus itaque missos ad Mauricium contra Comentiolum decrevit, qui se ab ipso in praelio proditos quererentur. adfuit e missis unus Phocas, qui coram Mauricio orans, audiente etiam senatu, insolentibus in eum probris invectus est: ita ut inflictis etiam colaphis, barbam illi e patriciis nonnemo vellicaverit. porro imperator obiectas Comentiolo accusationes non admisit:

ταὐτον τὸν καιρὸν ἐν Λίγύπτῳ ἐν τῷ Νείλῳ ποταμῷ Μηνᾶ B
τοῦ ἐπάρχου μετὰ λαοῦ πορευομένου ἐν τόπῳ ἐπιλεγομένῳ V. 188
Δῆλτα, ἡλίου ἀνίσχοντος, ζῶα ἀνθρωπόμορφα ἐφάνησαν ἐν
τῷ ποταμῷ, ἀνήρ τε καὶ γυνή. καὶ ὁ μὲν ἀνὴρ εὔστερνος
καταπληκτικός τε τὴν ὄψιν, ξανθὸς τὴν κόμην, μιξοπόλιος, καὶ
μέχρι τῆς ὀσφύος ἐγύμνου τὴν φύσιν, καὶ πᾶσιν ἐδείκνυτο
γυμνός· τὰ δὲ λοιπὰ μέρη τοῦ σώματος τὸ ὕδωρ ἐκάλυπτε·
τοῦτον ὁ ἔπαρχος ὅρκοις ἔβαλλεν, μὴ καταλῦσαι τὴν θεω-
ρίαν, πρὶν ἅπαντες ἐμφορηθῶσι τῆς παραδόξου ταύτης ὁρά-
σεως. ἡ δὲ γυνὴ τούς τε μαζοὺς εἶχεν καὶ τὴν ὄψιν λείαν, C
καὶ τὴν κόμην βαθεῖαν, καὶ μέχρις ἐννάτης πως ὁ λαὸς ἐθαύ-
μαζεν ὁρῶν τὰ ζῶα ταῦτα. τῇ δὲ ἐννάτῃ ὥρᾳ ἔδυσαν ἐν τῷ
ποταμῷ. ὁ δὲ Μηνᾶς ταῦτα τῷ βασιλεῖ Μαυρικίῳ γε-
γράφηκεν.

Ἱεροσολύμων ἐπισκόπου Ἰσακίου, Ἀντιοχείας Ἀναστα- A.M. 6093
σίου ἔτος α'.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ κϛ', ἰνδικτιῶνι δ', τῇ ἡμέρᾳ
τοῦ ἁγίου πάσχα Σοφία αὐγοῦστα ἡ γυνὴ Ἰουστίνου ἅμα
Κωνσταντίνῃ γυναικὶ Μαυρικίου στέμμα κατασκευάσασαι D

2. ἐπάρχου A, ὑπάρχου vulg. ἐπιλεγομένῳ A, λεγομένῳ vulg. 8. μὴ om. A. 11. ἐννάτης πως — — — τῇ δὲ om. A. 19. γυναικὶ Κωνσταντίᾳ a, Κωνσταντίνῃ τῇ γυναικὶ A f, Κωνστ. γυν. vulg.

ac missos infecta penitus re dimisit: ex quo insidiarum in imperatorem deinceps structarum series processit. caeterum ad Nilum Aegypti fluvium cum Menas praefectus una cum exercitu, ad locum, qui Delta vocatur, iter faceret, sole oriente, visa sunt in flumine animalia specie humana, vir et foemina. vir erat bene compositus, pectore amplo, terribilis aspectu, fulvo crine, cui tamen inerant cani, et usque ad lumbos nudus naturam exhibebat spectandam, et nulla re tectus cunctorum oculis manifestus erat; caeteras vero corporis partes aqua obtegebat. hunc praefectus adiuravit, ne prius e conspectu discederet, quam omnes se raro adeo exsaturassent spectaculo. mulier et mammas habebat, et faciem levem, prolixosque crines. ad horam itaque nonam universus exercitus animalia cum admiratione spectavit: hora vero nona fluvium subiere. quod demum Menas imperatori scriptis enarravit.

Hierosolymorum episcopi Isacii, Antiochiae Anastasii annus A. C. 593
primus.

Hoc anno mensis Martii die sexto supra vigesimum, indictione quarta, ipso sancti paschatis die, Sophia augusta Iustini coniux, et Constantina Mauricii pariter uxor paratam imperatori coronam pretio

ὑπέρτιμον τῷ βασιλεῖ προσήγαγον. ὁ δὲ βασιλεὺς τοῦτο θεασάμενος, ἀπελθὼν εἰς τὴν ἐκκλησίαν τῷ θεῷ τοῦτο προσήγαγεν, καὶ ἐκρέμασεν αὐτὸ ἐπάνω τῆς ἁγίας τραπέζης διὰ τριχαλάστου ἁλυσιδίου διαλίθου καὶ χρυσοῦ. αἱ δὲ αὐγοῦσται μεγάλως ἐλυπήθησαν τοῦτο μαθοῦσαι. καὶ ἐν μάχῃ Κωνσταντίνα αὐγοῦστα πρὸς τὸν βασιλέα τὴν ἑορτὴν ἐποίησεν. ὁ δὲ βασιλεὺς μὴ προσχὼν τὰς ἐγκλήσεις τῶν ἐν Θράκῃ στρατευμάτων κατὰ Κομεντιόλου, ὃ αὐτὸς Κομεντίολος ἀναλαβὼν τὸ ὁπλιτικόν, ἔρχεται ἐπὶ τὸν Ἴστρον, καὶ ἑνοῦται τῷ Πρί-
P. 23 σκῳ ἐν Σιγγιδόνι· καὶ λύεται ἡ πρὸς τοὺς βαρβάρους εἰρήνη. ταύτης λυθείσης ἔρχονται εἰς τὸ Βιμηνάκιον, ἥτις ἐστὶ νῆσος μεγάλη τοῦ Ἴστρου. ταῦτα δὲ ἀκούσας ὁ Χαγάνος, συναθροίσας τὰς ἑαυτοῦ δυνάμεις, ἐπὶ τὰ Ῥωμαϊκὰ χωρεῖ· τοὺς δὲ τέσσαρας αὐτοῦ υἱούς, παραδοὺς ἑτέρας δυνάμεις, παρέστησε φρουρεῖν τὰς διαβάσεις τοῦ Ἴστρου. οἱ δὲ Ῥωμαῖοι σχεδίας ποιήσαντες, τὸν ποταμὸν διενήξαντο, καὶ πόλεμον μετὰ τοῦ υἱοῦ τοῦ Χαγάνου συνεστήσαντο, Πρίσκου στρατηγοῦντος. ὁ γὰρ Κομεντίολος ἀσθενήσας, εἰς τὸ Βιμηνάκιον τὴν νῆσον ἐκαθέζετο. ἐπὶ πολλὰς δὲ ὥρας τοῦ πολέμου κρατήσαντος καὶ τοῦ ἡλίου δύναντος, τριακοσίων τε Ῥω-

2. ἐν τῇ ἐκκλησίᾳ a. Βημηνάκιον vulg. 7. ἐν τῇ Θρ. A. 11. Βιμηνάκιον A, 14. τοῖς δὲ τέσσαρσιν αὐτοῦ υἱοῖς A. 15. φρουρεῖν] τηρεῖν a. τὰς δυνάμεις τ. Ἴ. A a. 19. δὲ add. ex A.

quovis superiorem obtulerunt. imperator opus demiratus, ad ecclesiam proficiscitur, et in manus deo offert: ipsique supra sanctam mensam ex triplicibus catenulis lapidibus auroque consertis appendit. eo nuncio accepto augustae animo omnino consternatae: et inter querelas et offensas augusta Constantina cum imperatore diem solemnem egit. imperatore vero latas a Thracicis copiis adversus Comentiolum accusationes nullius faciente, ipse Comentiolus, versus Istrum acie educta, ad Singidonem Prisco adiungitur, et cum barbaris pacem initam solvit. ea violata Viminacium, quae est Istri magna insula, conveniunt. re accepta, Chaganus copias colligit, et Romanas provincias invadit: aliis vero turmis filiorum curae commissis, Istri fluminis quae forent vada tutanda mandavit. Romani vero tumultuariis lembis compositis traiecerunt amnem, et Prisco duce cum Chagani filio manus conserunt; Comentiolus enim infirma valetudine iactatus in insula Viminacio substiterat. ad plures autem horas certamine protracto, cum sol occideret, e Romanis trecenti occisi, barbarorum ad quater mille desiderati. copiis summo mane castris edu-

μαίων ἀναιρεθέντων, χιλιάδες τέσσαρες ἐκ τῶν βαρβάρων B
θιώλοντο. ἔωθεν δὲ πάλιν συντάξαντες τὰ στρατεύματα, πάλιν τοῦ πολέμου ἀπήρξαντο, καὶ πάλιν ὀκτὼ χιλιάδας τῶν βαρβάρων ἀνεῖλον. ὁμοίως καὶ τῇ τρίτῃ ἡμέρᾳ παραταξάμενοι ἐκ τῶν ὑψηλοτέρων οἱ Ῥωμαῖοι πρὸς τοὺς βαρβάρους ἐχώρησαν, καὶ τούτους τρέψαντες, καὶ ἐπὶ τὰ ὕδατα τῆς λίμνης τοὺς βαρβάρους ὠθήσαντες, πολλοὺς ἐξ αὐτῶν ἀπέπνιξαν· ἐν οἷς καὶ οἱ τοῦ Χαγάνου παῖδες ἀπεπνίγησαν· καὶ νίκην οἱ Ῥωμαῖοι περιφανῆ ἀνεδήσαντο. ὁ δὲ Χαγάνος συναθροίσας δυνάμεις πολλὰς κατὰ Ῥωμαίων ἐπήρχετο· πολέμου δὲ κροτηθέντος τρέπουσιν οἱ Ῥωμαῖοι τοὺς βαρβάρους· καὶ πασῶν οἱ Ῥωμαῖοι ἐπισημοτέραν ταύτην ἀπηνέγκαντο τὴν νίκην. ὁ δὲ Πρίσκος τέσσαρας χιλιάδας συντάξας τὸν Τίασσον ποτα- V. 189
μὸν περᾶσαι ἐκέλευσεν, καὶ κατασκοπῆσαι τὰ τῶν βαρβάρων σκηνώματα. οἱ δὲ βάρβαροι μηδὲν τῶν γεγονότων ἐγνωκότες, ἑορτὴν ἐπιτελοῦντες συνεποσίαζον. τούτοις οἱ Ῥωμαῖοι κρυπτῶς ἐπιπεσόντες, μέγιστον φόνον ἀπεργάζονται· τριάκοντα γὰρ χιλιάδας Γηπαίδων καὶ ἑτέρων βαρβάρων ἀπέκτειναν· καὶ πλείστην αἰχμαλωσίαν λαβόντες πρὸς τὸν Πρίσκον ὑπέστρεψαν. ὁ δὲ Χαγάνος πάλιν δυνάμεις συναθροίσας ἐπὶ τὸν Ἴστρον παραγίνεται. καὶ συμβαλόντες πόλεμον ἡττῶνται οἱ D

2. ἔσωθεν b. 3. χιλιάδες vulg. 7. ἐλάσαντες a. ἀπέπνιξαν A, ἔπνιξαν vulg. 8. τοῦ add. ex A. 13. Τίσσῳ A. 16. τούτοις — — φόνον om. b f.

ctis et in aciem ex utraque parte compositis, bellum rursus instructum, et rursum e barbaris octies mille trucidati. tertio pariter die in ordinem distributi ex eminentiore loco Romani barbaros adorti, eorum acies fundunt, ac in paludem quandam adactos et in eius profundum impulsos, plures aquis suffocarunt, inter quos etiam ipsi Chagani liberi extincti: eo successu victoriam Romani consequuti sunt praeclarissimam. Chaganus maioris exercitus robore comparato, in Romanos facit impressionem, consertoque praelio, iterum barbaros fudere Romani: fuitque haec Romanorum victoria cunctis omnibus illustrior. Priscus porro armatorum millibus quatuor instructis, Tissum amnem transire, et hostium tentoria explorare iussit. barbari rei gestae penitus ignari festivum epulum celebrabant, et crapulis operam dabant. hos Romani ex improviso adorti, ingenti clade affecerunt: caesis enim Gepedum et aliorum barbarorum millibus triginta, et insuper praeda potiti uberrima, ad Priscum revertere. Chaganus autem exercitu restaurato ad Istrum venit: ubi commissa pugna barbari victi sunt, et in amnis fluentis submersi: cum quibus etiam Sclavini

βάρβαροι, καὶ εἰς τὰ ῥεῖθρα τοῦ ποταμοῦ ἀποπνίγονται. συναπόλλυνται δὲ τούτοις καὶ Σκλαβινοὶ πολλοί. ζῶντας δὲ ἐκράτησαν Ἀβάρους μὲν τρισχιλίους διακοσίους, καὶ βαρβάρους δισχιλίους. ὁ δὲ Χαγάνος εἰς Μαυρίκιον βασιλέα πρέσβεις ἀπέστειλεν ἀναλαβεῖν τοὺς ζωγρηθέντας πειρώμενος. ὁ δὲ Μαυρίκιος μήπω μαθὼν τὴν περιφανῆ τῶν Ῥωμαίων νίκην, γράφει τῷ Πρίσκῳ ἀποδοῦναι τῷ Χαγάνῳ τοὺς βαρβάρους μόνον. ὁ δὲ Κομεντίολος μόλις τῆς νόσου διαγενόμενος ἐξέρχεται εἰς Νόβας ζητῶν ὁδηγοὺς τοῦ ἐξαγαγεῖν αὐτὸν τὴν ὁδὸν Τραϊανοῦ τοῦ βασιλέως. γέρων δέ τις ταύτην ἐπιστάμενος, ἔφασκεν δυσχερῆ εἶναι καὶ ἀδιόδευτον, ἀπό τε τῶν ὑετῶν πολλῶν καὶ χειμῶνος ὄντος, ὑψηλὰ ὄρη καὶ χιόνας
P. 238 κεκτημένην. ὁ δὲ Κομεντίολος μὴ πεισθεὶς τοῖς λόγοις τοῦ γέροντος, ἀπέρχεται διὰ τῆς ὁδοῦ ταύτης. ψύχους δὲ γεγονότος ἐξαισίου καὶ μεγάλου κρύους, διαφθείρονται πολλοὶ τῶν Ῥωμαίων, καὶ τῶν νωτοφόρων ζώων τὰ πλεῖστα. καὶ μόλις εἰς τὴν Φιλιππούπολιν ἀφίκετο. κἀκεῖσε τῶν Ῥωμαίων παραχειμασάντων, ὁ Κομεντίολος εἰς Βυζάντιον ἔρχεται.

Τῷ δ' αὐτῷ ἔτει ἀνήρ τις τὸ μοναχικὸν σχῆμα περιβεβλημένος καὶ ἐν ἀσκήσει διαλάμπων, σπαθίον γυμνώσας, ἀπὸ

2. τούτοις καὶ A, καὶ τούτοις vulg. 5. βουλόμενος a. 7. τῷ Χαγάνῳ om. a. 8. καὶ μόνον A, μόνους f. μόλις add. ex a. 9. Νόβας A a, νομὰς vulg. 10. ταύτην add. ex A. 11. δυσχερῆ εἶναι A a, δυσχερῆ ταύτην εἶναι vulg. 12. ὑετῶν A, ἐτῶν vulg. 16. νοτοφόρων vulg.

multi periere. vivi in potestatem Romanorum venerunt Avarum tria millia ducenti, barbari bis mille. Chaganus vero legatos ad Mauricium misit ad captivos redimendos: Mauricius nondum accepto tam praeclarae victoriae nuncio, Prisco scribit ut solos barbaros redderet. caeterum Comentiolus cum vix a languore se recepisset, in deserta Nomadum loca profectus est, ductores quaerens, qui sibi viam a Traiano olim tritam indicarent. senior autem quidam illius gnarus difficilem admodum et asperam, ceu quae a multis imbribus et inusitato perpetuae hiemis rigore horresceret undique, et praeruptis saxis niviumque globis quaqua versus obsideretur, praedicabat. Comentiolus spreto senis monito, viam illam capessit. cum autem immensum plane frigus asperumque gelu ingrueret, multi ex Romanis militibus, iumentorum vero maxima pars periit: vixque Philippopolim deventum est: ubi cum hibernarent milites Romani, Comentiolus Byzantium se contulit.

Eodem anno vir quidam monachorum habitu indutus, et continuis religiosae vitae exercitationibus insignis, a foro ad Chalcen us-

τοῦ φόρου μέχρι τῆς Χαλκῆς ξιφήρης διαδραμών, τὸν αὐτοκράτορα τοῖς πᾶσιν ἐν φόνῳ μαχαίρας τεθνήξεσθαι προηγόρευσεν. ὁμοίως καὶ Ἡρωδιανὸς Μαυρικίῳ εἰς τὸ φανερὸν B προανήγγειλεν τὰ τούτῳ συμβησόμενα. τοῦ δὲ βασιλέως νυκτὶ ἀνυποδύτου λιτανεύοντος μετὰ πάσης τῆς πόλεως, παρερχομένου ἐν τοῖς Καρπιανοῖς, στασιάζουσιν ἐκ τοῦ πλήθους τινές, καὶ λίθους κατὰ τοῦ βασιλέως ἔβαλλον· ὥστε μόλις τὸν βασιλέα σὺν Θεοδοσίῳ τῷ υἱῷ αὐτοῦ διασωθῆναι, καὶ τὴν εὐχὴν πληρῶσαι ἐν Βλαχέρναις. οἱ δὲ δῆμοι εὑρόντες ἄνδρα προσομοιοῦντα Μαυρικίῳ, καὶ βαλόντες αὐτῷ σαγίον μαῦρον καὶ ἀπὸ σκόρδων πλέξαντες στέφανον, καὶ εἰς ὄνον τοῦτον καθίσαντες, διέπαιζον λέγοντες· εὕρηκεν τὴν δαμαλίδα ἄπαλήν, καὶ ὡς τὸ καινὸν ἀλεκτόριν ταύτῃ πεπήδηκεν, καὶ ἐποίησεν παιδία ὡς τὰ ξυλοκούκουδα· καὶ οὐδεὶς τολμᾷ λα- C λῆσαι, ἀλλ' ὅλους ἐφίμωσεν· ἅγιέ μου, ἅγιε, φοβερὲ καὶ δυνατέ, δὸς αὐτῷ κατὰ κρανίου, ἵνα μὴ ὑπεραίρηται· κἀγώ σοι τὸν βοῦν τὸν μέγαν προσαγάγω εἰς εὐχήν. πολλοὺς δὲ τούτων πιάσας ὁ βασιλεὺς ἐτιμωρήσατο.

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ ἰνδικτιῶνι ε' ὁ βασιλεὺς A.M. 6094
Μαυρίκιος Θεοδόσιον τὸν αὐτοῦ υἱὸν συνῆψεν πρὸς γάμον τῇ V. 190 D

10. βαλόντες A, βάλλοντες vulg. 11. καὶ εἰς ὄν. τ. καθίσαντες A, εἰς ὄν. τοῦτον καθίζοντες vulg. 13. ἀλεκτόριον A f. 14. ὡς τὰ] ὁστὰ vulg. 15. καὶ δυνατὲ om. f. 16. αὐτῷ A, αὐτὸν vulg.

que nudatum gladium manu intentans morte gladio inferenda imperatorem ex hominibus excessurum cunctis praenunciavit: similiter Herodianus Mauricio palam, quae ipsi eventura essent, praedixit. caeterum imperatore nudis aliquando pedibus cum universo populo per civitatem cum precibus noctu procedente, ad Carpiana forte transitum habente, e plebe quidam exciti tumultuari et in eum lapides mittere, ita ut vix ipse cum Theodosio filio incolumis evaderet, et precem expleret in Blachernis. at forte plebs hominem quendam Mauricio similem inveniens, hunc nigri coloris sagulo indutum et corona ex alliis intexta redimitum in asinum imposuit, sedentique iocosis illudebat vocibus. teneram iuvenculam invenit, et velut exoriens Gallulus in eam insiliit: ac procreavit filios instar ligneorum crepitaculorum. nullus tamen audet conqueri: quin imo cunctorum obturat ora. sancte mi, o sancte, tremende et potens: ictum in eius cranium impinge, ne amplius efferatur: et ego voti reus bove tibi maximo litabo. imperator vero in plures ex seditiosis comprehensos suppliciis animadvertit.

Hoc anno mense Novembri indictione 5 Mauricius imperator A. C. 594

θυγατρὶ Γερμανοῦ πατρικίου στεφανώσαντες αὐτοὺς Κυριακοῦ πατριάρχου Κωνσταντινουπόλεως. τῷ δὲ Ἰανουαρίῳ μηνὶ ια' Δομετιανὸς ἐπίσκοπος Μελιτινῆς, συγγενὴς τοῦ βασιλέως τέθνηκεν, καὶ ἐτάφη ἐν τοῖς ἁγίοις ἀποστόλοις ὑπὸ Κυριακοῦ τοῦ πατριάρχου, καὶ πάσης τῆς συγκλήτου τιμηθεὶς ἐπιτάφια. ὁ δὲ βασιλεὺς Πέτρον τὸν ἴδιον ἀδελφὸν στρατηγὸν πάλιν τῆς Θρᾴκης χειροτονήσας ἀπέστειλεν. ἠκηκόει γὰρ περὶ τοὺς καταράκτας ἀθροισθῆναι τὰ τῶν βαρβάρων πλήθη τὸν Ἄψηχ στρατηγὸν ἔχοντα. ὁ δὲ Πέτρος ἀπέστειλεν πρὸς τὸν Ἄψηχ πρεσβευτὴν περὶ εἰρήνης. ὁ δὲ Ἄψηχ τοὺς καταράκτας ἐκ τῶν Ῥωμαίων ἐπεχείρει λαβεῖν· καὶ ὁ Χαγάνος ἐπὶ τὴν Κωνσταντίαν ἐχώρησεν. οἱ δὲ Ῥωμαῖοι ἐπὶ τὴν Θρᾴκην ἐπανέζευξαν, καὶ εἰς Ἀδριανούπολιν ἀφίκοντο. ὁ δὲ βασιλεὺς μαθὼν ὅτι ὁ Χαγάνος κατὰ τοῦ Βυζαντίου ἐπέρχεται, γράφει τῷ Πέτρῳ εἰς τὸν Ἴστρον ὑποστρέψαι. καὶ ἀποστέλλει Βώνωσον τὸν σκρίβωνα μετὰ ναυτιλίας τοῦ διαπεράσαι τὸν λαόν. ἀποστείλας δὲ Πέτρος Γουνδόην τὸν ὑποστράτηγον πέραν τοῦ Ἴστρου, πολλῆς αἰχμαλωσίας ἐκράτησαν· ταῦτα μαθὼν ὁ Χαγάνος τὸν Ἄψηχ μετὰ πλήθους ἀπέστειλεν, ὅπως τὸ τῶν ναυτῶν διολέσῃ ἔθνος, ὡς σύμμαχον τῶν Ῥωμαίων. τούτου

P. 23g

B

1. Ῥωμανοῦ a. 8. καταρράκτας A. 10. περὶ add. ex A.
11. ἐπὶ τὴν Κωνσταντίολον A, fort. ἐπὶ τὴν Κωνσταντινούπολιν.
15. Βόνωσον A. 19. τῶν αὐτῶν f, ταυτῶν e.

filium filiae Germani patricii matrimonio iunxit, Cyriaco patriarcha Cpoleos nuptiales coronas imponente. Ianuario vero mense Domitianus Melitines episcopus imperatoris consanguineus diem extremum obiit, et a Cyriaco patriarcha ad sanctorum apostolorum sepultus est, senatu universo funebribus honoribus memoriam eius prosequente. porro imperator Petrum fratrem suum Thraciae ducem iterum renuncistum illuc transmisit. audierat enim barbarorum multitudinem Apsech duce ad cataractas congregari. Petrus autem misso ad Apsech legato de pace tractavit. Apsech ex adverso cataractarum locum Romanis eripere studebat, Chagano contra Cpolim expeditionem suscipiente. itaque Romani in Thraciam reversi Adrianopolim venerunt. verum ubi Chaganum Byzantium accedere cognovit imperator, Petro ut ad Istrum redeat, scribit. scribonem etiam Bonosum cum navigiis militem trans flumen deveheudo mittit. Petrus misso Gundue legato exercitus trans Istrum praedam captivosque innumeros eius virtute coegit. quod cum Chaganus rescivit, Apsech cum copiis misit ad nautarum turbam illic conficiendam, utpote qui Romanis auxiliati fuissent. quo demum facto, portio quae barbaris contigerat, ad Roma-

δὲ γενομένου τῶν βαρβάρων ἀπόμοιρα προσερρύη τοῖς Ῥωμαίοις. ὁ δὲ Μαυρίκιος ἐν ἑαυτῷ γενόμενος, καὶ εἰδὼς ὅτι οὐδὲν τὸν θεὸν λανθάνει, ἀλλὰ πᾶσιν ἀποδίδωσιν κατὰ τὰ ἔργα αὐτῶν, καὶ ἐπιλογισάμενος τὸ σφάλμα ὃ ἐποίησεν εἰς τὴν αἰχμαλωσίαν, μὴ ἐξαγορεύσας αὐτήν, συμφέρον ἔκρινεν ἐν τῷ βίῳ τούτῳ ἀπολαβεῖν τὰς ἁμαρτίας, καὶ μὴ ἐν τῷ μέλλοντι· καὶ ποιήσας δεήσεις ἐγγράφους, ἀπέλυσεν εἰς πάντας τοὺς πατριαρχικοὺς θρόνους καὶ πάσας τὰς ἐκκλησίας τὰς ὑπ' αὐτόν, καὶ εἰς τὰ μοναστήρια τὰ ἐν τῇ ἐρήμῳ, καὶ ἐν τοῖς Ἱεροσολύμοις, καὶ εἰς τὰς λαύρας χρήματα καὶ κηροὺς καὶ θυμιάματα· ὅπως εὔξωνται ὑπὲρ αὐτοῦ, ἵνα ἐνταῦθα ἀπολάβῃ, καὶ μὴ ἐν τῷ μέλλοντι αἰῶνι. ἐσκανδαλίζετο δὲ καὶ εἰς Φιλιππικὸν τὸν γαμβρὸν αὐτοῦ, ὡς εἰς τὸ Φ γράμμα ὀνομαζόμενον. ὁ δὲ Φιλιππικὸς διαφόρως ἐπώμνυτο τῷ βασιλεῖ, ὡς καθαρός ἐστιν εἰς τὴν δουλείαν αὐτοῦ, καὶ οὐκ ἔχει παρ' αὐτῷ λόγον ἢ δόλον. τοῦ δὲ Μαυρικίου τὸν θεὸν ἱκετεύοντος τοῦ ἐλεηθῆναι τὴν ψυχὴν αὐτοῦ, ἐν μιᾷ κοιμωμένου αὐτοῦ εἶδεν ὀπτασίαν, εἰς τὴν χαλκῆν πύλην τοῦ παλατίου ἐν τῇ

1. προσερρύη τοῖς Ῥ. A, προσερρύητο Ῥ. vulg. 4. ἐπιλογισάμενος A, ἐπιλογησάμενος vulg. 5. συμφέρον A, συμφέρειν vulg. 6. τὴν ἁμαρτίαν A. 7. τοὺς add. ex A f. 8. ἐκκλησίας] πολιτείας A. ὑπ' αὐτὸν A a e, ὑπ' αυτῶν vulg. 11. περὶ αὐτοῦ a. 12. καὶ ante εἰς add. ex A. εἰς τὸ φράγμα f. 16. λόγον ἢ om. A a f. 17. ἐν μιᾷ] fort. ἐν νυκτί.

nos recidit. caeterum Mauricius ad se reversus, certus deum nihil latere, verum pro meritis cuique suis vices rependere, et attentius secum reputans, quam, non redemptis captivis, admisisset offensam; utilius sibi duxit, in hac potius vita, quam in futuro saeculo, flagitiorum poenas si exsolveret. compositas itaque preces ac vota litteris consignata ad singulos patriarchales thronos et ecclesias eisdem subiectas, ad monasteria in desertis et Hierosolymis posita, misit; quibus etiamnum pecuniarum, cereorum et thuris munera adiunxit: quo suis illi orationibus obtineant, ut in hac terrestri potius, quam in futuri saeculi mora operum suorum compensationem accipiat. invisus sane erat ei Philippicus ex sorore gener ob Phi litteram a qua nomen ducebat exordium. Philippicus autem non una iuramenti ratione usus, sed tum diris invocatis, tum etiam deo in testem implorato, se in eius obsequio purum gerere consilium, et tam ab animi lenitate, quam dolis alienam semper mentem servasse coram imperatore affirmabat. Mauricius porro continuis precibus deum interpellans ut erga animam clementem eum experiatur, quadam nocte somno sopitus per visum imaginatus est, se astare coram imagine servatoris,

εἰκόνι τοῦ σωτῆρος ἑαυτὸν παρεστῶτα, καὶ λαὸν παρεστῶτα αὐτῷ· καὶ φωνὴ γέγονε ἐκ τοῦ χαρακτῆρος τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λέγουσα· δότε Μαυρίκιον. καὶ κρατήσαντες αὐτὸν οἱ δίκης ὑπηρέται παρέστησαν τῷ πορφυρῷ ὀμφαλίῳ τῷ ἐκεῖσε. καὶ ἔφη πρὸς αὐτὸν ἡ θεία φωνή· ποῦ θέλεις ἀποδόσω σοι; ὧδε, ἢ ἐν τῷ μέλλοντι αἰῶνι; ὁ δὲ ἀκούσας, ἔφη· φιλάνθρωπε δέσποτα, δικαιοκρέτα, ὧδε μᾶλλον, ἢ ἐν τῷ μέλλοντι αἰῶνι. καὶ ἐκέλευσεν ἡ θεία φωνὴ ἐκδοθῆναι Μαυρίκιον καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα, καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ Φωκᾷ τῷ στρα-
P. 240 τιώτῃ. διυπνισθεὶς οὖν Μαυρίκιος καὶ καλέσας τὸν παρακοι-
V. 191 μώμενον αὐτοῦ, ἀπέστειλε πρὸς Φιλιππικὸν τὸν γαμβρὸν αὐ-
τοῦ ἐν σπουδῇ ἀγαγεῖν αὐτὸν πρὸς τὸν βασιλέα. ἀπελθὼν δὲ ὁ παρακοιμώμενος ἐκάλεσεν αὐτόν. ὁ δὲ ἐγερθεὶς καὶ προσκαλεσάμενος τὴν ἑαυτοῦ γυναῖκα ἠσπάσατο αὐτήν, λέγων· σώζου, γύναι, οὐκ ἔτι μὲ θεωρεῖς. ἡ δὲ ἀνέκραξεν μετὰ κλαυθμοῦ φωνῇ μεγάλῃ πρὸς τὸν παρακοιμώμενον λέγουσα· ὁρκῶ σε κατὰ τοῦ θεοῦ, τί ἐστι τὸ πρᾶγμα, ἐπ' ὃ ζητεῖ αὐτὸν τῇ ὥρᾳ ταύτῃ; ὁ δὲ ἐπωμόσατο ἀγνοεῖν, καὶ ὅτι αἰφνίδιον ἐξ ὕπνου ἀναστὰς ὁ βασιλεὺς ἀπέστειλέ με. ὁ δὲ
B Φιλιππικὸς ἠτήσατο μεταλαβεῖν, καὶ οὕτως ἀπῄει πρὸς τὸν

4. δίκην A a e. 8. ἢ μὴ ἐν A. 11. οὖν A, δὲ ὁ vulg. 16. γύναι om. A f.

quae ad portam aeream, et turbam maximam circa se collectam: vocem vero ex magni dei et servatoris nostri Iesu Christi effigie prodeuntem audiri: producite Mauricium: mox vero comprehensum a iudicii ministris ad porphyreticum umbilicum ibidem positum stetisse. tum ad eum divina vox: ubi vis, inquit, tibi pro operibus retribui? num hic, vel in futuro saeculo? his auditis, responde: humanissime domine, iudex aequissime, hic certe potius, quam in futuro saeculo. illa itaque divina vox Mauricium, et eius uxorem, liberos, et omnem eius prosapiam Phocae militi tradi iussit. excitus a somno Mauricius vocatum ad se accubitorem Philippicum generum quantocius accersendum imperat. profectus accubitor virum vocat. ille somno excusso, coniugem etiam excitat, et salutem osculo precatus: vale, inquit, coniux, nunc ultimo me vides. illa magni eiulatus voce ad accubitorem exclamans: obtestor te, ait, per deum, quidnam rei est, quod virum hac hora quaerit imperator? affirmat ille iusiurandis se nescium: tantum de repente a somno liber imperator exsurrexit, et me huc misit. Philippicus eucharistiae recipiendae facultate petita, ea instructus ad imperatorem pergit. uxor autem eius Gordia querula,

βασιλέα. ἡ δὲ γυνὴ αὐτοῦ Γορδία ἔκειτο χαμαὶ ὀδυρομένη καὶ κλαίουσα, καὶ τὸν θεὸν ἱκετεύουσα. εἰσελθὼν δὲ ὁ Φιλιππικὸς ἐν τῷ βασιλικῷ κοιτῶνι, ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς λέγει αὐτῷ· συγχώρησόν μοι διὰ τὸν θεόν, ὅτι ἥμαρτόν σοι. ἕως γὰρ τοῦ νῦν ἐσκανδαλιζόμην εἰς σέ. καὶ κελεύσας ἐξελθεῖν τὸν παρακοιμώμενον ἀναστὰς ἔπεσεν εἰς τοὺς πόδας τοῦ Φιλιππικοῦ, λέγων· συγχώρησόν μοι· ἀσφαλῶς γὰρ οἶδα ὅτι οὐδὲν ἥμαρτες εἰς ἐμέ. ἀλλ' εἰπέ μοι, τίνα γινώσκεις ἐν τοῖς ἡμετέροις τάγμασι Φωκᾶν στρατιώτην; ὁ δὲ Φιλιππικὸς ἀναλογισάμενος, λέγει αὐτῷ· ἕνα γινώσκω, ὅς τις πρὸ καιροῦ ὀλίγου πεμφθεὶς ἐντολικάριος ἐκ C τοῦ στρατοῦ ἀντέλεγεν τῷ κράτει σου. ὁ δὲ βασιλεὺς ἔφη· ποίας ἐντεύξεώς ἐστιν; ὁ δὲ Φιλιππικὸς εἶπεν· νεώτερος, θρασὺς καὶ δειλός. τότε λέγει Μαυρίκιος· ἐὰν δειλός, καὶ φονεύς. καὶ ἐξηγεῖτο τῷ Φιλιππικῷ τὴν τοῦ ὀνείρου ἀποκάλυψιν. τῇ δὲ νυκτὶ ἐκείνῃ ἐφάνη ἀστὴρ ἐν τῷ οὐρανῷ, ὁ λεγόμενος κομήτης. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, ἔφθασεν καὶ ὁ ἀποσταλεὶς Μαγιστριανὸς πρὸς τοὺς ἐν τῇ ἐρήμῳ ἁγίους πατέρας, φέρων παρ' αὐτῶν ἀπόκρισιν τοιαύτην· ὅτι ὁ θεὸς δεξάμενος τὴν μετάνοιάν σου, σώζει τὴν ψυχήν σου, καὶ μετὰ ἁγίων κατατάττει σε

2. ἐλθὼν A. 7. τοῦ add. ex A. 10. ἀναλογισάμενος A a f, ἅμα λογισ. vulg. 16. δὲ add. ex A. 19. τοιαύτην A, αὕτην vulg. 20. καὶ add. ex A.

plorans, et divini numinis opem suis precibus advocans in humum proiecta iacebat. Philippicus imperatoris cubiculum ingressus, ad eius pedes provolvitur. ad quem imperator: per deum immortalem, inquit, ignosce quod in te peccavi. ad hanc siquidem horam te suspectum et invisum habui. et accubitore secedere iusso, exurgens e lecto ad Philippici pedes procidens, ignosce mihi, subiunxit: te namque nihil in me peccasse, certus sum. verum, si quempiam inter legiones nostras Phocam nomine noveris, edissere. tum Philippicus secum aliquamdiu cogitans, unum, inquit, eiusmodi nominis novi; qui nuper missi munere apud te ab exercitu fungens imperio tuo verbis audacioribus sese opponebat. rogat imperator: cuius indolis est, ac naturae? subinfert Philippicus: Iunior est adhuc, temerarius, et timidus. ait Mauricius: si timidus caedium amans est, et sanguinis: suique insomnii enarrationem ad Philippicum: instituit. ea nocte astrum, cui nomen cometes, in caelo visum est: sequenti porro luce Magistrianus ad sanctos eremi patres delegatus, responsum istiusmodi ab eis ferens, rediit. poenitentiam tuam deus approbat, et anima tua damnationis poena servata, cum omni familia tua in sanctorum

παινικεί. τῆς δὲ βασιλείας μετὰ ἀτιμίας καὶ μετὰ κινδύνου ἐκπίπτεις. ταῦτα ἀκούσας Μαυρίκιος ἐδόξασεν μεγάλως τὸν Θεόν. Dτῆς τοίνυν μετοπωρινῆς ὥρας καταλαβούσης, καὶ Μαυρικίου βασιλέως τῷ Πέτρῳ ἐν τῇ τῶν Σκλαβινῶν χώρᾳ προστάξαντος τὸν λαὸν παραχειμάσαι ἀντέστησαν οἱ Ῥωμαῖοι μὴ κατα- 5 δεχόμενοι τοῦτο ποιεῖν, διά τε τὴν τῶν ἵππων ταπείνωσιν, καὶ διὰ τὸ πολλὴν πραΐδαν ἐπιφέρεσθαι, καὶ διὰ τὸ πλήθη βαρβάρων παρακεχῦσθαι τῇ χώρᾳ, καὶ στάσιν ἐμελέτησαν. ὁ δὲ στρατηγὸς ἀγανακτῶν κατὰ τοῦ λαοῦ εἰς πόνους αὐτοὺς ἐνέβαλλεν. ἐπιπίπτουσι τοίνυν ὑετοὶ λαῦροι τῷ στρατῷ, καὶ το ψῦχος πολύ. ὁ δὲ Πέτρος ἀπὸ εἴκοσι μιλίων τῆς στράτας P. 241 τὴν διατριβὴν ἐποιεῖτο. Μαυρίκιος δὲ τῷ Πέτρῳ ἐνώχλει διὰ γραμμάτων διαπεραῦσαι τὸν Ἴστρον· καὶ τὰς χειμερινὰς ἀποτροφὰς τοῦ λαοῦ ἐκ τῆς τῶν Σκλαβινῶν χώρας ἀρύσασθαι, ὅπως μὴ δημοσίας σιτήσεις ἀναγκασθῇ τοῖς Ῥωμαίοις 15 παρασχέσθαι. ὁ δὲ στρατηγὸς μεταστειλάμενος τὸν Γουνδοὺν ἔφη· λίαν μοι βαρύταται τοῦ βασιλέως προστάγματα ἐπὶ ἀλλοτρίας γῆς Ῥωμαίους χειμάσαι προστάσσοντος, καὶ τὸ παραπεῦσαι χαλεπόν· καὶ τὸ ὑπακοῦσαι, δεινότερον. οὐδὲν

3. καταλαβούσης A, καταλαμβανούσης vulg. 4. προστάξαντος τὸν λαὸν παραχειμάσαι A, παραχειμάσαι κελεύσαντος vulg. ἀντέστησαν A, ἀνέστησαν vulg. 6. τὴν add. ex A. 12. ἐνώχλει A, ἐπώχλει vulg. 17. ἔφη add. ex A. 18. προστάσσοντος om. A. καὶ τὸ παρακοῦσαι χαλ. A a, καὶ τὸ ἐπακοῦσαι δεῖν χαλ. vulg. 19. καὶ τὸ ὑπακοῦσαι A a, καὶ τὸ παρακοῦσαι vulg.

album te ascribit: imperii vero dignitate cum dedecore et vitae periculo excides. his auditis Mauricius totis viribus laudes deo retulit. autumno igitur appetente, et Mauricio imperatore Petrum cum exercitu in Sclavinorum agris hibernare iubente, milites imperata facere detrectantes tumultuantur, et equos iam defatigatos, multamque praedam se avehere, sparsaeque per regionem adversariorum copias passim occurrere causati, in rebellionem versi sunt. quare dux exercitus in rebellantes invectus duris eos laboribus subigere moliebatur: tunc admodum copiosi imbres, frigusque ingens castris incubuit. porro Petrus ad passuum viginti millia a via remotior moram agebat. Mauricius interea per litteras etiam moleste iussitabat exercitum trans Istrum duci, et ex Sclavinorum agris annonam in hiemem ei subministrari, ne ipse ex publico commeatum praebere cogeretur. dux autem Gundui ad se vocato, quam dura, inquit, imperatoris iussa, in alieno hostilique solo exercitum hiemare praecipientis! parendi sane necessitas gravis: detrectandi difficultas maior. nil equidem boni

καλὸν τίκτει φιλαργυρία, μήτηρ δὲ πάντων τῶν κακῶν καθέστηκεν. ταύτην νοσῶν ὁ αὐτοκράτωρ τῶν μείζονων κακῶν αἴτιος τοῖς Ῥωμαίοις γίνεται. μεταστειλάμενος δὲ τοὺς τα- B ξιάρχας τοῦ λαοῦ, τὸν τοῦ βασιλέως σκοπὸν αὐτοῖς παρεδή- λωσεν. οἱ δὲ ἔφησαν· τὸν λαὸν τοῦτο μὴ καταδέξασθαι. ὁ δὲ V. 192 λαὸς τοῦτο ἀκούσας ἐστασίασεν· καὶ οἱ ἐπίσημοι ἄρχοντες φυγόντες ἐξ αὐτῶν πρὸς τὸν στρατηγὸν παρεγένοντο. τὰ δὲ πλήθη συναθροισθέντα προβάλλονται ἔξαρχον Φωκᾶν τὸν κένταρχον, καὶ ἐπὶ ἀσπίδος τοῦτον ὑψώσαντες εὐφήμησαν ἔξαρχον. καὶ ταῦτα ὁ Πέτρος ἀκηκοὼς εἰς φυγὴν ἐτράπη, καὶ τῷ βασιλεῖ πάντα κατάδηλα ἐποίησεν. ὁ δὲ βασιλεὺς τὰ δυσχερῆ ταῦτα ἀκούσας, κρύπτειν αὐτὰ τῷ πλήθει ἐπειρᾶτο. δευτέρᾳ δὲ ἡμέρᾳ καὶ ἱππικὸν ἐπετέλεσεν, τὰ τῆς συμφορᾶς ἀποκρύπτων. C ὁ δὲ δῆμος τῶν Πρασίνων ἔπραξεν, λέγων· Κωνσταντῖνος καὶ Δομεντίολος, δέσποτα Ῥωμαίων τρισαύγουστε, τῷ οἰκείῳ σοῦ δήμῳ παρενοχλοῦσιν, ἵνα ὁ κρούκης διοικήσῃ, εἰς ἃς ἔχομεν ἁμαρτίας. ὁ θεὸς ὁ τὰ πάντα δημιουργήσας ὑποτάξει πάντα ἐχθρὸν καὶ πολέμιον ἐμφύλιόν τε καὶ ἀλλόφυλον, καὶ χωρὶς αἱμάτων. ὁ δὲ βασιλεὺς τοῖς δήμοις ἐδήλωσεν· μηδὲν ὑμᾶς ταράξῃ ἀλόγων στρατιωτῶν ἀκοσμία καὶ ἀταξία.

5. οἱ δὲ A, αὐτοὶ δὲ vulg. τοῦτο A, τοῦτον vulg. 9. ἀσπίδος A, ἀσπίδα vulg. 11. πάντα A, ταῦτα vulg. 13. ἐπετέλεσεν A, ἐπετ. vulg. 15. Δομεντζίολος A.

atque honesti avaritia peperit; quin immo incommodorum omnium mater apud omnes aestimatur. huius contagio imperator infectus ingentium malorum auctor Romanae rei publicae habebitur. convocatis subinde agminum praefectis, imperatoris voluntatem ipsis patefecit: qui, milites illam minime executuros, dixere. illa quoque publice enunciata, confestim exercitus omnis in rebellionem motus. periculo subducunt se primores, et ad ducem palantes se conferunt. quamobrem agmina in unum collecta Phocam centurionem exarchum creavere: tumque clipeo sublatum exarchum faustis acclamationibus prosequuti sunt. ea re intellecta, Petrus fuga ipsus certiorem de omnibus fecit imperatorem. Mauricius nuncium adeo gravem atque molestum accipiens, urbicariis turmis caelare satagebat. die vero secunda insequente, quo magis infortunium occultaret, certamen equestre celebravit. tum vero Prasinorum factio in has voces erupit: Constantinus et Domentiolus, Romanorum domine, ter auguste, sollicitant populum, ut, peccatis nostris exigentibus, furcifer rei communis administrator instituatur: deus rerum omnium opifex adversarios et hostes universos intestinos aeque ac exteros citra sanguinis effusionem

οἱ δὲ Βένετοι εἶπον· ὁ θεὸς ὁ κελεύσας σε βασιλεύειν ὑποτάξει σοι πάντα τὸν πολεμοῦντα τὴν βασιλείαν σου. εἰ δὲ Ῥωμαῖός ἐστιν ὁ ἀγνωμονῶν σε εἰς δουλείαν σοι τοῦτον ὑποτάξει χωρὶς αἱμάτων. τούτους δὲ ὁ βασιλεὺς καθοπλίσας καὶ λόγοις ἡπίοις κατευνάσας, σὺν τοῖς δημάρχοις φυλάττειν τὰ τείχη τῆς πόλεως προσέταξεν. τοῦ δὲ υἱοῦ τοῦ βασιλέως ἅμα Γερμανοῦ τοῦ πενθεροῦ αὐτοῦ εἰς Καλικράτειαν κυνηγετοῦντος, ἀποστέλλουσι γράμματα οἱ Ῥωμαῖοι πρὸς Θεοδόσιον ἀξιοῦντες ὑπ' αὐτοῦ βασιλεύεσθαι, εἰ δὲ μή, κἂν Γερμανὸν προσαγορεῦσαι βασιλέα· μηδὲ γὰρ ἔτι ἀνέχεσθαι ὑπὸ Μαυρικίου βασιλεύεσθαι. ταῦτα ὁ Μαυρίκιος μαθών, μεταστέλλεται τὸν υἱὸν πρὸς ἑαυτόν. Κομεντίολον δὲ τὰ τείχη φρουρεῖν προσέταττε. τὸν δὲ Γερμανὸν σὺν τῷ υἱῷ Θεοδοσίῳ κατητιᾶτο τῶν συμφορῶν αἴτιον γεγονέναι. τοῦ δὲ Γερμανοῦ ἀπολογουμένου, Μαυρίκιος ἔφη· ὦ Γερμανέ, δύο εἰσὶ
P. 242 τεκμήρια τῆς ὑπονοίας μου· τά τε ἐκ τοῦ λαοῦ πρός σε γράμματα, καὶ τοῦ φείδεσθαι τὸν λαὸν τῆς ἀγελαίας ἵππου τῆς νεμομένης σοι εἰς τὰ προάστεια. πάντα γὰρ διήρπασαν, καὶ τῶν σῶν ἐφείσαντο. φείδου, Γερμανέ, τοῦ μηκύνειν τὸν

2. τὸν πολεμοῦντα A, τῶν πολεμούντων vulg. τῇ βασιλείᾳ A. 7. αὐτοῦ add. ex A. 9. εἰ δὲ μὴ ὑπὸ Μαυρικίου βασιλεύεσθαι add. ex A et aliis codd. 13. τὸν δὲ Γ. A, τὸν Γ. δὲ vulg. 18. διήρπασαν A, ἐφήρπασαν vulg. 19. ἐφείσαντο A, ἔφεισαν vulg.

tibi subiiciet. imperator ad haec factionibus significavit: insanientium militum motus indecentes atque seditio nequicquam vos moveant. tum Veneti: deus qui te imperatorem esse iussit cunctos maiestati tuae armis adversantes prosternet. si Romanus sit, qui tam ingrate tecum agit, hunc absque caedis periculo iterum servituti tuae subiiciet. illos itaque armis instructos et blandis verbis delinitos urbis moenia custodire iussit imperator. filio vero imperatoris ad Calicratiam cum Germano socero venatu se exercente, ad ipsum Theodosium, ut imperium suscipiat, litteras dirigunt Romani, si nollet, vel Germanum imperatorem renuntiaturos: non enim diutius posse tolerari Mauricii dominationem. ea re comperta filium ad se advocat Mauricius: moenium vero defensionem Comentiolo commendat. tum Germanum una cum filio Theodosio, ceu imminentium calamitatum auctorem, incusare. Germano crimen excusatione depellente: o Germane, inquit Mauricius, suspicionis meae duo sunt argumenta validissima: a populo nimirum ad te missae litterae, et quod equarum tuarum gregi ad urbis vicina loca pascenti populus idem pepercit. caeteris enim direptis, ex populi in te humanitate res tuae tectae

λόγον, οὐδὲν ἡδύτερον τοῦ διὰ ξίφους τεθνάναι. ὁ δὲ Γερμανὸς εἰς τὸν ναὸν τῆς Θεομήτορος τῶν Κύρου προσέφυγεν. καὶ ὁ βασιλεὺς τοῦτο μαθὼν Στέφανον τὸν εὐνοῦχον ἀπέστειλεν τοῦ ἐξαγαγεῖν τὸν Γερμανὸν τῆς ἐκκλησίας. τοῦ δὲ Στέφανου βιαίως ἐξαγαγεῖν τοῦτον θελήσαντος, οἱ τοῦ Γερμανοῦ ὑπασπισταὶ ἀντικαταστάντες, ἐξωθοῦσι τὸν Στέφανον, καὶ λαβόντες τὸν Γερμανὸν εἰς τὴν μεγάλην ἐκκλησίαν καταφεύγουσιν. ὁ δὲ βασιλεὺς ῥάβδοις ἐμαστίγου Θεοδόσιον τὸν ἑαυτοῦ υἱόν. ἔφασκεν γὰρ δι' αὐτοῦ Γερμανὸν φυγαδευθῆναι· καὶ ἀποστέλλει ἐξκουβίτωρας τοῦ ἐξαγαγεῖν τῆς μεγάλης ἐκκλησίας τὸν Γερμανόν. ἐντεῦθεν θρύλλος μέγας τῇ πόλει ἐνέσκηψεν. ὁ δὲ Γερμανὸς ἠθέλησεν ἐξελθεῖν, καὶ δοῦναι ἑαυτόν. τὰ δὲ πλήθη οὐ κατεδέξαντο, ἀλλ' ὕβρεσι μεγάλαις τὸν βασιλέα ἠτίμασαν, λέγοντες· μὴ σχοίη δέρμα, ὁ φιλῶν σε Μαυρίκιε Μαρκιανιστά. οἱ τοίνυν τὰ τείχη φρουροῦντες ταῦτα μαθόντες, τῆς φρουρᾶς κατημέλησαν. τότε οἱ τοῦ Πρασίνου μέρους τὴν οἰκίαν τοῦ Κωνσταντίνου, τοῦ λεγομένου Λάρδου, καταφλέγουσιν. ὁ δὲ Μαυρίκιος μεσούσης τῆς νυκτὸς ἀποδυσάμενος τὴν βασιλικὴν στολήν, καὶ ἰδιωτικὴν περιβαλόμενος, εἰς δρόμωνάς τε εἰσελθών, μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ καὶ Κωνσταντίνου, ἀποδιδράσκει. τὰ V. 193

2. εἰς τὰ Κύρου a. 5. βιαίως ἐξαγαγεῖν τοῦτον A, τ. ἐξ. βιαίως vulg. 9. Γερμανὸν add. ex A. 14. ἠτίμασαν A, ἠτίμασαν vulg. σχοίη] ἔσχῃ A f. 19. περιβαλόμενος A, περιβαλλ. vulg.

sartaeque perstiterunt. parce, Germane, sermones ambagibus involvere, morte gladio inferenda nihil mihi iucundius. tum Germanus ad dei genitricis aedem, cui a Cyro factum nomen, confugit. quod ubi rescivit imperator, Stephanum eunuchum, qui Germanum ecclesia educeret, misit. Stephano ad eum eruendum vim adhibente, Germani stipatores contra resistentes, Germanum inde ereptum ad magnam ecclesiam fuga celeri deducunt. interea filium Theodosium virgis caedi iubet imperator. Germanum enim eius consiliis fugam arripuisse causabatur. quare excubitores qui eum ecclesia extrahant, mandat: ex quo tumultus ingens civitatem universam invadit. cum vero Germanus exire, ac se ultro dedere pararet, plebs id minime passa est: quin petulantioribus conviciis in imperatorem invecta, excorietur, exclamavit, qui te diligit, Mauricie Marcianista. istis auditis, qui moenibus defendendis invigilabant, deseruere custodiam. tum vero qui Prasinae parti affecti, Constantini, cui cognomen Lardus, aedem succenderunt. ergo Mauricius imperatoris insignibus et vestibus exutus, privatum induens, media nocte, conscensis dromonibus, cum

δὲ πλήθη δι' ὅλης τῆς νυκτὸς αἰσχίσταις ὕβρεσι τὸν βασιλέα καθύβριζον ἐπέσκωπτόν τε, καὶ τὸν πατριάρχην Κυριακόν. λαῖλαπος τοίνυν γενομένου μεγάλου μετὰ κινδύνων μεγίστων διασώζεται Αὐτόνομος. ἐν αὐτῇ δὲ τῇ νυκτὶ ἐπιτίθενται αὐτῷ καὶ νόσοι ἀρθρίτιδες, ἃς ποδαλγίας καὶ χειραλγίας καλοῦσιν. ἐντεῦθεν ἀποστέλλει Θεοδόσιον τὸν ἑαυτοῦ υἱὸν πρὸς Χοσρόην
D τὸν βασιλέα Περσῶν μετὰ Κωνσταντίνου, ὅπως ὑπομνήσῃ τῶν ὑπὸ Μαυρικίου γεγονότων αὐτῷ, καὶ τὴν ἀνταπόδοσιν τῆς εὐεργεσίας προσνείμῃ τῷ υἱῷ αὐτοῦ. ὁ δὲ Γερμανὸς πέμπει πρὸς Σέργιον τὸν Δήμαρχον τοῦ Πρασίνου μέρους, ὅπως συναγωνίσηται αὐτῷ τοῦ βασιλεῦσαι, ὑποσχόμενος τιμῆσαι τὸ μέρος τοῦ Πρασίνου, καὶ αὐτὸν μεγάλαις ἀξίαις περιβαλεῖν. ὁ δὲ Σέργιος τοῖς ἐπισημοτέροις τοῦ δήμου τοῦτο ἐθάρρησεν. οἱ δὲ τοῦτο οὐ κατεδέξαντο λέγοντες· οὐκ ἄν ποτε Γερμανὸς τῆς τῶν Βενέτων προσπαθείας ἀποστήσεται. οἱ δὲ Πρά-
P. 243 σινοι ἐξελθόντες εἰς τὸ Ῥήγιον μεγάλαις εὐφημίαις ἐτίμων τὸν τύραννον Φωκᾶν, καὶ πείθουσιν αὐτόν, ἐν τῇ Ἑβδόμῃ παραγενέσθαι. πέμπει τοίνυν ὁ Φωκᾶς Θεόδωρον τὸν ἀσηκρήτις, καὶ εἰσελθὼν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἐπανέγνωσεν τῷ

4. αὐτόνομος A. 5. ἐνταῦθα a. 6. Χοσρόην add. ex A. 7. ὑπομνήσῃ τῶν A, ὑπομνησθῇ vulg. 10. τὸν add. ex A. 16. ἐτίμων| εὐφήμουν a. 18. ὁ add. ex A. Ἀσηκρήτην A b, Ἀσηκρήτης a, Ἀσικρίτην f.

uxore, liberis, et Constantino, fuga salutem quaerit. populi vero turmae turpibus verbis et foedis iniuriis per totam noctem imperatorem proscindere, et in ipsum patriarcham Cyriacum dicteria illiberalesque iocos spargere. exorta autem subinde tempestate maxima, Mauricius post varia discrimina ad Autonomum salvus delatus est. eademque nocte morbus articularis, quem a manuum pedumque doloribus, podalgiam, et chiralgiam nuncupant, eum corripuit. exinde Theodosium filium cum Constantino mittit ad Persarum regem Chosroëm, quo beneficii quondam collati memoriam renovaret, et proprio filio grati animi officium rependeret, et gratiae vicem refunderet. interea Germanus ad Sergium Prasinae factionis tribunum delegat, ut is sibi ad derelictum imperium obtinendum operam accommodet, factionem Prasinam multis honoribus aucturum, ipsumque insolitis dignitatibus cumulaturum pollicitus. Sergius cum factionis suae praecipuis consilium communicat: rem vero propositam illi respuentes, nusquam, inquiunt, ea, qua fertur in Venetos propensione Germanus discedet. itaque Prasini Rhegium usque progressi, faustis salutationibus tyrannum Phocam excipientes, ad Hebdomum accedere suadent. Phocas subinde Theodorum a secretis delegat, qui in magnam ecclesiam ingres-

λαῷ, ὅπως ὁ πατριάρχης καὶ οἱ δῆμοι καὶ ἡ σύγκλητος ἀφίκωνται ἐν τῷ Ἑβδόμῳ. τούτου τοίνυν γεγονότος, καὶ πάντων ἐν τῷ Ἑβδόμῳ ἀφικομένων, Κυριακὸς ὁ πατριάρχης ἀπήτησεν τὸν τύραννον ὁμολογίαν περὶ τῆς ὀρθοδόξου πίστεως, καὶ τοῦ ἀτάραχον φυλάξαι τὴν ἐκκλησίαν. ἔδοξεν δὲ ὁ τύραννος τὸν Γερμανὸν εἰς βασιλέα προτρέπεσθαι. τοῦ δὲ Γερμανοῦ κατειρωνευομένου μὴ θέλειν, καὶ τῶν δήμων εὐφημούντων τὸν B τύραννον, ἀναγορεύεται τὸ κακόν· καὶ κύριος τῶν σκήπτρων ὁ τύραννος προχειρίζεται, καὶ κρατεῖ τῆς εὐδαιμονίας ἡ συμφορά, καὶ λαμβάνει τὴν ἔναρξιν τὰ μεγάλα τῶν Ῥωμαίων ἀτυχήματα. ἡ δὲ ἀναγόρευσις τοῦ τυράννου εἰς τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου τοῦ Βαπτιστοῦ ἐγένετο. δύο δὲ ἡμέρας ἐν τούτῳ διατρίψας τῇ τρίτῃ εἰς τὰ βασίλεια εἰσῆλθεν ἐπὶ βασιλικῆς ἁμάξης καθεζόμενος. τῇ δὲ πέμπτῃ ἡμέρᾳ Λεοντίαν C τὴν ἑαυτοῦ γυναῖκα ἔστεψεν αὐγοῦσταν. καταστασιάζουσι τοίνυν τὰ μέρη πρὸς ἄλληλα ταύτῃ τῇ ἡμέρᾳ διὰ στάσεις τόπων. ὁ δὲ τύραννος τὸν Ἀλέξανδρον τὸν συναντάρτην αὐτοῦ ἐξέπεμψεν κατευνάσαι τὰ μέρη. ὁ δὲ Ἀλέξανδρος Κοσμᾷ τῷ τῶν Βενέτων δημάρχῳ χεῖρας ἐπιβαλών, ὥθησέν τε καὶ

2. τούτου — ἀφικομένων] ἀφικομένων δὲ vulg. 3. ὁ add. ex A. 12. ἐγένετο A, γέγονεν vulg. 14. Λεοντιέαν A. 16. διάστασις τόπον A f, διάστασις τόπων a. 18. ἐξέπεμψεν A, ἔπεμψεν vulg.

sus audiente populo ex tabella recitavit, ac iussit, patriarcham, populi factiones, et senatum ad Hebdomum convenire. quo demum facto, cum universi ad Hebdomum se contulissent, Cyriacus patriarcha sponsionem a tyranno exegit, qua se rectam fidem retenturum, ecclesiamque a turbis immunem conservaturum promitteret. porro tyrannus de eligendo in imperatorem Germano simulate consilium iniit. cum vero Germanus dolos mentitus se recusare profiteretur, factionesque interim tyrannum repetitis vocibus promovere non desisterent, pernicies et imperii clades imperator renunciatur. ita tyrannus sceptrorum dominus salutatur, calamitas felicitatis iura obtinet, et Romanorum aerumnae ingentiores ex adversis istis exordiis erumpunt. porro tyranni inauguratio ad Ioannis Baptistae templum peracta est. duos vero dies ibi moratus, tertio tandem imperatorio curru vectus in regiam penetravit. quinto insuper ab adventu die Leontiam uxorem imperiali redimivit corona, et augustam renunciavit. de stationum autem locis dissidentes ab invicem factiones eodem die seditionem moverunt. quare tyrannus Alexandrum conspirationis initae socium ad partes componendas misit. Alexander in Cosmam Venetorum tribunum manu violenter illata, audacius impulit, et

ὕβρισεν. οἱ δὲ Βένετοι ἀγανακτοῦντες, ἔκραζον· ὕπαγε· μάθε τὴν κατάστασιν, ὁ Μαυρίκιος οὐκ ἀπέθανεν. ὁ δὲ τύραννος τούτων ἀκηκοὼς τῶν φωνῶν, ἐπὶ τὸν τοῦ Μαυρικίου φόνον κινεῖται· καὶ ἀποστείλας στρατιώτας, ἤγαγεν αὐτοὺς ἐν Χαλκηδόνι εἰς τὸν Εὐρωπίου λιμένα. καὶ προαναιροῦνται τοῦ βασιλέως οἱ παῖδες οἱ ἄρρενες ἐπ' ὄψεσιν αὐτοῦ πέντε, ἐν-
D τεῦθεν προκολάζων τὸν βασιλέα τῇ τῶν παίδων σφαγῇ· ὁ δὲ Μαυρίκιος φιλοσοφῶν τῷ δυστυχήματι, τὸν ἐπὶ πάντων ἐπεκαλεῖτο θεόν· καὶ πυκνῶς ἐφθέγγετο· δίκαιος εἶ, κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου. γίνεται τοίνυν τῶν παίδων ὁ θάνα-
V. 194 τος τοῦ πατρὸς ἐπιτάφιον προσεπιδειξαμένου τὴν ἀρετὴν ἐν τῷ μεγέθει τῶν συμφορῶν. τῆς γὰρ τιθηνῆς αὐτοῦ κλεψάσης ἕνα τῶν βασιλικῶν μειρακίων, καὶ πρὸς σφαγὴν τὸ ἑαυτῆς ἐπιδούσης, ὁ Μαυρίκιος οὐ κατεδέξατο, ἀλλὰ τὸ ἴδιον ἐπεζήτησεν· φασὶ δέ τινες, ὅτι τούτου σφαγέντος, γάλα σὺν τῷ
αἵματι ἔρρευσεν, ὥστε πάντας τοὺς ὁρῶντας θρηνῆσαι δεινῶς.
P. 244 οὕτω μὲν οὖν ὁ βασιλεὺς καὶ μόνος φύσεως ὑψηλότερος γεγονὼς ὑπαλλάττει τὸν βίον. οὐ διέλιπε δὲ τὴν Ῥωμαίων βα-

3. τῶν· φωνῶν om. A. 8. τῷ δυστυχήματι A, τὸ δυστύχημα vulg. 10. εὐθεῖς vulg. 12. τῆς συμφορᾶς A. κλεψάσης A, σκεπασάσης vulg. 13. πρὸς σφαγὴν τὸ ἑαυτῆς ἐπιδούσης A, πρὸς ψυχὴν ἑαυτὴν ἐπιδοσάσης vulg. 16. ἔρρευσεν A, ἐρεῦσαι vulg. 17. μόνος A, νόμον a, νόμου f, νόμῳ vulg. 18. ὑπαλλάττει A, διαλλάττει vulg.

contumelia prosequutus est: quod gravius ferentes Veneti, discede, exclamant, disce modeste agere: nondum Mauricius periit. tyrannus vocibus istis auditis, de Mauricio quantocius e medio tollendo consilium init: summissosque Chalcedonem milites ad Europii portum descendere, ibique Mauricianae familiae stragem edere imperat. sub imperatoris igitur ipsius oculos liberi eius masculi quinque primo necantur: imperatoris quippe supplicium a filiorum nece tyrannus auspicabatur. Mauricius eam calamitatem forti animo sustinens, deum rerum omnium praesidem frequentius invocans, philosophabatur, crebroque repetebat: Iustus es, domine, et recta iudicia tua. filiis itaque mors illata, sepulchralem honorem patre auspicante: qui videlicet in summis aerumnis summae virtutis speciem exhibuit. cum enim nutrix unum ex imperatoris filiis suffurata proprium eius loco substituisset, non est hoc passus Mauricius, sed suum requisivit. ex iugulati pueri corpusculo lac emanasse, quidam ferunt: quod spectatoribus omnibus acerbissimas lacrimas excussit. sicque tandem imperator, cum lege naturae superiorem se gessit, vitam morte commutavit. ex illo demum tempore calamitates variae ingentesque Romanum im-

σιλείαν ἐξ ἐκείνου καιροῦ δυστυχήματα ποικίλα τε καὶ ἐξαίσια. ὅτε γὰρ Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς τὴν εἰρήνην διέλυσεν, καὶ οἱ Ἄβαρεις τὴν Θρᾴκην διώλεσαν, καὶ ἄμφω τὰ στρατεύματα τῶν Ῥωμαίων διεφθάρησαν, ὥστε, ὁπηνίκα Ἡράκλειος ἐβασίλευσεν, ἐξέτασιν τοῦ ὁπλιτικοῦ ἐποιήσατο εἰς τὸ ἀκριβές, καὶ ἐκ πάσης τῆς πληθύος τῆς εὑρεθείσης ἐπὶ τῆς τυραννίδος Μαυρικίῳ μετὰ Φωκᾶ οὐχ εὗρεν περαιτέρω δύο ἀνδρῶν. οὕτως οἱ τὸν τύραννον προστησάμενοι ἐπὶ αὐτοῦ B ἀνηλώθησαν.

Ῥωμαίων βασιλέως Φωκᾶ ἔτος α'. A.M. 6095

Τούτῳ τῷ ἔτει μηνὶ Νοεμβρίῳ ἰνδικτιῶνι ς' βασιλεύσας Φωκᾶς ὁ τύραννος ἀνεῖλεν, ὡς προλέλεκται, Μαυρίκιον σὺν πέντε παισὶν ἄρρεσιν· καὶ τὰς τούτων κεφαλὰς ἐκέλευσε τεθῆναι ἐν κάμπῳ τοῦ τριβουναλίου ἡμέρας ἱκανάς· καὶ ἐξήρ- C χοντο οἱ τῆς πόλεως, καὶ ἐθεώρουν αὐτάς, ἕως ἐπώζεσαν. ἀναιρεῖται δὲ καὶ Πέτρος ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἄλλοι πολλοί. Θεοδόσιον δὲ τὸν υἱὸν αὐτοῦ λόγος κρατεῖ πεφευγέναι, καὶ σεσῶσθαι. ταύτην δὲ τὴν φήμην Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς ηὔξησεν ἄλλοτε ἄλλως ψευδόμενος, καὶ παρ' ἑαυτῷ τοῦτον ἔχειν λέγων, καὶ προνοεῖν δῆθεν, ἵνα τὴν Ῥωμαίων βασιλείαν παραλάβῃ· δολερῶς δὲ τῆς τῶν Ῥωμαίων βασιλείας

3. οἱ βάρβαροι A. 11. ἰνδικτ. om. A f. 14. καππῳ a f. 19. ἄλλοτε A, ἄλλο τε vulg.

perium labefactare non destiterunt. etenim Chosroës Persarum rex pacem solvit, Abares Thraciam devastaverunt: et uterque Romanus exercitus, quum in oriente, tum in occidente, dissipatus: ita ut cum Heraclius imperator creatus accuratam militum recensionem ageret, de universa multitudine, quae in illa Phocae adversus Mauricium rebellione adfuerat, duos tantum homines superstites reperiret: adeo illi ipsi, qui tyrannum evexerant, sub ipso demum ad internecionem deleti sunt.

Romanorum imperatoris Phocae annus primus. A.C. 595

Hoc anno mense Novembri, indictione sexta, tyrannus Phocas occupato imperio, Mauricium cum quinque masculis liberis, ut praemisimus, occidit, eorumque capita in tribunali campo per plures dies exponi iussit. ex urbe porro prodibant cives, et ad eorum spectacula, donec omnino foeterent, conveniebant. Petrus insuper Mauricii frater e medio tollitur cum aliis plurimis. Theodosium Mauricii filium fuga evasisse, et periculo superstitem vixisse rumor est. hanc vero famam Persarum rex Chosroës variis mendaciis in id confictis pro libito auxit; Theodosium penes se habere simulans, seque subinde procurare, ut paternum reciperet imperium: cum re vera ipse

ἐλπίζων κρατῆσαι, ὡς ἠλέγχθη πολυτρόπως, μάλιστα δὲ ἐκ τοῦ πολέμους αἰφνιδίους κινῆσαι, καὶ μεγάλως λυμήνασθαι
D τὰ Ῥωμαϊκά. τοῦ δὲ Φωκᾶ πρέσβυν πρὸς αὐτὸν ἀποστείλαντος Βίλιον, τοῦτον ἐκράτησεν, καὶ εἰς φυλακὴν ἀπέθετο, μηκέτι εἰς τὰ Ῥωμαϊκὰ ὑποστρέψαι. γράμμασι δὲ ἀτίμοις τὸν Φωκᾶν ἀντημείβετο. Κωνσταντίναν δὲ τὴν βασίλισσαν ἅμα ταῖς τρισὶ θυγατράσι ἐν οἰκίᾳ ἰδιωτικῇ, ἐπιλεγομένῃ τοῦ Λέοντος, ὁ τύραννος κατέστησεν.

Ἐν Ἀλεξανδρείᾳ δὲ τῇ πόλει καλλιγράφος τις εὐλαβὴς ἐκ παννυχίδος οἴκαδε πορευόμενος μεσούσης τῆς νυκτὸς ὁρᾷ τοὺς ἀνδριάντας ἐκ τῶν βωμῶν καθελκυσθέντας, καὶ μεγάλῃ τῇ φωνῇ λέγοντας· ἀναιρεῖσθαι Μαυρίκιον καὶ τὰ τέκνα
P. 245 αὐτοῦ, καὶ πάντα τὰ ἐν Βυζαντίῳ πραχθέντα συμπτώματα. πρωΐας δὲ ἀπελθὼν ὁ ἀνὴρ τῷ αὐγουσταλίῳ ταῦτα διηγήσατο. ὁ δὲ παρήγγειλεν αὐτῷ μηδενὶ ταῦτα κατάδηλα ποιῆσαι. ἀπογραψάμενος δὲ τὴν ἡμέραν ἐκαραδόκει τὴν ἔκβασιν. ἐνάτῃ δὲ ἡμέρᾳ ὁ ἄγγελος κατέλαβεν μηνύων τὴν Μαυρικίου ἀναίρεσιν. τότε αὐγουστάλιος τὴν τῶν δαιμόνων πρόρρησιν ἐπὶ λαοῦ ἐθριάμβευσεν.

2. αἰφνιδίους A, αἰφνιδίου vulg. 4. βιβλίον A. 5. ὑποστρέψαι A b f, ὑποστρέψαντα vulg. 6. ἀντημείβετο A a f, ἀντιμείβεται vulg. 7. ἐπιλεγομένῃ A, λεγομένῃ vulg. τῶν Λέοντος A. 10. μεσούσης τῆς A, μέσης vulg. 13. πραχθέντα add. ex A. 14. ταῦτα A, πάντα vulg. 15. μηδενὶ A, μηδεν vulg. 16. ἀπογραψάμενος A, γραψ. vulg.

de usurpando Romanorum imperio cogitaret: quemadmodum se ipsum variis demum modis prodidit, bella maxime ex improviso in Romanos inferendo, eorumque ditiones foede diripiendo. cum vero Phocas Bilium legatum ad eum misisset, comprehensum deiecit in carcerem, nusquam deinceps in Romanam ditionem reversurum: et litteris omnino indecoris Phocae responsum dedit. caeterum imperatricem Constantinam cum filiabus tribus, in domo privata, cui Leonis nomen, tyrannus inclusit.

In Alexandria porro civitate ex scriptoribus eximiis quispiam vir religiosus ex festivo pervigilio nocte media domum remeans videt statuas suis basibus dilapsas in terram ferri, et Mauricium eiusque liberos e medio sublatos, et cuncta, quae Byzantii acciderant, clara voce enunciantes audit. visa et audita mane ad augustalem profectus enarrat. comminatur ille nulli haec faceret manifesta. die vero notato et attentius observato exitum expectavit. nono postmodum die nuncius Mauricii caedem evulgaturus advenit, ac simul tunc daemoniorum vaticinia augustalis in publicum sparsit.

Ναρσῆς δ τῶν Ῥωμαϊκῶν γενόμενος στρατηγὸς κατὰ τοῦ V. 195
τυράννου ἀντῆρεν, καὶ τὴν Ἔδεσσαν ἐκράτησεν. γράφει τοί-
νυν Φωκᾶς Γερμανῷ τῷ στρατηγῷ πολιορκῆσαι τὴν Ἔδεσσαν.
ὁ δὲ Ναρσῆς γράφει Χοσρόην τὸν πρὸς βασιλέα Περσῶν
ἀθροῖσαι δυνάμεις καὶ κατὰ Ῥωμαίων συστήσασθαι πόλεμον.
ἐποίησε δὲ Φωκᾶς τὸν ἴδιον ἀδελφὸν Δομεντζίολον μάγιστρον, B
καὶ τὸν Πρίσκον κόμητα ἐξκουβιτόρων.

Τούτῳ τῷ ἔτει μηνὶ Δεκεμβρίῳ ζ ἰνδικτιῶνι ζ προῆλθεν A.M. 6096
Φωκᾶς ἐν ταῖς ἑορταῖς ῥίψας ὑπατείαν πολλήν. Χοσρόης δὲ
βασιλεὺς τῶν Περσῶν συναθροίσας δύναμιν πολλὴν κατὰ
Ῥωμαίων ἐξαπέστειλεν. ὁ δὲ Γερμανὸς ἀκούσας ἐφοβήθη,
ἀναγκαζόμενος δὲ τοῦ πολέμου ἀπήρξατο. τοῦ δὲ Γερμανοῦ
ἐν τῷ πολέμῳ πληγέντος, οἱ ὑπασπισταὶ τοῦτον διέσωσαν μέ-
χρι Κωνσταντίνης, καὶ ἡττῶνται Ῥωμαῖοι· ἐνδεκάτῃ δὲ
ἡμέρᾳ καὶ ὁ Γερμανὸς ἐτελεύτησεν. ὁ δὲ Φωκᾶς τὰς δυνά- C
μεις ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν μετέφερεν, τῷ Χαγά-
νῳ τὰ πάκτα ἐπανῄσας, νομίζων ἠρεμεῖν τῶν βαρβάρων τὸ
ἔθνος. τούτας δὲ διελὼν κατὰ Περσῶν ἀπέστειλεν, τὰς δὲ
πρὸς τὴν πολιορκίαν Ἐδέσσης κατὰ Ναρσοῦ σὺν Λεοντίῳ
εὐνούχῳ καὶ μεγιστάνῳ αὐτοῦ. ὁ δὲ Χοσρόης συναθροίσας

4. πρὸς Χοσρόην τὸν βασ. Περσ. A, πρὸς βασ. Π. τὸν X. vulg.
8 προῆλθεν A, προσῆλθεν vulg. 18. δὲ ἐλθὼν b, διελθὼν f, διαβιβάσας A, sed in litura: διελθών.

Caeterum Narses Romani dux exercitus rebellionem in tyannum movit, et Edessam occupavit. quare Phocas Germano duci Edessam obsideat, litteris praecipit. Narses Persarum regem Chosroës ut collecto exercitu in Romanos bellum moveat scriptis sollicitat. Phocas autem Domentziolum proprium fratrem magistrum, Priscum vero comitem excubitorum instituit.

Hoc anno mensis Decembris die septimo indictione septima, ad A.C. 596
solitas festorum solemnitates, sparsis in populum pro consulum more nummis processit. rex autem Persarum Chosroës collectas copias misit in Romanos. Germanus autem eo nuncio accepto extimuit: et necessitate compulsus bello principium dedit. illum vero eo in bello vulneratum stipatores Constantinam deduxere: victis alioqui Romanis. mox undecimo die a vulnere accepto Germanus diem extremum obiit. Phocas porro auctis ex foederis pacto faciendis Chagano donis, barbaros ea ratione quietem ac pacem servaturos sperans copias omnes ex Europa in Asiam transmisit. divisas autem turmas partim in Persas, partim in Narsetem sub Leontio eunucho et optimate ad obsidendam Edessam destinavit. Chosroë cum instructis aciebus Daras

δυνάμεις ἐπὶ τὸ Λαρᾶς γίνεται. Ναρσῆς δὲ ἐξελθὼν Ἐδέσσης ἐπὶ τὴν Ἱεράπολιν κατέφυγεν. ὁ δὲ Χοσρόης σὺν τοῖς Ῥωμαίοις γίνεται εἰς τὸ Ἀρξαμοῦν. καὶ φρούριον ἀπὸ ἐλέφαντος συστησάμενος τοῦ πολέμου ἀπήρξατο, καὶ νίκην μεγάλην ἤρατο, πολλοὺς Ῥωμαίων ζωγρήσας, οὓς καὶ ἀπέτεμεν. τούτων οὕτω πραχθέντων ὁ Χοσρόης ἐπὶ τὴν ἑαυτοῦ γῆν ἐπανέζευξεν Ζογγόῃ τὰς δυνάμεις καταλιπών. τοῦτο μαθὼν ὁ Φωκᾶς κατὰ Λεοντίου ἐμάνη, καὶ χειροπέδαις σιδηραῖς ἀτίμως αὐτὸν ἐν Βυζαντίῳ φέρει, καὶ χειροτονεῖ στρατηγὸν Δομεντζίολον τὸν ἴδιον ἀνεψιόν, ὃν καὶ κουροπαλάτην ἐποίησεν.

A.M. 6097 Τούτῳ τῷ ἔτει ἀπέστειλεν Χοσρόης Καρδαρῖγαν καὶ Ῥουσμιάζαν, καὶ ἐπόρθησεν πολλὰς τῶν Ῥωμαίων πόλεις. ὁ δὲ Δομεντζίολος λόγον δοὺς τῷ Ναρσῇ καὶ ὅρκοις πολλοῖς
P. 246 πείσας αὐτὸν μηδεμίαν ἀδικίαν παρὰ τῷ Φωκᾷ ὑπομένειν, ἀπέλυσεν αὐτὸν πρὸς Φωκᾶν. ὁ δὲ Φωκᾶς μὴ φυλάξας τὸν λόγον τοῦτον πυρὶ κατέκαυσεν. ἐν λύπῃ οὖν μεγάλῃ γεγόνασιν οἱ Ῥωμαῖοι, ὅτι φόβον μέγαν εἶχεν εἰς Πέρσας ὁ Ναρσῆς, ὥστε τὰ τέκνα τῶν Περσῶν ἀκούοντα τὸ ὄνομα Ναρσοῦ τρέμειν.

A.M. 6098 B Κωνσταντινουπόλεως ἐπισκόπου Θωμᾶ ἔτος α'.

2. ἱερὰν πόλιν a. κατέφυγεν A, διέφυγεν vulg. 3. Ἀρξαμοῦν A a f, Ἀρζαμοῦν vulg. ἐλεφάντων e. 13. πολιτείας A. 14. λόγον δοὺς A, λόγοις vulg. 16. ἀπέστειλεν a. 17. οὖν A, δὲ vulg.

profecto, Narses Edessa profugus Hierapolim contendit. tum vero Chosroës ad Arzamum Romanis occurrit, et elephantis castrorum in morem ordinatis, belli dat exordia, et insignem refert victoriam, captis Romanis quamplurimis, quos etiam capite mulctavit. his ita gestis, Chosroës Zongoi cura exercitus commissa, in propriam ditionem rediit. eo cognito Phocas in Leontium ira invectus, ferreis manicis devinctum Byzantium adduci iubet, Domentziolo proprio nepote, quem deinde curopalatem declaravit, duce exercitus instituto.

A. C. 597 Hoc anno Chosroës Cardariga et Rusmiaza missis Romanorum urbes plurimas devastavit. Domentziolus autem verborum et iusiurandi data Narseti fide, et mali nequidquam a Phoca passurum pollicitus, virum ad Phocam Cpolim destinavit. at Phocas spreto dato fidei iuramento, ipsum igne combussit. ea res Romanis tristitiam induxit ingentem: metuebant enim Persae Narsetem adeo, ut Persarum pueri solo Narsetis nomine audito deterrerentur et exhorrescerent.

A. C. 598 Cpoleos episcopi Thomae annus primus.

Τούτῳ τῷ ἔτει σχολαστικὸς εὐνοῦχος ἀνὴρ ἔνδοξος τοῦ παλατίου μεσούσης νυκτὸς Κωνσταντίναν τὴν δέσποιναν σὺν ταῖς τρισὶ θυγατράσιν αὐτῆς λαβών, εἰς τὴν μεγάλην ἐκκλησίαν κατέφυγεν τῇ βουλῇ Γερμανοῦ τοῦ πατρικίου ὀρεγομένου τὴν βασιλείαν. γίνεται τοίνυν ἐν τῇ πόλει στάσις μεγάλη. οἱ δὲ Πράσινοι ἀθροισθέντες ἐπὶ τὸν Κοχλίαν, ἐδυσφήμουν τὴν V. 196
Κωνσταντίναν· ὁ δὲ Γερμανὸς τῷ δημάρχῳ τῶν Πρασίνων τάλαντον χρυσίου ἀπέστειλεν, ὥστε συνεργῆσαι αὐτοῖς. τὰ δὲ πρωτεῖα τοῦ δήμου οὐ κατεδέξαντο τοῦτο. ὁ δὲ τύραννος ἔπεμψεν εἰς τὴν ἐκκλησίαν τοῦ ἀποσπάσαι τὰ γύναια· ὁ δὲ πατριάρχης Κυριακὸς ἀντικαθίστατο τῷ τυράννῳ, μὴ καταδε- C
ξάμενος ἐκ τοῦ ναοῦ ἀποσπάσαι τὰ γύναια τυραννικῶς. ὅρκοις δὲ βεβαιωθεὶς ὑπὸ τοῦ Φωκᾶ, ὡς οὐκ ἀδικήσει αὐτάς, ἐξάγονται τοῦ ἁγίου τεμένους, καὶ ἐν μοναστηρίῳ ἐγκλείονται· τὸν δὲ Γερμανὸν ἀποκείρας ἐν ἱερεῦσι κατέταξεν, καὶ ἐν τῷ ἰδίῳ οἴκῳ παρεφύλαττεν. τότε καὶ Φιλιππικὸς τὴν κόμην ἐλόμενος ἱερωσύνης ἀξίαν ἔλαβεν, καὶ ἐν Χρυσοπόλει ἐν τῷ μοναστηρίῳ, ὃ ἔκτισε, διέτριβεν. οἱ δὲ Πέρσαι ἐν τούτῳ τῷ ἔτει παρέλαβον τὸ Δαρᾶς, καὶ πᾶσαν τὴν Μεσοποταμίαν καὶ Συρίαν, αἰχμαλωσίαν πολλὴν ποιήσαντες, ἧς οὐκ ἔστιν ἀρι-

4. τῇ add ex A. 10. τὸ ἀποσπ. A. 11. ἀντικαθ. A, ἀντεκαθ. vulg. 12. ἐκ τοῦ ναοῦ add. ex A. 15. καὶ ἐν τ. ἰδ. ο. παρεφ. add. ex A. 16. καὶ post τότε add. ex A. 17. ἔλαβεν A, ἐνέβαλεν vulg. τῷ add. ex A.

Hoc anno scholasticus eunuchus vir in palatio clarus, Constantina imperatrice cum filiabus tribus mediae noctis silentio educta, Germani patricii imperium ambientis consilio, ad magnam ecclesiam confugit. magna itaque per urbem seditio exoritur. Prasini etenim ad Cochliam collecti, diris et execrationibus Constantinam insectabantur; quamvis Germanus ad suppetias sibi ferendas eos adducturus ad Prasinorum tribunos auri talentum dono misisset, oblatum tamen factionis principes respuerunt. quare mulierculas illas templo educendas tyrannus iussit: at patriarcha Cyriacus tyranno se opposuit, mulierculas ab ecclesia tyrannice avelli minime passus. iuramentis autem a Phoca interpositis, securus redditus nil indignum laturas, sacris septis extrahuntur, et in monasterio includuntur: Germanus autem deposita coma ad presbyterorum ordinem eius iussu adlectus et in ipsius domo custoditus est. Philippicus etiam crinibus attonsis sacerdotii dignitatem assequutus est, et Chrysopoli in monasterio a se extructo moram egit. caeterum hoc anno Persae Daras urbem cepere, Mesopotamiamque universam et Syriam excurrentes praedam haud facile numerandam secum avexere. patriarcha porro Cyriaco vivis

θμός. τοῦ δὲ πατριάρχου Κυριακοῦ τελευτήσαντος, Θωμᾶς
D χειροτονεῖται ἀντ' αὐτοῦ, διάκονος καὶ σακελλάριος ὢν τῆς
αὐτῆς ἐκκλησίας μηνὶ Ὀκτωβρίῳ ια'.

A.M. 6099 Ἀλεξανδρείας ἐπισκόπου Θεοδώρου ἔτος α'.

Τούτῳ τῷ ἔτει Φωκᾶς ὁ τύραννος ἔζευξεν τὴν αὐτοῦ Θυ- 5
γατέρα Δομεντζίαν Πρίσκῳ τῷ πατρικίῳ καὶ κόμητι τῶν ἐξ-
κουβιτόρων, καὶ γενομένου τοῦ γάμου ἐν τῷ παλατίῳ τῶν Μα-
ρίνης, ἐκέλευσεν ἱππικὸν ἀχθῆναι. οἱ δὲ δήμαρχοι τῶν δύο
P. 247 μερῶν ἐν τοῖς τετρακίοσιν σὺν τῶν βασιλικῶν λαυράτων ἔστη-
σαν Πρίσκου καὶ Δομεντζίας λαυράτα. ταῦτα ἰδὼν ὁ βασι- 10
λεὺς ἠγανάκτησεν, καὶ πέμψας τοὺς δημάρχους Θεοφάνην καὶ
Πάμφιλον, καὶ στήσας αὐτοὺς γυμνοὺς εἰς τὸ στόμα, ἐκέλευ-
σεν ἀποτμηθῆναι αὐτούς. πέμψας δὲ τὸν πρωτοκούρσορα
αὐτοῦ, ἠρώτα αὐτούς· τίνος ἐπιτρέψαντος τοῦτο πεποιή-
κασι; οἱ δὲ εἶπον, ὅτι κατὰ συνήθειαν οἱ γραμμισταὶ τοῦτο 15
πεποιήκασι. ὁ δὲ δῆμος καὶ οἱ ὄχλοι ἔκραζον· φιλανθρώπου
δεσπότου πολλὰ τὰ ἔτη. οἱ δὲ γραμμισταὶ ἐρωτηθέντες, διὰ
B τί τοῦτο πεποιήκασι; ἔφησαν· ὅτι τοῦ βασιλέως τέκνα ὀνο-
μασθέντα ὑπὸ πάντων ἡμεῖς ἀφ' ἑαυτῶν τοῦτο πεποιήκαμεν.
ὁ δὲ Πρίσκος φόβῳ συνεχόμενος, τὴν ἀγανάκτησιν ἐδειλίασε τοῦ 20

11. πέμψας ἤγαγε τοὺς a. 14. πρωτοκούρσορα A. 15. πεποιήκασι A, πεποίηκαν vulg. 16. οἱ δὲ εἶπον — — — πεποιήκασι om. A. 16. ὄχλοι A, λαοὶ vulg. 20. συνεχόμενος A, κατεχ. vulg.

erepto Thomas, diaconus et sacellarius eiusdem ecclesiae mensis Octobris die undecimo in eius locum sufficitur.

A. C. 599 Alexandriae episcopi Theodori annus primus.

Hoc anno tyrannus Phocas Prisco patricio et excubitorum comiti filiam Domentiam in matrimonium locavit, celebratisque in Marinae palatio nuptiis equestre certamen agi iussit. ab utriusque vero factionis tribunis Prisci et Domentiae imagines inter alias imperatoris laureatas, ad columnas quatuor erectas cum vidisset imperator ira motus est, et Theophanem Pamphilumque factionum principes accitos, nudatisque corporibus in faciem ac terram iacentes capite truncari decernit. protocursore etiam ad eos misso sciscitabatur, cuius consiliis id attentassent. responderunt illi: fictores, quod more receptum est, moliti sunt. factionis autem grex, reliquusque populus vociferatus: clementissimo domino, inquit, multos annos. fictores interrogati, cur opus huiusmodi aggressi fuissent, filios, inquiunt, imperatoris ab omnibus faustis acclamationibus acceptos ac ita nominatos, nos proprio consilio ita delineavimus. Priscus autem re gesta

βασιλέως. τῶν δὲ ὄχλων κραζόντων φιλανθρωπευθῆναι αὐτοῖς, συνεχώρησεν ὁ Φωκᾶς· ἔκ τοτε οὖν μηνίσας ὁ Πρίσκος οὐκ ἦν ἐν ὀρθότητι μετὰ Φωκᾶ. γυνὴ δέ τις ὀνόματι Πετρωνία γίνεται τῇ βασιλίσσῃ Κωνσταντίνῃ ὡς ἀντὶ διακόνου πρὸς Γερμανὸν ἐκ Κωνσταντίνης τὰς ἀποκρίσεις ποιουμένη· τῆς δὲ φήμης πλατυνομένης Θεοδόσιον ζῇν τὸν υἱὸν τοῦ Μαυρικίου ἐλπίδας ἀγαθὰς ἥ τε Κωνσταντίνα καὶ ὁ Γερμανὸς εἶχεν ἐπὶ τούτῳ· ἡ δὲ ἀνοσία Πετρωνία τῷ τυράννῳ ταῦτα κατάδηλα πεποίηκεν. ὁ δὲ τύραννος Κωνσταντίναν Θεοπέμπτῳ τῷ ἐπάρχῳ πρὸς βάσανα ἔδωκεν· ἡ δὲ βασανιζομένη Ῥωμανὸν τὸν πατρίκιον γινώσκειν τὰ παρ' αὐτῶν λαλούμενα ὡμολόγησεν. V. 197
οὗτος δὲ καταισχεθεὶς συγκατέθετο καὶ ἄλλους εἶναι συνεργοὺς αὐτοῦ πρὸς τὴν τοῦ τυράννου ἐπιβουλήν. κατεσχέθη δὲ καὶ ὁ Θεόδωρος ὁ τῆς ἀνατολῆς ἔπαρχος, ὃν ὁ τύραννος βουνεύροις μαστίζων ἀνεῖλεν. Ἐλπιδίου δὲ τὰς χεῖρας καὶ τοὺς πόδας κόψας τῷ πυρὶ τοῦτον παρέδωκεν, τὸν δὲ Ῥωμανὸν ἀπεκεφάλισεν, τὴν δὲ Κωνσταντίναν σὺν ταῖς τρισὶ θυγατράσιν ἐν τῷ μούλῳ Εὐρωπίου, ἔνθα καὶ Μαυρίκιος ἀνῃρέθη, ξίφει

1. ὄχλων A, λαῶν vulg. 2. μηνιάσας A. 7. ἀγαθὰς A, ἀγαθοὺς vulg. 8. τούτῳ A, τούτων vulg. ταῦτα κατ. A, κατ. τ. vulg. 9. ἐπάρχῳ A, ὑπάρχῳ vulg. 10. τὸν add. ex A. 12. οὗτος δὲ A, ὁ δὲ vulg. καὶ add. ex A. 14. ἔπαρχος A b, ὕπαρχος vulg. ὃν ὁ τύρ. hinc usque ad pag. 259, D. omnia interciderunt in cod. A. 17. ἐν τῷ βούλῳ e f.

deterritus, ab imperatoris indignatione sibi cavebat. cuncta vero plebe veniam illis concedi crebris vocibus exclamante, Phocas delictum remisit. ab eo itaque momento alta mente repositam offensam Priscus gerens cum Phoca sincere et ex animo rem nullam tractabat. caeterum mulier quaedam cognomento Petronia tabellarii famuli vices gerens Constantinae ad Germanum utrinque dicta responsaque referebat. cum autem rumor increbresceret Theodosium Mauricii filium inter vivos adhuc superesse, magnam novandarum spem rerum eo nuncio Germanus et Constantina animis fovebant. nefaria vero Petronia quae gerebantur tyranno facit manifesta. quare Constantinam suppliciis examinandam praefecto Theopempto tyrannus commisit. illa tormentorum vi compulsa Romanum patricium dictorum ad invicem collatorum conscium ac participem fatetur. is pariter examinatus alios insuper ad insidias tyranno parandas adiutores sibi fuisse denunciat. comprehensus est etiam Theodorus orientis praefectus, quem tyrannus taureis caesum neci tradidit: ad haec Elpidium manibus et pedibus truncatum igne absumsit, Romano caput abscidit, Constantinam autem cum tribus filiabus ad Europii portus aggerem,

ἀπέτεμεν. τὸν Γερμανὸν δὲ καὶ τὴν τούτου θυγατέρα ἐν τῇ Πρώτῃ νήσῳ στόματι μαχαίρας ἀπέκτεινεν. ὁμοίως δὲ καὶ Ἰωάννην Τζίτζαν καὶ πατρίκιον, καὶ Θεοδόσιον τὸν τὴν Ἀβδιουμᾶν περικείμενον ἀξίαν, καὶ Ἀνδρέαν τὸν Σκόμβρον, καὶ Δαβὶδ τὸν χαρτοφύλακα τῶν Ὁρμίσδου.

Τῷ δ' αὐτῷ χρόνῳ οἱ Πέρσαι τὸν Εὐφράτην περάσαντες, πᾶσαν τὴν Συρίαν καὶ Παλαιστίνην καὶ Φοινίκην αἰχμαλώτευσαν, πολλὴν ἅλωσιν ἐν Ῥωμαίοις ποιήσαντες.

A.M.6100 P.248 Τούτῳ τῷ ἔτει ὁ Πρίσκος μὴ ὑποφέρων ὁρᾶν τοὺς ἀδίκους φόνους καὶ τὰ ὑπὸ Φωκᾶ γινόμενα, ἔγραψεν πρὸς Ἡράκλειον τὸν πατρίκιον καὶ στρατηγὸν Ἀφρικῆς, ὥστε ἀποστεῖλαι Ἡράκλειον τὸν υἱὸν αὐτοῦ καὶ Νικήταν τὸν υἱὸν Γρη-
B γορᾶ τοῦ πατρικίου καὶ ὑποστρατήγου αὐτοῦ, ὅπως ἔλθωσιν κατὰ τοῦ τυράννου Φωκᾶ· ἤκουεν γὰρ μελετωμένην ἐν Ἀφρικῇ κατὰ Φωκᾶ ἀνταρσίαν· ὅθεν οὐδὲ τὰ πλοῖα τῆς Ἀφρικῆς ἐν τούτῳ τῷ χρόνῳ ἀνέβαλον. ἀπέκτεινεν δὲ Φωκᾶς πᾶσαν τὴν συγγένειαν Μαυρικίου καὶ Κομεντίολον τὸν στρατηγὸν τῆς Θράκης, καὶ ἄλλους πολλοὺς ἀνηλεῶς. ἐγένετο δὲ ἐν τῷ χρόνῳ τούτῳ θανατικὸν καὶ κνιπία παντὸς εἴδους. οἱ δὲ Πέρσαι

3. Ἰωάννην καὶ Τζήταν a, Ἰω. Τζίταν f. τὴν om. b. 4. Ἀὐδιουμᾶν f. καὶ Ἀνδρέαν τὸν Σκόμβρον a, καὶ Ἀνδρέαν τὸν Κόσμαρον e, καὶ Ἀνδρέαν τὸν Κοσμυρὸν f, καὶ Σκόβαρον vulg. 5. τῶν Ὁρμ. a. 10. καὶ τὰ κατὰ τὰ ὑπὸ Φ. vulg. 19. κνιπία] σκνηπία a, σκηπία coni. Goar.

ubi Mauricius trucidatus, gladio percussit, Germanumque cum eius filia ad Proten insulam iugulo machaera abscisso perire iussit. similiter Ioannem Tzitzam patricium, et Theodosium subadiuvae dignitate insignem, Andream quoque Scombrum, et Davidem Hormisdarum palatii chartophylacem e medio sustulit immaniter.

Eodem etiam anno Persae Euphratem transgressi, Syriam universam, et Palaestinam, atque Phoeniciam populati sunt: ingentemque stragem atque praedam in Romanorum ditione fecere.

A. C. 600 Hoc anno Priscus nefarias caedes et Phocae perpetrata scelera ferenda non amplius ratus, Heraclio patricio Africae duci Heraclium filium, et Gregorae patricii legati sub eo militantis filium nomine Nicetam, Phocae tyrannidi sese opposituros, ad se mittat scribit: audiebat enim adversus Phocam in Africam parari seditionem, ex quo Africae navigia per totum id tempus Cpoli non appulere. caeterum Phocas universos Mauricii consanguineos, et Comentiolum Thraciae ducem, et alios plures crudeliter interfecit. sub id vero tempus mortalitas et omnium rerum penuria ingruit. Persae vero Gardarega du-

ἐξῆλθον σὺν τῷ Καρδαρίγᾳ, καὶ παρέλαβον τὴν Ἀρμενίαν καὶ Καππαδοκίαν, καὶ πολεμήσαντες ἔτρεψαν τὰ τῶν Ῥωμαίων στρατεύματα· καὶ παρέλαβον τὴν Γαλατίαν καὶ τὴν Παφλαγονίαν· καὶ ἦλθον μέχρι Χαλκηδόνος λυμαινόμενοι ἀφειδῶς πᾶσαν ἡλικίαν. καὶ οἱ μὲν Πέρσαι ἔξω τῆς πόλεως ἐτυράννουν Ῥωμαίους· ὁ δὲ Φωκᾶς ἔνδον τὰ χείρονα αὐτοῖς ἐποίει φονεύων καὶ αἰχμαλωτίζων. C

Κωνσταντινουπόλεως ἐπισκόπου Σεργίου, Ἱεροσολύμων Ζαχαρίου, Ἀλεξανδρείας Ἰωάννου ἔτος α'. A.M. 6101

Τούτῳ τῷ ἔτει ἀστατήσαντες οἱ Ἀντιοχεῖς Ἑβραῖοι στάσιν ἐποιήσαντο κατὰ Χριστιανῶν, καὶ ἀποσφάζουσιν Ἀναστάσιον τὸν μέγαν πατριάρχην Ἀντιοχείας, βαλόντες τὴν φύσιν αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ· καὶ μετὰ τοῦτο σύραντες αὐτὸν ἐπὶ τὴν μέσην ἐφόνευσαν, καὶ πολλοὺς κτητόρων, καὶ ἔκαυσαν αὐτούς. ὁ δὲ Φωκᾶς ἐποίησεν κόμητα ἀνατολῆς Βόνοσον καὶ Κόττονα στρατηλάτην, καὶ ἀπέστειλεν αὐτοὺς κατ' αὐτῶν. ἐπισυνάξαντες δὲ στρατεύματα ἐπῆλθον αὐτοῖς, καὶ ἐφόνευσαν πολλούς, καὶ ἠχρωτηρίασαν, καὶ τῆς πόλεως ἐξέρριψαν. ὁ δὲ Φωκᾶς ἐποίησεν ἱππικόν, καὶ οἱ Πράσινοι ὕβρισαν αὐτόν, λέγοντες· πάλιν εἰς τὸν καῦχον ἔπιες· πάλιν τὸν νοῦν * ἀπέλεκες· καὶ ἐπέτρεψεν Κώνσταν τὸν ὕπαρ- D V. 198

16. Κόττανα a, Κοττανῖαν f. 21. ἀπέλεκες] ἀπόλεσες a, fort. ἀπώλεσας. 21. fort. Κώνσταντα.

cente exercitum, expeditione suscepta, Armeniam, Cappadociamque cepere, et inito certamine Romanas prostraverunt acies, et Galatia, Phalagoniaque occupata, et omnibus devastatis, nullo aetatis aut sexus habito discrimine Chalcedonem usque devenere. atque ita Persae extra urbem tyrannidem in Romanos exercuere: Phocas interius domesticum accendebat bellum, idque crudelius, civibus interfectis et in carcerem detrusis.

Cpoleos episcopi Sergii, Hierosolymorum Zachariae, Alexandriae Ioannis annus primus. A. C. 601

Hoc anno seditione mota, Hebraei Antiochenses tumultuati sunt, et Anastasio magno Antiochiae patriarcha occiso, virilia in eius os inseruerunt, et per medias urbis vias raptatum interfecerunt, pluresque opulentiores cives summisso domibus igne absumpserunt. Bonosum autem orientis comitem creatum et Cottonem militiae magistrum adversus eos in aciem procedere iussit: qui copiis eductis, impetu in eos facto, quosdam interfecerunt, membris mutilaverunt alios, quos demum urbe fecerunt extorres. porro equestribus ludis a Phoca populo datis, Prasini ei palam conviciati sunt, vociferantes: iterum caliculo

χον τῆς πόλεως, καὶ πολλοὺς ἠκρωτηρίασεν, καὶ τὰ μέλη αὐτῶν ἐν τῇ σφενδόνῃ ἐκρέμασεν. ἄλλους δὲ ἀπεκεφάλισεν, καὶ ἑτέρους P. 249 ἐν σάκκοις βαλὼν ἐν τῇ θαλάσσῃ ὑπέπνιξεν. πορευθέντες δὲ οἱ Πράσινοι ἔβαλον πῦρ εἰς τὸ πραιτώριον, καὶ ἔκαυσαν τὸ σκρίτον καὶ τὰ σκρίνια καὶ τὰς φυλακάς. καὶ ἐλθόντες οἱ ἐν ταῖς φυλακαῖς ἔφυγον. καὶ θυμωθεὶς ὁ Φωκᾶς ἐκέλευσεν τοὺς Πρασίνους μηκέτι πολιτεύεσθαι. Ἡράκλειος δὲ στρατηγὸς Ἀφρικῆς ἐνοχλούμενος ὑπὸ τῆς συγκλήτου, ἐξώπλισεν τὸν υἱὸν αὐτοῦ Ἡράκλειον τοῦ ἀπολῦσαι κατὰ Φωκᾶ τοῦ τυράννου· ὁμοίως δὲ καὶ ὁ ὑποστράτηγος αὐτοῦ Γρηγορᾶς ἀπέλυσεν τὸν B υἱὸν αὐτοῦ Νικήταν στοιχήσαντες, ἵνα ὅς τις προλάβοι καὶ νικήσοι τὸν τύραννον, βασιλεύσῃ.

Τῷ δ' αὐτῷ ἔτει γέγονε χειμὼν μέγας πάνυ, ὥστε παγῆσαι τὴν θάλασσαν· ἐν οἷς καὶ ἰχθὺς πολὺς ἐξερρίφη. τότε Φωκᾶς Μακρόβιον τὸν Σκρίβωνα ἐκέλευσεν τοξευθῆναι εἰς τὴν ἀγοραίαν καὶ εἰς τὸ καστέλλιν τῶν Θεοδοσιανῶν ἐν τῷ Ἑβδόμῳ κρεμασθέντα εἰς τὸ κοπάριν εἰς ὃ γυμνάζονται οἱ τύρωνες ἀποθανεῖν, ὡς συγγνώσαντα τῇ ἐπιβουλῇ αὐτοῦ. Θεόδωρος γὰρ ὁ ὕπαρχος Καππαδόκης καὶ Ἐλπίδιος ὁ ἐπάνω τοῦ ἁρμαμέντου, καὶ ἕτεροι διάφοροι ἐπιβουλὴν ἐποίησαν ἀνελεῖν ἐπὶ

2. εἰς τὴν ἀγορὰν b.

bibisti, atque iterum sensum amisisti. ex eius itaque iussu Constans urbis praefectus multis extrema membra decurtavit, eaque ad circi metam suspendit: alios autem capite mulctavit, et alios tandem saccis inclusos in pelagi profundum egit praecipites. at Prasini ad invicem collecti ignem praetorio subiecerunt, secretumque scrinia, et carceres incenderunt: adeo ut qui custodia tenebantur libertatem fuga reciperent. iratus subinde Phocas Prasinos, ne publicis reipublicae muneribus fungi possent, damnavit. porro Heraclius Africae praefectus a senatu frequenter sollicitatus, Heraclium filium classe ac militibus instruxit, ut adversus tyrannum Phocam procederet: legatus pariter eius in praefectura Gregoras filium Nicetam armavit, et Cpoli ablegavit, iis cum Heraclio pacti conditionibus initis, ut qui alium praeveniret, et tyrannum devinceret, is imperium consequeretur.

Eodem etiam anno adeo vehemens frigus desaeviit, ut mare gelu concresceret, ex quo pisces innumeri ad littus mortui proiecti. sub id tempus Phocas Macrobium Scribonem in foro sagittis confodi, et ad castellum Theodosianorum in Hebdomo ex hasta, ad quam tyrones exercentur, suspendi, et mortem oppetere iussit: qui nimirum coniurationis in se conflatae conscius fuisset. Theodorus enim Cappadox praefectus, et Elpidius armamentarii praepositus, variique alii

ἱπποδρομίου τὸν Φωκᾶν. καὶ ποιήσας ἄριστον Θεόδωρος ὁ ὕπαρχος τῶν πραιτωρίων ἤρξατο ἐπιφαίνειν αὐτοῖς τὸν ἑαυ- C
τοῦ σκοπόν. συνέβη δὲ ἐκεῖ εὑρεθῆναι Ἀναστάσιον κόμητα τῶν λαργιτιώνων. τοῦ ἀρίστου οὖν γιγνομένου καὶ ἐξηγουμένου τὰ τῆς ἐπιβουλῆς μετεμελήθη, ὁ Ἀναστάσιος εὑρεθεὶς ἐκεῖ, καὶ οὐκ εἶπεν τὰ τῆς καρδίας αὐτοῦ, ἀλλ' ἐσιώπα. ὁ δὲ Ἐλπίδιος ἐπέμενε λέγων· οὐ θέλετε, ἵνα ἐν ὅσῳ κάθηται ἐν τῷ σέντζῳ ἐπὶ ἱπποδρομίας πιάσω αὐτόν, καὶ ἐκκοράκισω τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ οὕτως αὐτὸν ἀποκτείνω; καὶ ὑπέσχετο διδόναι αὐτοῖς ἅρματα. γνωσθέντος δὲ τοῦ πράγματος ἐκ διαβολῆς Ἀναστασίου τῷ Φωκᾷ, ἐκέλευσε τὸν ἔπαρχον καὶ τὸν Ἐλπίδιον καὶ τοὺς ἄρχοντας ἐγνωκότας τὴν ἐπιβουλὴν ἐξετα- D
σθῆναι μετὰ πάσης ἀκριβείας. ἐξετασθέντων δὲ αὐτῶν κατέθεντο τὰ τῆς ἐπιβουλῆς· καὶ ὅτι τὸν Θεόδωρον ἐβούλοντο ποιῆσαι βασιλέα. ὁ δὲ Φωκᾶς ἐκέλευσεν ἀποκεφαλισθῆναι Θεόδωρον καὶ Ἐλπίδιον καὶ Ἀναστάσιον καὶ πάντας τοὺς ἐγνωκότας τὴν ἐπιβουλὴν αὐτοῦ.

Ῥωμαίων βασιλέως Ἡρακλείου ἔτος α'. A.M.6102

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ δ' ἰνδικτιῶνι ιδ' ἦκεν P.250
ὁ Ἡράκλειος ἀπὸ Ἀφρικῆς φέρων πλοῖα κατεσκευασμένα, ἔχοντα ἐν τοῖς καταρτίοις κιβώτια, καὶ εἰκόνας τῆς θεομήτορος,

12. τῇ ἐπιβολῇ b. 20. ὁ add. ex b. κατεσκευασμένα a f. 21. εἰκόνα a.

consilium inierunt de occidendo Phoca cum in circo sederet. ad epulum autem (cui Anastasium largitionum comitem adesse contigit) vocatis, Theodorus praetoriorum praefectus, mentem eis aperire coepit. mensis itaque remotis, et coniurationis ordine inter convivas recensito, Anastasius auditor datae fidei poenitens, quae corde tegeret, non explicuit, sed silentio occultavit. interim Elpidius propositi tenax subinfert: num vultis, ut dum throno insidet, in circo eum comprehendam, et erutis e capite oculis, ita demum interficiam? arma vero eis suppetere insuper pollicitus est. Phocas autem tota coniurationis serie ab Anastasio revelata, praefectum, et Elpidium, reliquosque optimates eius participes, adhibitis cruciatibus diligenter examinari edixit. qui inter tormenta conspirationem omnem detexere, atque imperatorem Theodorum se praeficere voluisse confessi sunt. porro Phocas Theodorum, Elpidium, Anastasium, et reliquos coniurationis conscios capite truncari praecepit.

Romanorum imperatoris Heraclii annus primus. A. C. 602

Hoc anno mensis Octobris die quarto indictione decima quarta Heraclius ex Africa appulit cum navibus turritis in quarum malis arcu-

καθὰ καὶ ὁ Πισίδιος Γεώργιος λέγει, καὶ στρατὸν πολὺν ἀπὸ Ἀφρικῆς καὶ Μαυριτανίας· ὁμοίως καὶ ὁ Νικήτας υἱὸς Γρηγορᾶ τοῦ πατρικίου ἀπὸ Ἀλεξάνδρειαν καὶ Πεντάπολιν ἔχων
V. 199 μεθ' ἑαυτοῦ λαὸν πολὺν πεζικόν. ἦν δὲ Ἡράκλειος ὁρμασάμενος Εὐδοκίαν τὴν θυγατέρα Ῥόγα τοῦ Ἄφρου, ἥτις τῷ καιρῷ τούτῳ ἦν ἐν Κωνσταντινουπόλει ἅμα Ἐπιφανείᾳ τῇ
B μητρὶ Ἡρακλείου, καὶ τῇ τούτῳ μεμνηστευμένῃ Εὐδοκίᾳ· ἐκράτησεν αὐτάς, καὶ ἐφύλαξεν εἰς τὸ δεσποτικὸν μοναστήριον, τὸ λεγόμενον τῆς Νέας μετανοίας. καταλαβὼν δὲ Ἡράκλειος τὴν Ἄβυδον εὗρεν Θεόδωρον τὸν κόμητα τῆς Ἀβύδου, καὶ ἀνακρίνας ἔμαθε παρ' αὐτοῦ τὰ κινούμενα ἐν Κωνσταντινουπόλει. ὁ δὲ Φωκᾶς ἀπέστειλε τὸν ἀδελφὸν αὐτοῦ Δομεντζίολον τὸν μάγιστρον φυλάττειν τὰ Μακρὰ τείχη· μαθὼν δὲ ὁ μάγιστρος, ὅτι κατέλαβεν Ἡράκλειος τὴν Ἄβυδον, ἔφυγε καταλιπὼν τὰ τείχη, καὶ εἰσῆλθεν εἰς Κωνσταντινούπολιν. ὁ δὲ Ἡράκλειος ἐδέξατο ἐν Ἀβύδῳ πάντας, οὓς ἐξώρισε Φω-
C κᾶς· καὶ ἀνῆλθε σὺν αὐτοῖς εἰς Ἡράκλειαν. Στέφανος δὲ ὁ τῆς Κυζίκου μητροπολίτης λαβὼν στέμμα ἐκ τῆς ἐκκλησίας τῆς ἁγίας θεοτόκου Ἀρτάκης ἀπήγαγεν αὐτὸ τῷ Ἡρακλείῳ. καταλιβὼν δὲ τὴν Κωνσταντινούπολιν προσώρμησε τῷ λιμένι τῆς Σοφίας· καὶ πολέμου κροτηθέντος γικᾷ χάριτι τοῦ Χριστοῦ

1. στρατὸς πολὺς b. 6. τῇ Goar. ἡ vulg. 7. nonnulla excidisse videntur, fort. ὁ δὲ Φωκᾶς. 15. τὰ τείχη] τὴν Ἄβυδον a.

lae et dei matris imagines appensae, prout Pisidius Georgius narrat, ingenti exercitu ex Africa et Mauritania advecto: et Nicetas patricii Gregorae filius cum maximis pariter pedestribus copiis ab urbe Alexandria et Pentapolis advenit. desponsa autem Heraclio fuerat Eudocia Rogati Afri filia, quae tum temporis una cum Epiphania Heraclii matre Cpoli morabatur. porro ubi Phocas matrem Heraclii, eiusque sponsam Eudociam Cpoli adesse rescivit, comprehensas in imperiali monasterio, quod Novae poenitentiae nuncupatur, diligentius asservandas inclusit. Heraclius Abydum appellens, Theodorum Abydi comitem conveniens, sciscitatus quae Cpoli gererentur, cuncta didicit. Phocas autem Domentiolum fratrem magistrum Longos muros custoditurum misit. ille vero magister Heraclium Abydum appulisse ubi rescivit, muris relictis fugit, et Cpolim se recepit. Abydi cunctos in exilium a Phoca relegatos adiunxit sibi Heraclius, et Heracleam illis comitibus profectus est. Stephanus autem Cyzicenus metropolita coronam ex ecclesia sanctae dei genitricis, cui Artaces nomen, depromptam ad Heraclium attulit. Heraclius Cpolim profectus ad Sophiae

Φωκᾶν τὸν τύραννον. οἱ δὲ δῆμοι τοῦτον παραλαβόντες, ἀνεῖλον, πυρὶ κατακαύσαντες ἐν τῷ Βοΐ. εἰσελθὼν δὲ Ἡράκλειος εἰς τὰ βασίλεια ἐστέφθη ὑπὸ Σεργίου πατριάρχου ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ. ἐστέφθη δὲ τῇ αὐτῇ ἡμέρᾳ καὶ ἡ μεμνηστευμένη αὐτῷ Εὐδοκία αὐγοῦστα. καὶ ἔλαβον ἀμφότεροι παρὰ Σεργίου τοῦ πατριάρχου τοὺς στεφάνους τοῦ γάμου· καὶ τῇ αὐτῇ ἡμέρᾳ ὁμοῦ αὐτοκράτωρ καὶ νύμφιος ἀναδείκνυται. τῷ δὲ Μαΐῳ μηνὶ ἐστράτευσαν οἱ Πέρσαι κατὰ Συρίας, καὶ παρέλαβον τὴν Ἀπάμειαν, καὶ τὴν Ἔδεσσαν, καὶ ἦλθον ἕως Ἀντιοχείας. καὶ οἱ Ῥωμαῖοι συναντήσαντες αὐτοῖς ἐπολέμησαν, καὶ ἡττήθησαν Ῥωμαῖοι· καὶ διωλέσθη πᾶς ὁ λαὸς τῶν Ῥωμαίων, ὥστε ὀλίγους λίαν ἐξειλῆσαι. τῇ δὲ ἑβδόμῃ τοῦ Ἰουλίου μηνὸς ἰνδικτιῶνος ζ ἐτέχθη τῷ βασιλεῖ Ἐπιφάνεια θυγάτηρ Εὐδοκίας, καὶ τῷ Αὐγούστῳ μηνὶ ιε ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου.

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι Καισάρειαν τῆς Καππαδοκίας, καὶ πολλὰς μυριάδας ἐν αὐτῇ ᾐχμαλώτευσαν. Ἡράκλειος δὲ ὁ βασιλεὺς βασιλεύσας, εὗρε παραλελυμένα τὰ τῆς πολιτείας Ῥωμαίων πράγματα. τήν τε γὰρ Εὐρώπην οἱ A.M. 6103 P. 251

7. καὶ τῇ] ἐν τῇ b. 11. αὐτοῖς add. ex a b. 13. ἐξειλῆσαι vulg. τῇ αὐτῇ ἰνδικτιῶνι coni. Goar. 19. ὁ βασιλεὺς om. a. 20. πόλεως f. οἱ Ἀράρεις a.

portum applicuit; et inito certamine Phocam tyrannum dei praesidio vicit. extemplo populi factiones comprehensum tradidere neci, et ad Bovem locum dictum igne combussere. Heraclius regiam ingressus, in oratorio sancti Stephani, quod in ipso palatio conditum, a Sergio patriarcha coronatus est: desponsa pariter Eudocia eodem die redimita est augusta: ambo igitur a Sergio patriarcha coronas nuptiales acceperunt, et eodem die imperator simul et sponsus renunciatur, et corona utraque insignitur. porro Maio mense Persae in Syriam expeditionem fecere, captaque Apamea atque Edessa, Antiochiam usque pervenere. illis obviam progressi Romani, consertis manibus inferiores evasere, adeo ut totus Romanus exercitus ad internecionem deletus fuerit, paucique admodum superstites remanserint. Iulio mense eadem indictione filiam ex Eudocia nomine Epiphaniam imperator suscepit, quae Augusti quinto et decimo die in Blachernis a Sergio patriarcha baptizata est.

A.C. 603

Hoc anno Persae Caesarea Cappadociae potiti, plures hominum myriadas in captivitatem egerunt. Heraclius autem imperio assumpto, rem omnem Romanam labefactatam reperit. Europam etenim

B βάρβαροι ἐρήμωσαν, καὶ τὴν Ἀσίαν οἱ Πέρσαι πᾶσαν κατέστρεψαν, καὶ τὰς πόλεις ἠχμαλώτευσαν, καὶ τὸν τῶν Ῥωμαίων στρατὸν ἐν τοῖς πολέμοις ἀνήλωσαν. καὶ ταῦτα ἰδὼν ἐν ἀπορίᾳ ἦν τί δράσοι. ἐρευνήσας γὰρ τὸν στρατόν, εἰ ἄρα ἐσώζοντο ἐκ τῶν μετὰ Φωκᾶ κατὰ Μαυρικίου στρατευσάντων ἐπὶ τῇ τούτου τυραννίδι, δύο μόνους εὗρεν ἐν πᾶσι τοῖς θέμασι.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ γ' ἰνδικτιῶνι ιε' ἐτέχθη V. 200 τῷ βασιλεῖ υἱὸς ἀπὸ Εὐδοκίας, Ἡράκλειος ὁ μικρὸς ὅ καὶ νέος Κωνσταντῖνος. τῷ δ' Αὐγούστῳ μηνὶ ιδ' ἐτελεύτησεν Εὐδο- C κία αὐγοῦστα τῆς αὐτῆς ιε' ἰνδικτιῶνος.

A M. 6104 Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ δ' ἰνδικτιῶνι α' ἐστέφθη ἡ Ἐπιφάνεια ἡ θυγάτηρ Ἡρακλείου ὑπὸ Σεργίου πατριάρχου αὐγοῦστα ἐν τῷ εὐκτηρίῳ τοῦ ἁγίου Στεφάνου ἐν τῷ παλατίῳ. τῷ δὲ Δεκεμβρίῳ μηνὶ κε', τῇ αὐτῇ α' ἰνδικτιῶνι, ἐστέφθη Ἡράκλειος ὁ υἱὸς Ἡρακλείου, ὁ νέος Κωνσταντῖνος, ὑπὸ Σεργίου πατριάρχου.

Τῷ δ' αὐτῷ ἔτει ἐπεστράτευσαν Σαρακηνοὶ κατὰ Συρίας D καὶ λυμηνάμενοι ἱκανὰ χωρία ὑπέστρεψαν.

5. στρατευμάτων b, στρατεύσαντος a. 6. τυραννίδος vulg. 9. ὁ καὶ νέος a, καὶ ὁ νέος vulg. 16. ὁ νέος, ὁ καὶ K. b.

barbari reddiderant desertam, universam Asiam Persae pessum dederant, et urbes integras in captivitatem abduxerant, Romanumque exercitum bellis consumpserant continuis. ista conspiciens imperator, quid ageret dubius haerebat. exercitu siquidem omni perlustrato, num aliqui ex iis, qui cum Phoca tyrannidis eius fautores adversus Mauricium praeliati inter vivos superessent, perscrutatus, per legiones cunctas rimatus duos solos invenit residuos.

Eodem etiam anno mensis Maii die tertio, indictione decima quinta, ex Eudocia imperatori susceptus filius, Heraclius iunior, qui et novus Constantinus cognominatus est. Augusti vero mensis die decimo quarto eadem indictione Eudocia augusta diem extremum obiit.

A. C. 604 Hoc anno mensis Octobris die quarto, indictione prima, Epiphania imperatoris Heraclii filia in oratorio sancti Stephani, quod in palatio, a Sergio patriarcha augustae corona redimita est. Decembris autem die vigesimo quinto, prima indictione, Heraclius Heraclii filius, novus Constantinus, a Sergio patriarcha imperii collega coronatus est.

Eodem etiam anno expeditionem in Syriam fecere, direptisque oppidis quam plurimis domum reversi sunt.

Τούτῳ τῷ ἔτει ἔλαβον οἱ Πέρσαι τὴν Δαμασκόν, καὶ A.M.6105
ᾐχμαλώτευσαν λαὸν πολύν. Ἡράκλειος δὲ βασιλεὺς πρέσβεις πρὸς Χοσρόην ἀπέστειλεν παύσασθαι τοῦ ἐκχέειν ἀνηλεῶς τὰ αἵματα τῶν ἀνθρώπων, καὶ �ρίσαι φόρους, καὶ λαμβάνειν πάκτα. ὁ δὲ τοὺς πρέσβεις ἀπράκτους ἀπέλυσεν, μὴ ποιησάμενος αὐτοῖς λόγον, ἐλπίζων τελείως παραλαβεῖν τὴν τῶν Ῥωμαίων ἀρχήν. ὁ δὲ Ἡράκλειος τῷ αὐτῷ χρόνῳ ἔγημεν Μαρτίναν, καὶ ἀνηγόρευσεν αὐτὴν αὐγοῦσταν στέψας αὐτὴν P. 252
εἰς τὸν αὐγουστέαν, στεφθεῖσα ὑπὸ Σεργίου πατριάρχου.

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι τὸν Ἰορδάνην, Πα- A.M.6106
λαιστίνην καὶ τὴν ἁγίαν πόλιν πολέμῳ, καὶ πολλοὺς ἀπέκτειναν ἐν αὐτῇ διὰ χειρὸς τῶν Ἰουδαίων, ὥς φασί τινες, μυριάδας ἐννέα. αὐτοὶ γὰρ ὠνούμενοι τοὺς Χριστιανοὺς καθὰ ἠμπόρει ἕκαστος ἀπέκτεινεν αὐτούς. Ζαχαρίαν δὲ τὸν παπριάρχην Ἱεροσολύμων, καὶ τὰ τίμια καὶ ζωοποιὰ ξύλα λαβόντες σὺν αἰχμαλωσίᾳ πολλῇ, ἐν Περσίδι ἀπήγαγον. B

Τῷ δ' αὐτῷ ἔτει ἐτέχθη τῷ βασιλεῖ ἀπὸ Μαρτίνης Κωνσταντῖνος ἕτερος, καὶ ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου.

Τούτῳ τῷ ἔτει παρέλαβον οἱ Πέρσαι πᾶσαν τὴν Αἴγυ- A.M.6107
πτον καὶ Ἀλεξάνδρειαν καὶ Λιβύην ἕως Αἰθιοπίας, καὶ λα-

14. ἀπεκτέννυον a. 20. πᾶσαν add. ex a.

Hoc anno Persae capta Damasco captivos innumeros secum abdu- A. C. 605
xerunt. imperator autem Heraclius legatione ad Chosroëm decreta, ut fundendo crudeliter hominum sanguini parceret, admonuit, tributa vero statueret, et pacis conditiones praescriberet, rogavit. ille autem nullo cum legatis habito colloquio, quasi de Romanorum imperio brevi occupando certus, re infecta eos dimisit. Heraclius porro Martinam eodem anno sibi coniugio copulatam renunciavit augustam: et ad augusteum Sergio patriarcha coronam imponente augustali stemmate redimiendam decrevit.

Hoc anno Persae Iordanis loca, Palaestinam et sanctam civita- A. C. 606
tem armorum vi subegerunt: et manibus, ut quidam asserunt, Iudaeorum plurimos, ad nonaginta videlicet millia, trucidarunt. singuli etenim pro suis quique facultatibus Christianos ementes, confestim occidebant. capto vero Hierosolymorum patriarcha Zacharia, pretioso etiam et vivifico crucis ligno locis illis erepto, captivorum hominum multitudinem innumeram in Persidem abduxerunt.

Eodem anno Constantinus alter ex Martina coniuge imperatori natus est; qui a Sergio patriarcha in Blachernis baptizatus.

Hoc anno Persae Aegyptum, Alexandriam et Libyam ad usque A. C. 607
fines Aethiopiae subegerunt: et collecta captivorum multitudine, spo-

βόντες αἰχμαλωσίαν πολλὴν καὶ λάφυρα πάμπολλα καὶ χρήματα ὑπέστρεψαν. τὴν Χαλκηδόνα οὐκ ἴσχυσαν παραλαβεῖν,
C ἀλλὰ φρουρὰν ἐάσαντες τοῦ πολιορκεῖν, ἀνεχώρησαν.

A.M.6108 Τούτῳ τῷ ἔτει ἐστράτευσαν οἱ Πέρσαι κατὰ Χαλκηδόνος, καὶ παρέλαβον αὐτὴν πολέμῳ. τῷ δ' αὐτῷ ἔτει μηνὶ Ἰανουαρίῳ α', ἰνδικτιῶνος ε', ὑπάτευσεν Κωνσταντῖνος ὁ νέος, ὁ καὶ Ἡράκλειος τοῦ Ἡρακλείου υἱός· καὶ προεβάλετο καίσαρα Κωνσταντῖνον τὸν μικρὸν τὸν ἴδιον ἀδελφὸν τὸν ἐξ Ἡρακλείου καὶ Μαρτίνης γεννηθέντα.

A.M.6109 V.201 Τούτῳ τῷ ἔτει πάλιν Ἡράκλειος ἀπέστειλε πρέσβεις ἐν Περσίδι πρὸς Χοσρόην αἰτούμενος εἰρήνην. ὁ δὲ Χοσρόης
D καὶ πάλιν αὐτοὺς ἀπεπέμψατο λέγων· οὐ φείσομαι ὑμῶν ἕως ἂν ἀρνήσησθε τὸν ἐσταυρωμένον, ὃν λέγετε θεὸν εἶναι, καὶ προσκυνήσητε τῷ ἡλίῳ.

A.M.6110 Τούτῳ τῷ ἔτει ἐστράτευσαν Ἄβαρεις κατὰ τῆς Θρᾴκης. καὶ ἀποστείλας ὁ Ἡράκλειος πρὸς αὐτοὺς ᾔτει τὴν εἰρήνην· καὶ συνθεμένου τοῦ Χαγάνου ταύτην ποιεῖν, ἐξῆλθεν ὁ βασι-
P.253 λεὺς ἔξω τοῦ Μακροῦ τείχους, καὶ μετὰ πάσης δορυφορίας βασιλικῆς καὶ δώρων πολλῶν καὶ μεγάλων ἀπεδέξατο τὸν Χαγάνον, λαβὼν τὰ πιστὰ παρ' αὐτοῦ, τοῦ ποιῆσαι πρὸς ἀλλήλους σπονδὰς εἰρηνικάς. ὁ δὲ βάρβαρος ἐκεῖνος τάς τε συνθήκας ἀθετήσας καὶ τοὺς ὅρκους, ἄφνω τυραννικῶς κατὰ τοῦ βασιλέως ἐχώρησεν. ἐκπλαγεὶς δὲ ὁ βασιλεὺς τῷ ἀπροσ-

liis etiam amplissimis, et pecuniarum vi asportata, suas in provincias redierunt. Chalcedonem quidem occupare non valuerunt, sed praesidio ad eam obsidendam relicto, secesserunt.

A.C.608 Hoc anno Persae expeditionem in Chalcedonem instruentes, bello eam ceperunt. hoc eodem anno Ianuarii mensis die primo, indictione quinta, Constantinus iunior, qui et Heraclius Heraclii filius, consul renunciatus est, qui Constantinum minorem proprium fratrem Heraclio et Martina genitum declaravit caesarem.

A.C.609 Hoc anno aliam legationem de pace cum Persis habenda, et ab eis expetenda ad Chosroëm destinavit Heraclius. eam iterum respuit Chosroës, dicens: vobis minime parcam, donec crucifixum, quem vos praedicatis deum, solem adoraturi, abnegaveritis.

A.C.610 Hoc anno Abares in Thraciam arma moverunt. Heraclius autem missis ad eos legatis pacem firmari exposcebat. cumque Chaganus eam se compositurum pollicitus fuisset, imperator cum satellitio propriam dignitatem decente, ad longum usque murum longe ab urbe progressus, ampla magnorum munerum copia Chaganum excepit, fidem ab eo accepturus, pacem inter se mutuo inviolatam firmatum iri. at barbarus ille, spreto iusiurando atque foedere, ex improviso Hera-

δοκήτῳ τοῦ πράγματος, φυγὰς ἐπὶ τὴν πόλιν ὑπέστρεψεν. λαβὼν δὲ ὁ βάρβαρος τὴν βασιλικὴν ἀποσκευὴν καὶ δορυφορίαν, καὶ ὅσους καταλαβεῖν ἠδυνήθη, ὑπέστρεψε πολλὰ χωρία τῆς Θράκης ληϊσάμενος ἐκ τοῦ ἀπροσδοκήτως ἀπατηθέντα B
τὴν ἐλπίδα τῆς εἰρήνης.

Ἀλεξανδρείας ἐπισκόπου Γεωργίου ἔτος α'. A.M.6111

Τούτῳ τῷ ἔτει Ἡράκλειος πρὸς τὸν Χαγάνον τὸν βάρβαρον πρέσβεις ἀποστείλας ἐνεκάλει περὶ τῶν γεγονότων ὑπ' αὐτοῦ ἀθέσμων, καὶ πρὸς εἰρήνην προετρέπετο. ἐπιστρατεῦσαι γὰρ διανοούμενος κατὰ Περσίδος εἰρηνεύειν μετὰ τοῦ Χαγάνου ἤθελεν. ὁ δὲ Χαγάνος αἰδεσθεὶς τὴν τοῦ βασιλέως C
ἀγάπην μετανοεῖν ἐπηγγέλλετο, καὶ εἰρήνην ποιεῖν ὑπισχνεῖτο· καὶ στοιχήσαντες πάκτα ὑπέστρεψαν οἱ πρέσβεις ἐν εἰρήνῃ.

Τῷ δ' αὐτῷ ἔτει παρέλαβον Πέρσαι τὴν Ἄγκυραν Γαλατίας πολέμῳ.

Τούτῳ τῷ ἔτει ἐσκλήρυνεν Χοσρόης τὸν ζυγὸν αὐτοῦ ἐπὶ A.M.6112
πάντας ἀνθρώπους εἰς αἱμοβορίαν καὶ φορολογίαν. ἐπαρθεὶς γὰρ τῇ νίκῃ οὐκ ἔτι ἐν τῷ καθεστῶτι εἶναι ἠδύνατο. τότε
Ἡράκλειος ζῆλον θεοῦ ἀναλαβών, καὶ μετὰ τῶν Ἀβάρων εἰ- D
ρηνεύσας ὡς ἐνόμιζεν μετήνεγκεν τὰ στρατεύματα τῆς Εὐρώ-

4: ἀπατηθέντας vulg.

clium infestis armis adortus est. imperator vero tam insperatae rei molimine perterritus, fuga arrepta in urbem revertit. barbarus universo imperatoris apparatu satellitioque capto, cum omnibus aliis quae comprehendere potuit, retro cessit: multaque Thraciae oppida spe pacis delusa ac nil tale suspicantia depraedatus est.

Alexandriae episcopi Georgii annus primus. A.C.611

Hoc anno Heraclius missis iterum ad barbarum Chaganum legatis, de iis quae violatis foederibus ab eo admissa erant, causabatur, et ad servandam pacem invitabat: in Persidem quippe arma convertere meditatus, cum Chagano pacem habere consiliabatur. Chaganus humanos imperatoris affectus cum reverentiae sensu suscipiens, pristina se reparaturum, et cultorem se pacis futurum promisit: renovatisque iterum pactis et probe firmatis foederibus, legati reversi sunt.

Hoc eodem anno Persae Ancyram Galatiae civitatem vi ceperunt. A.C.612

Hoc anno Chosroës dominationis suae iugum omnibus intolerabile per crebras caedes atque vectigalia effecit. victoriis quippe suis elatus, intra iusti et aequi limites ultra se continere nequibat. tunc igitur Heraclius divino ardore incitatus, pace ex voto cum Abaribus

πης ἐπὶ τὴν Ἀσίαν, καὶ διενοεῖτο τῇ τοῦ θεοῦ συνεργείᾳ κατὰ Περσίδος χωρῆσαι.

A.M.6113 Τούτῳ τῷ ἔτει μηνὶ Ἀπριλλίῳ δ', ἰνδικτιῶνι ι', τελέσας
ὁ βασιλεὺς Ἡράκλειος τὴν ἑορτὴν τοῦ πάσχα, εὐθέως τῇ δευ-
V. 202 τέρᾳ ἑσπέρας ἐκίνησεν κατὰ Περσίδος. λαβὼν δὲ τὰ τῶν εὐα-
γῶν οἴκων χρήματα ἐν δανείων ἀπορίᾳ κατεχόμενος, ἔλαβεν
P. 254 καὶ τῆς μεγάλης ἐκκλησίας πολυκάνδηλά τε καὶ ἕτερα σκεύη
ὑπουργικά, χαράξας νομίσματα, καὶ μιλιαρίσια πάμπολλα.
κατέλιπε δὲ τὸν ἴδιον υἱὸν σὺν Σεργίῳ τῷ πατριάρχῃ Κων-
σταντινουπόλεως διοικεῖν πράγματα σὺν Βονοσῷ τῷ πατρικίῳ
ἀνδρὶ ἐχέφρονι καὶ τὰ πάντα συνετῷ καὶ πεπειρασμένῳ.
ἔγραψεν δὲ πρὸς τὸν Χαγάνον τῶν Ἀβάρων παρακλήσεις τοῦ
ἐπικουρεῖν τὰ τῶν Ῥωμαίων πράγματα, ὡς φιλίαν σπεισάμε-
νος πρὸς αὐτόν, καὶ ἐπίτροπον τοῦ ἑαυτοῦ υἱοῦ τοῦτον ὠνό-
μασεν. ἀπάρας δὲ τῆς βασιλευούσης πόλεως, ἐξῆλθεν κατὰ
τὰς λεγομένας Πύλας πλοῖ τὴν πορείαν ποιησάμενος. ἐντεῦ-
B θεν δὲ ἐπὶ τὰς τῶν θεμάτων χώρας ἀφικόμενος, συνέλεγεν
τὰ στρατόπεδα, καὶ προσετίθει αὐτοῖς νέαν στρατείαν. τού-
τους δὲ γυμνάζειν ἤρξατο, καὶ τὰ πολεμικὰ ἔργα ἐξεπαίδευ-
σεν. διχῇ γὰρ διελὼν τὸν στρατόν, παρατάξεις τε καὶ συμ-
βολὰς πρὸς ἀλλήλους ἀναιμωτὶ ποιήσασθαι ἐκέλευσεν, κραυ-

12. Ἀράβων e.

composita, exercitus suos ab Europa in Asiam transtulit, invadendaeque Persidis deo opitulante consilium cepit.

A. C. 613 Hoc anno mensis Aprilis die quarto, indictione decima, Heraclius solemnitate paschali peracta, feria secunda sub vesperam confestim arma moturus in Persidem perrexit. tum vero ubi pecuniam mutuo vel cum foenore acciperet dubius, sanctarum aedium facultates tulit, cudendisque numismatibus, et minutis milisiariis conflandis, multifida magnae ecclesiae candelabra aliaque eiusmodi sacri ministerii vasa usurpavit. proprium autem filium Sergii patriarchae Cpoleos Bonosique patricii, viri praestantis ingenii magnaeque prudentiae et experientiae multiplicis, consilio rem communem administraturum in urbe reliquit. ad Chaganum quoque Abarum principem, cui procuratoris in filium nomen et dignitatem indidit, quique secum amicitiam ex pactis firmaverat, ut afflictis rebus Romanis opem ferret, litteras cum precibus misit. urbium regina subinde profectus, itinere navigiis suscepto, loco, cui Pylae nomen, solvit. inde ad thematum provincias delatus, legiones collegit varias, quibus novam militiam addidit. tum eos bello exercere, Martisque disciplina instruere. divisum siquidem in aequas partes duas exercitum ordines componere, incruentis irruptionibus ad invicem congredi, clamorem bellicum, paeanas, milita-

γὴν τε πολεμικὴν καὶ παιάνους καὶ ἀλλαλαγμὸν καὶ διέγερσιν ἔχειν τούτους ἐδίδαξεν, ἵνα κἂν ἐν πολέμοις εὑρίσκωνται, μὴ ξενίζωνται, ἀλλὰ θαρροῦντες ὡς παίγνιον κατὰ τῶν ἐχθρῶν χωρήσωσι. λαβὼν δὲ ὁ βασιλεὺς ἐν χερσὶν τὴν θεανδρικὴν μορφήν, ἣν χεῖρες οὐκ ἔγραψαν, ἀλλ' οἵαν ἐν εἰκόνι ὁ πάντα C μορφῶν καὶ διαπλάττων λόγος ἄνευ γραφῆς μόρφωσιν, ὡς ἄνευ σπορᾶς κύησιν ἤνεγκεν, καὶ τούτῳ πεποιθὼς τῷ θεογράφῳ τύπῳ ἀπήρξατο τῶν ἀγώνων, πιστὰ δοὺς τῷ λαῷ, ὡς σὺν αὐτοῖς μέχρι θανάτου ἀγωνίσηται, καὶ ὡς τέκνοις οἰκείοις τούτοις συναρμόσηται. ἐβούλετο γὰρ τὴν ἐξουσίαν οὐ φόβῳ τοσοῦτον, ὅσον ἐν πόθῳ ἔχειν. εὑρὼν δὲ τὸν στρατὸν εἰς ῥᾳθυμίαν πολλὴν καὶ δειλίαν, ἀταξίαν τε καὶ ἀκοσμίαν καὶ εἰς πολλὰ τῆς γῆς μέρη ἐσπαρμένους, συντόμως πάντας εἰς ἓν συνήγαγεν. καὶ πάντες ὡς ἐκ μιᾶς συμφωνίας ὕμνησαν τὸ κράτος καὶ τὴν ἀνδρείαν τοῦ βασιλέως. αὐτὸς δὲ τοῖς λόγοις τούτοις ἐπιρρωννύων ἔλεγεν· ὁρᾶτε, ἀδελφοὶ καὶ τέκνα, ὡς D οἱ ἐχθροὶ τοῦ θεοῦ κατεπάτησαν ἡμῶν τὴν χώραν καὶ τὰς πόλεις ἠρήμωσαν καὶ τὰ θυσιαστήρια κατέκαυσαν καὶ τὰς τραπέζας τῶν ἀναιμακτῶν θυσιῶν αἱμάτων μιαιφόνων ἐπλήρωσαν, καὶ τὰς ἀδέκτους τῶν παθῶν ἐκκλησίας ἐν ἡδοναῖς

2. εὑρίσκονται vulg. 7. τοῦτο πεπ. τῷ θεῷ γράφῳ f. 9. ὡς τέκνοις οἰκ. τ. συν. om. a. 11. τοσοῦτον add. ex coni. 13. ἐσπαρμένον a, εὐπαραμένων f.

resque strepitus edere, fortes in invicem animos excitare docuit: ut iam non ficto, sed vero Marte implicati, rei novae usu non terrerentur, sed velut ad ludum, ita in hostes, de sua virtute bene confisi irruerent. mox lata manibus Christi dei et hominis effigie, hominis manu vel penicillo non efficta, sed quam in imagine, quod cuncta formavit et configuravit divinum verbum, absque colorum delineatione, ut absque semine foetum, in lucem eduxit; huiusmodi, dico, figura divinitus exarata plane fidens, et oppignorata exercitui fide, cum eis ad mortem usque decertaturum, et ut propriis filiis semper eis se devinciendum et copulandum pollicitus, ad bellicos conflictus descendit. studebat enim exercendam in milites auctoritatem potius affectu, quam timore comparare. cum vero exercitum desidia dissolutum, animorum deiectione, ordinis defectu et confusione pene lacerum, et in varias provinciarum partes dissipatum reperisset: quantocius et expedite cunctos in unum collegit. hinc singuli velut una voce robur et animum imperatoris laudavere: ipse etiam robur pectoribus inspiraturus his verbis utebatur: videtis, frates et filii, ut hostes ditionem nostram universam depopulati, urbes civibus desertas

χραίνουσιν ἐμπαθεστάταις. πάλιν δὲ τὸν λαὸν πρὸς γυμνασίαν πολεμικὴν ὁπλίζων, τάξεις δύο ἐνόπλους ποιησάμενος, σάλπιγγές τε καὶ φάλαγγες ἀσπίδων, καὶ λαὸς τεθωρακισμένος ἵστατο. ἐπεὶ δὲ ἀσφαλῶς συνέστησαν τὰ τάγματα, συμβάλ-
P. 255 λειν ἀλλήλοις ἐκέλευσεν, ὠθισμοί τε βίαιοι καὶ συγκρούσματα πρὸς ἀλλήλους ἐγίνοντο, καὶ σχηματισμὸς τοῦ πολέμου ἐδείκνυτο. καὶ ἦν ἰδεῖν φρικτὸν θέαμα φόνου χωρὶς κινδύνου, καὶ πρὸς φόνους συννεύσεις αἱμάτων δίχα, καὶ πρὸ τῆς ἀνάγκης τοὺς τρόπους, ὅπως ἕκαστος ἐκ τῆς ἀκινδύνου σφαγῆς λαβὼν ἀφορμὰς ἀσφαλέστερος μένῃ. οὕτω δὲ καθοπλίσας πάντας παρήγγειλεν ἀδικίας ἀπέχεσθαι καὶ εὐσεβείας ἀντέχεσθαι. γενόμενος δὲ ἐπὶ τὰ μέρη Ἀρμενίας, προτρέχειν πλῆθος ἱππέων λάθρα ἐπιπεσεῖν τῷ βασιλεῖ διενοεῖτο. οἱ δὲ προ-
V. 203 τρέχοντες τοῦ βασιλέως τούτοις συναντήσαντες, τόν τε στρα-
B τηγὸν αὐτῶν δεσμώτην ἤγαγον πρὸς τὸν Ἡράκλειον, καὶ τοὺς τρεψάμενοι πολλοὺς ἀνεῖλον. ἐπεὶ δὲ χειμὼν κατέλαβεν, ἀποκλείσας ὁ βασιλεὺς τὸ Πόντιον κλίμα, ἔδοξε τοῖς βαρβάροις ἐν τούτῳ αὐτὸν παραχειμάζειν. λαθὼν δὲ τοὺς Πέρσας

1. ἐμπαθεστάτοις vulg. 7. χωρὶς καὶ κινδ. vulg. 11. καὶ εὐσεβείας ἀντέχεσθαι add. ex e f. 13. post ἱππέων aliquid excidisse videtur, fort. κελεύσας. 17. κλῆμα a f.

reddiderint, succenderint altaria, et incruentarum victimarum mensas caedibus et sanguine inundarint, et ecclesias etiamnum labis omnis immunes voluptatibus foedissimis conspurcant. tum vero milites bellicis exercitamentis instructurus, armatos et pugnae iam paratos in duas acies dividere, et tubas, clypeorumque phalanges in invicem committere secundo iussit. interim exercitus thoracibus et armis omnibus munitus stationem observabat. ut itaque in tuto constiterunt ordines, manus ad invicem conserere hortatus est, et qua violentis in invicem impulsibus, qua mutuis impressionibus immanis belli speciem horrendam exhibebat. tremendum sane absque caede et periculo cernere licebat spectaculum, ad stragem citra sanguinem impetus, et absque necessitate belli specimina, ut ex caede quam nullum comitaretur periculum sumpto documento securior unusquisque permaneret. cumque exercitum ita instruxisset, ut iniustitia abstinerent, hortatus est. porro ubi ad Armeniae fines intravit, praecurrens hostilium equitum turma imperatorem ex improviso adoriri consilium ceperat: imperatoris autem praecursores illis obviam facti, adversariorum duce vinculis mancipato, et ad Heraclium ducto, necnon comitibus eius fusis, reliquos armis deleverunt. ingruente vero hieme, cum Ponticum clima imperator undique circummunivisset, hibernam in eo tempestatem moraturus barbaris visus est: at clam ipsis reversus in

καὶ ἐπιστραφείς, εἰς τὴν Περσίδα εἰσβάλλει. τοῦτο μαθόντες οἱ βάρβαροι εἰς ῥᾳθυμίαν ἦλθον τῷ ἀπροσδοκήτῳ τῆς τούτου εἰσόδου. ὁ δὲ Σάρβαρος ὁ τῶν Περσῶν στρατηγὸς λαβὼν τὴν ἑαυτοῦ δύναμιν ἦλθεν ἐν Κιλικίᾳ, ὅπως εἰς Ῥωμανίαν ἐξελθὼν τοῦτον περιτρέψῃ. φοβηθεὶς δὲ μὴ διὰ τῆς Ἀρμενίας εἰς τὴν Περσίδα ὁ βασιλεὺς εἰσβαλὼν ταύτην ταράξῃ, οὐκ εἶχεν C τὸν ἑαυτοῦ λογισμὸν βεβηκότα, ὅτι δράσοι. ὅμως ἠναγκάσθη ἀκολουθεῖν ὀπίσω τοῦ Ῥωμαίου στρατοῦ, κλέψαι μεριμνῶν τὸν πόλεμον, καὶ διὰ νυκτὸς ἀφεγγοῦς τούτοις προσβαλεῖν. πανσελήνου δὲ οὔσης τῆς νυκτός, ἀπεκρούσθη τοῦ σκέμματος, καὶ τὴν πρὶν αὐτῶν σεβασμίαν [αὐτῶν] ἐδυσφήμει σελήνην. ἡ δὲ σελήνη ὑπέστη κατ' αὐτὴν τὴν νύκτα ἐκ τοῦ συμβεβηκότος. ἐκ τούτου ἐδείλία ὁ Σάρβαρος προσβαλεῖν τῷ βασιλεῖ, καὶ τὰ ὄρη κατέλαβεν, ὡς δορκάδες, ὁρῶν τὴν καλλίτεχνον καὶ σοφὴν στρατηγίαν ἀφ' ὕψους τῶν Ῥωμαίων. γνοὺς D δὲ ὁ βασιλεὺς τὴν τούτου δειλίαν, θαρρῶν ἐν τόποις ηὐλίζετο, ἀναπαύσεως πλήρης, ἐρεθίζων τοῦτον πρὸς πόλεμον. κατερχόμενοι δὲ λάθρα τοῦ ὄρους πολλάκις συμπλοκὰς μερικὰς

3. ὁ δὲ *Σάρβαρος* c, ὁ δὲ *βάρβαρος* vulg., vera nominis forma infra pag. 476, 10. legi videtur: *Σαρβαραζᾶς*. 7. *βεβηκότι* a. 11. alterum *αὐτῶν* delendum videtur, nisi forte participium aliquod in eo latet. 13. *ὁ σοβαρὸς* vulg. 14. *καλλίτεχνον* f, *καλήτεχνον* a, *καλλίστιχον* vulg. 16. *ηὐλίζετο*] *ὑηλίζετο* vulg. 18. *μερικὰς* om. a f.

Persidem irruit. nuncio accepto, expeditione adeo inexpectata perterriti sunt barbari. barbarus itaque Persarum dux eductis secum copiis in Ciliciam proficiscitur, sperans se ita irruptione in Romanorum ditionem facta Heraclium a Perside revocaturum. ne vero Persia ulterius penetrata ex Armeniae partibus imperator damnum inferret, veritus, de quovis opere aggrediendo nullum certum consilium inire poterat. attamen Romanum exercitum a tergo subsequi tandem coactus est: hostem dolo circumvenire, eumque per noctem obscuram adoriri meditatus. sed cum pleno lumine luna irradiaret, commento frustratus est, et colendum sibi prius astrum diris omnibus execrabatur. contigit enim illa nocte ut luna defectum pateretur, ac ideo subsistere videretur, ex quo arrogans ille, ne impressionem faceret in imperatorem sibi cavit; quare dorcadum more montium cacumina occupavit, indeque praeclarum et ad militaris disciplinae praecepta compositum ordinem sublimis despiciebat. imperator animi eius vilitate cognita loca illa securior et confidentior tenebat, et bene refecto exercitu, adversarium ad certamen provocabat. Persae vero clam ex monte descendentes levia saepius iniere praelia, in quibus omni-

ἐποιοῦντο, καὶ ἐν παντὶ οἱ Ῥωμαῖοι ἐπρώτευον, καὶ θάρσος ἐπὶ πλεῖον ὁ στρατὸς ἐλάμβανεν, ὁρῶντες τὸν βασιλέα παντὶ προπηδῶντα, καὶ εὐτόλμως πολεμοῦντα. Πέρσης δέ τις πρὸ ὀλίγου χρόνου πρόσφυξ γενόμενος ἐν τῷ στρατῷ τοῦ βασιλέως ἐγένετο. οὗτος ἀποδρὰς πρὸς τοὺς Πέρσας ἀπῆλθεν ἐλπίζων αὐτοὺς τὴν Ῥωμαίων στρατείαν ὀλέσαι. ἰδὼν δὲ αὐτῶν τὴν
P. 256 δειλίαν μετὰ δεκάτην ἡμέραν πρὸς τὸν βασιλέα ἀνῆλθεν, καὶ πᾶσαν ἀκριβῶς τὴν τῶν βαρβάρων ἔξεῖπεν ἀτολμίαν. ὁ δὲ Σάρβαρος μηκέτι ὑποφέρων τὴν ἐν τῷ ὄρει διατριβήν, ἠναγκάσθη πρὸς πόλεμον ὁρμῆσαι, εἰς τρία δὲ μέρη διελὼν τὸ στράτευμα κατῆλθεν, ἄφνω ἐπιφωσκούσης ἡμέρας πρὸ τῆς τοῦ ἡλίου ἀναβάσεως εὐτρεπισάμενος πρὸς πόλεμον. ὁ δὲ βασιλεὺς προγνούς, καὶ συντάξας τὸν στρατὸν ὁμοίως εἰς τρεῖς φάλαγγας, εἰς τὴν μάχην προήγαγεν. τοῦ δὲ ἡλίου ἀνατείλαντος καὶ τοῦ βασιλέως κατὰ ἀνατολὰς εὑρεθέντος, τοὺς
B Πέρσας ἐσκότιζεν ἡ τούτου ἀκτίς· ὃν ὡς θεὸν προσεκύνουν. ὁ δὲ βασιλεὺς ἐσχημάτισε τὸν λαὸν αὐτοῦ εἰς φυγὴν τραπέντας, καὶ λύσαντες ἐκεῖνοι τὰς φάλαγγας ἀκρατῶς διώκειν τούτους ἐνόμιζον. ἐπιστραφέντες οὖν οἱ Ῥωμαῖοι εὐψύχως τούτους ἐστρέψαντο καὶ πολλοὺς ἀνεῖλον, ἐλάσαντες αὐτοὺς

1. ἐπρώτευον f, ἐπρωτέρευον vulg. 8. ἐξειπεῖν f. ὁ δὲ σοβαρὸς vulg. 10. ὁρμῆσαι vulg. 16. δν] ἣν a f.

bus semper superiores evasere Romani, et robore animisque eorum exercitus in dies augebatur, quod imperatorem in primam aciem prosilientem, ac fortiter dimicantem ubique viderent. porro quidam Persicae militiae desertor ad imperatoris partes Persa transierat. is ad suos refuga Romanas acies ab eis dissipandas ac perdendas sperabat. at ubi viles eorum animos et metum expertus est, post diem decimum ad imperatorem reversus, afflictum et meticulosum barbarorum statum omnem enucleatius exposuit. caeterum insolens ille Persarum dux morae tamdiu per montana productae impatiens, et in certamen descendere necessitate compulsus, diviso in tria agmina exercitu, sub primum aurorae crepusculum et nondum manifesto terris sole, paratus ad pugnam ex improviso apparuit. imperator praecognitis eius consiliis, dispositum pariter ac distributum in acies tres exercitum, ad pugnam eduxit. imperatore vero ad orientem constituto, exorientis quoque solis radii, quem Persae tanquam deum venerantur, eorum oculos acrius perstringebat. imperator itaque fugam simulare iussit exercitum: quare Persae phalangum suarum solutis ordinibus eos intemperantius insequendos decernunt. at Romani versa in eos facie impressionem eorum fortiter sustinent, et terga dare compellunt: et

ἕως τοῦ ὄρους, εἰς κρημνοὺς αὐτοὺς ἐνέβαλλον καὶ τόπους δυσβάτους, καὶ πάντας αὐτοῦ συνέτριψαν· ἐν δὲ τοῖς κρημνοῖς αἰγῶν ἀγρίων δίκην ἐσκηνοβάτουν. πολλοὺς δὲ καὶ ζῶντας ἐζώγρησαν. παρέλαβον δὲ καὶ τὸ τούτων στρατόπεδον, V. 204
καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν. οἱ δὲ Ῥωμαῖοι πρὸς ὕψος C
τὰς χεῖρας ἐκτείναντες τῷ Θεῷ ηὐχαρίστουν, καὶ τῷ στρατηγήσαντι καλῶς βασιλεῖ συντόνως προσηύχοντο. οἱ γὰρ πρὶν μηδὲ Περσικὴν κόνιν τολμήσαντες ἰδεῖν, νῦν τὰς σκηνὰς τούτων ἀσαλεύτους εὑρόντες ἐλαφυρολόγησαν. τίς γὰρ ἤλπιζεν τὸ τῶν Περσῶν δυσμαχώτατον γένος νῶτα δοῦναί ποτε Ῥωμαίοις. ὁ δὲ βασιλεὺς τὸν στρατὸν σὺν τῷ στρατηγῷ καταλιπὼν εἰς Ἀρμενίαν παραχειμάσαι, αὐτὸς εἰς Βυζάντιον ὑπέστρεψεν.

Τούτῳ τῷ ἔτει Μάμεδ ἐφάνη ἀμηρᾶς ἔτη Θ', ἐφ' ἔτος
Ἡράκλειος ἐξουσία. D

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ ιε', ἰνδικτιῶνι ια', ἀπάρας A.M.6114
ὁ βασιλεὺς Ἡράκλειος ἀπὸ τῆς βασιλίδος κατὰ τάχος ἀφίκετο εἰς Ἀρμενίαν. Χοσρόης δὲ ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν τὸν Σαρβαναζᾶν σὺν τῷ ἑαυτοῦ στρατῷ εἰσβαλεῖν εἰς P. 257

1. ἐνέβαλλον f, ἐμβάλλοντες vulg. 2. αὐτοῦ] αὐτοὺς vulg. 3. ἐσκηροβάτουν a, ἐσηροβ. f, fort. ἐσκληροβάτουν. 5. αὐτῶν] αὐτοῦ a f. 14. τούτῳ — — ἐξουσία] haec nota non legitur in a e; sed omnino scribendum: Ἡρακλείου ἐξουσίας.

multis eorum caesis, reliquos ad montis adigunt angustias, et in praerupta loca praecipitiaque compulsos, prosternunt, et in extremum periculum adducunt. per asperas etiam illas et salebrosas rupes caprarum sylvestrium more desilientes Persas venantur et capiunt vivos, occupatisque eorum castris, bellicum apparatum omnem diripiunt. ita demum Romani manibus in caelum elatis debitas deo grates referunt, et ad eum pro imperatore suo rei militaris adeo perito vota insuper concipiunt. qui prius enim vel motum a Persis pulverem intueri verebantur, impraesentiarum defixa et immota eorum tentoria depraedati sunt. quis, amabo, Persas gentem armis invictam terga Romanis dare unquam sperasset. imperator autem relicto exercitu, duceque ei praeposito, sub cuius cura hiberna in Armenia transigeret, Byzantium reversus est.

Hoc anno Mamed ameras primo conspici cepit: annis novem regnavit, a collatae Heraclio imperii potestatis anno decimo tertio.

Hoc anno mensis Martii die decimo quinto indictione undecima A. C. 614
solvens ab urbe regina imperator magnis itineribus in Armeniam contendit. Persarum vero rex Chosroës Sarbanazam ad fines Romanorum invadendos summisit. Heraclius autem litteris Chosroëm monuit, aut

τὴν τῶν Ῥωμαίων γῆν. Ἡράκλειος δὲ ἔγραψεν πρὸς Χοσρόην, ἢ τὴν εἰρήνην ἀσπάσασθαι, ἢ ἑαυτὸν εἰς τὴν Περσίδα σὺν τῷ ἑαυτοῦ στρατιῷ εἰσβαλεῖν. ὁ δὲ Χοσρόης οὔτε τὴν εἰρήνην ἠσπάζετο, οὔτε τι τῶν λόγων ἠγεῖτο, ὅτι Ἡράκλειος τολμᾷ τῇ Περσίδι πλησιάσαι. ὁ δὲ βασιλεὺς τῇ εἰκοστῇ τοῦ Ἀπριλλίου μηνὸς εἰσέβαλεν εἰς τὴν Περσίδα, καὶ μαθὼν τοῦτο Χοσρόης τὸν Σαρβαραζᾶν ὑποστρέψαι ἐκέλευσεν· καὶ ἐπισυνάξας ἐκ πάσης τῆς Περσίδος τὰ ἑαυτοῦ στρατεύματα, καὶ παραδοὺς αὐτὰ τῷ Σάην κατὰ τάχος ἐνωθῆναι αὐτὰ τῷ Σαρβαραζᾶν προσέταξεν· καὶ οὕτω χωρῆσαι κατὰ τοῦ βασιλέως. Ἡράκλειος δὲ προσκαλεσάμενος τὸ ἑαυτοῦ στράτευμα, λόγοις παραινετικοῖς διήγειρεν αὐτούς, λέγων· ἄνδρες, ἀδελφοί μου, λάβωμεν εἰς νοῦν τὸν τοῦ θεοῦ φόβον, καὶ ἀγωνισώμεθα τὴν τοῦ θεοῦ ὕβριν ἐκδικῆσαι. στῶμεν γενναίως κατ' ἐχθρῶν τῶν πολλὰ δεινὰ Χριστιανοῖς ἐργασαμένων. αἰδεσθῶμεν τὸ τῶν Ῥωμαίων ἀδέσποτον κράτος, καὶ στῶμεν κατ' ἐχθρῶν δυσσεβῶς ὡπλισμένων. λάβωμεν πίστιν τῶν φόνων φονεύτριαν. ἐναλογισώμεθα ὅτι ἔνδον ἐσμὲν τῆς τῶν Περσῶν γῆς, καὶ μεγάλον κίνδυνον ἡ φυγὴ φέρει. ἐκδικήσωμεν τὰς φθορὰς τῶν παρθένων, τὰ τετμημένα μέλη τῶν στρατιωτῶν ὁρῶντες, πο-

4. οὔτε ἐπὶ τὸν λόγον ἠγεῖτο f. 6. μηνὸς om. a. 7. ὑποστρέψας vulg. 9. Σάϊν a, Σάκῳ e. 15. ἐκδικῆσαι a f, ἐκζητῆσαι vulg. 18. φόνων a f, φόβων vulg.

pacem amplecteretur, aut certe quam citius in Persidem irrupturum se praestolaretur. at Chosroës neque pacis sermones admisit, et Heraclii minas pro nihilo habendas duxit, qui eum in Persiam propius accedere non ausurum speraret. imperator itaque mensis Aprilis die vigesimo in Persiam irruptionem fecit: quod ubi rescivit Chosroës, Sarbarazam revocat, et collectis ex universa Perside copiis, iisque Sai duci commissis, quam citius Sarbarazae adiungeret se, ut viribus unitis in imperatorem progrederentur, edixit. Heraclius autem vocato ad allocutionem exercitu, verbis ad suadendum aptis animos eorum excitaturus: viri, fratres, inquit, dei timorem in animum inducamus, et eius iniurias ulcisci contendamus. stemus animo forti in hostes, a quibus hucusque Christiani tot adversa perpessi. Romani imperii maiestatem hucusque indomitam barbaris succumbere pudeat nos, et hostibus arma impia tractantibus invictum pectus opponamus. fide mortis ac metus omnis triumphatrice accingamur. in Persicae ditionis meditullio consistere nos contemplemur, et quantum periculum fuga secum vehat. corruptas virgines nostras ulciscamur: visis

νήσωμεν τὰς καρδίας. οὐκ ἔστιν ὁ κίνδυνος ἄμισθος, ἀλλὰ τῆς αἰωνίου δόξης πρόξενος. στῶμεν ἀνδρείως, καὶ κύριος ὁ θεὸς συνεργήσει ἡμᾶς, καὶ ὀλέσει τοὺς ἐχθροὺς ἡμῶν. ταῦτα δὲ καὶ ἄλλα τοῦ βασιλέως παραινέσαντος τῷ λαῷ, ἀπεκρίθη αὐτῷ εἷς ὑπὲρ πάντων· ἤπλωσας ἡμῶν τὰς καρδίας, δέσποτα, τὸ σὸν πλατύνας ἐν παραινέσει στόμα. ὤξυναν οἱ λόγοι σου τὰ ξίφη ἡμῶν, καὶ ἔμψυχα ταῦτα εἰργάσαντο. ἀνεπτέρασας ἡμᾶς διὰ τῶν λόγων. ἐρυθριῶμεν ἐν ταῖς μάχαις προάγοντα ἡμῶν σε ὁρῶντες, καὶ ἑπόμεθα ἐν πᾶσι τοῖς σοῖς κελεύμασι. ὁ δὲ βασιλεὺς ἀναλαβὼν τὸ στράτευμα, εὐθὺς ἐν τῇ ἐνδοτέρᾳ Περσίδι διεχώρησεν, πυρὶ καταφλέγων τὰς χώρας καὶ τὰς κώμας· καὶ γίνεταί τι θαῦμα φοβερόν. ἐν γὰρ τῇ θερινῇ τροπῇ ἀὴρ γέγονε δροσώδης, ψυχαγωγῶν τὸν τῶν Ῥωμαίων στρατόν, ὥστε ἀγαθὰς ἐλπίδας ἀναλαβεῖν αὐτούς. ἀκούσας δὲ Ἡράκλειος, ὅτι Χοσρόης ἐν Γαζακῷ τῇ πόλει ἐστὶν σὺν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν πολεμιστῶν, ὥρμησεν κατ' αὐτοῦ· καὶ προπέμψας τινὰς τῶν ὑπ' αὐτοῦ Σαρακηνῶν συναντῶσι τῇ τοῦ Χοσρόου βίγλᾳ, καὶ τούτων τοὺς μὲν ἀνεῖλον, τοὺς δὲ πεδήσαντες σὺν τῷ στρατηγῷ αὐτῶν τῷ βασιλεῖ προσήνεγκαν. τοῦτο μαθὼν Χοσρόης καταλι-

V. 215

D

P. 258

8. fort. *ἀνεπτέρωσας.* 9. *προάγοντα*] *προήγοντα* vulg. 18. *Σαρακηνοὺς* vulg. *σὺν αὐτῷ τῇ τοῦ Χοσρ.* f. 19. *ἀνεῖλεν* vulg.

commilitonum nostrorum membris foede truncatis, qua decet, cordis compassione eos prosequamur. periculum mercede haud vacat, quin immo perpetuae gloriae coronam promeretur. fortiter itaque geramus nos, suppetias dabit deus, nostrosque delebit inimicos. his et aliis similibus imperatori exercitus animos provocanti, unus e turba omnium vice respondit: dilatasti gaudio corda nostra, domine, ubi os ad orandum et suadendum reclusisti. acuerunt gladios sermones tui, animum etiam armis nostris loquela tua fecit. alas certe verbis addidisti. erubescimus tantum te exercitum praecedere, et periculis obiici: et ob id maxime iussis tuis omnibus semper parebimus. ita imperator exercitu educto, in mediam ipsam Persidem velocissime penetravit, et obvias quasque urbes et vicos igne devastavit. tum vero insuetum omnino et horrore dignum miraculum fieri contigit. circa aestivam quippe solis conversionem roridus ac temperatus aer redditus adeo Romanum recreavit exercitum, ut ex eo felicis eventus sequuturi faustam spem conciperent. atque ita audiens Heraclius, ad Gazacum civitatem cum armatorum 40 millibus Chosroëm adesse, recta ad eum contendit. Saraceni vero quidam sub eo militantes ad

πων τὴν πόλιν καὶ τὸ στράτευμα, φυγῇ ἐχρήσατο. ὁ δὲ Ἡρακλειος ἐπιδιώξας, τοὺς μὲν φθάσας ἀνεῖλεν, οἱ δὲ λοιποὶ φυγόντες διεσκεδάσθησαν· καὶ καταλαβὼν ὁ βασιλεὺς τὴν Γαζακῶ πόλιν ἐν τῇ ἀνατολῇ, ἐν ᾗ ὑπῆρχεν ὁ ναὸς τοῦ Πυρὸς καὶ τὰ χρήματα Κροίσου τοῦ Λυδῶν βασιλέως, καὶ ἡ πλάνη τῶν ἀνθράκων, ταῦτα λαβὼν ἐπὶ Δασταγέρδι χωρεῖ. ὁ δὲ βασιλεὺς ἀπάρας ἀπὸ Γαζακῶ καταλαμβάνει τὴν Θηβαρμαΐς· καὶ εἰσελθὼν ἐν αὐτῇ πυρὶ ἀνήλωσεν τὸν τοῦ Πυρὸς ναόν, καὶ πᾶσαν τὴν πόλιν πυρὶ ἀναλώσας κατεδίωκεν ὀπίσω Χοσρόου ἐν τοῖς στενοῖς τῶν Μήδων χωρίοις, καὶ ἐν ταύταις ταῖς δυσχωρίαις τόπον ἐκ τόπου ὁ Χοσρόης ἤμειβεν· καὶ ὁ Ἡράκλειος τοῦτον διώκων πολλὰς πόλεις ἐπόρθησεν καὶ χώρας. χειμῶνος δὲ καταλαβόντος, βουλὴν ἐποιήσατο τοῦ παραχειμάσαι μετὰ τοῦ λαοῦ αὐτοῦ· καὶ οἱ μὲν ἔφασκον ἐν Ἀλβανίᾳ, οἱ δὲ κατ' αὐτὸν εἰσβαλεῖν τὸν Χοσρόην. ὁ δὲ βασιλεὺς ἐκέλευσε τὸν λαὸν ἁγνίζεσθαι τρεῖς ἡμέρας, καὶ ἀνοίξας τὰ τοῦ θεοῦ εὐαγγέλια, εὗρεν ἐπιτρέποντα αὐτῷ ἐν Ἀλβανίᾳ παραχειμάσαι. εὐθέως οὖν ἐπιτρέψας, ὥρμησεν ἐν Ἀλβανίᾳ. ἐν δὲ τῷ μεταξὺ τῆς ὁδοῦ ἔχων πολλὴν αἰχμαλωσίαν τῶν Περσῶν σὺν αὐτῷ, οὐκ ὀλίγας ἐπιδρομὰς ὑπὸ τῶν Πέρ-

10. χώρας b f. ἐν vulgo deest. 20. τῶν add. ex a f, ὑπὸ τῶν Περσῶν f.

praecurrendum praemissi, Chosrois excubitoribus obviam facti, eos partim trucidant, partim vinculis mancipatos cum duce ad imperatoris conspectum adducunt. audiens hoc Chosroës, deserta urbe et exercitu, celeri fuga salutem quaerit. insequitur Heraclius, et fugitivorum quosdam assequutus, interficit, alios pedum celeritate sibi ereptos passim dissipat. Gazacum subinde orientis civitatem, in qua Ignis erectum templum, divitiae Croesi Lydorum regis repositae, et carbonum impostura recondita, occupat: quibus sublatis Dastagerdem perrexit. porro imperator Gazaco relicta, Thebarmaes accedit, et in urbem ingressus Ignis templum cum universa civitate igne consumpsit: inde vero Chosroëm a tergo per angusta Medorum loca insequutus est, qui per has oberrans angustias ex uno loco subinde ad alium transmigrabat. Heraclius autem hunc persequens multa oppida camposque diripuit. sed cum hieme ingruente de hibernis cum exercitu deliberaret, alii in Albania hiemandum, alii vero contra ipsum Chosroëm pergendum esse censebant. imperator autem cum expiationem ac sanctimoniam universo exercitui per dies tres continuos indixisset, apertis dei evangeliis, invenit sibi significari, ut in Albania hiemaret. quamobrem continuo iter convertens in Albaniam contendit. in itinere porro cum ingentem Persarum, tam divitiarum, quam

σικῶν στρατευμάτων ἐδέχετο· αὐτὸς δὲ τῇ τοῦ θεοῦ συνεργείᾳ νίκην κατὰ πάντων ἤρατο. χειμῶνος δὲ σφοδροῦ ἐπιπεσόντος αὐτῷ ἐν τῇ ὁδῷ καὶ κρύους, φθάσας αὐτὸς ἐν Ἀλβανίᾳ πεντήκοντα χιλιάδας δεσμίους ἔχων, τούτους τῇ εὐσυμπαθήτῳ αὐτοῦ καρδίᾳ ἐλεήσας τῶν δεσμῶν ἔλυσεν, καὶ ἐπιμελείας καὶ ἀναπαύσεως μετεδίδου· ὥστε πάντας μετὰ δακρύων τούτῳ ηὔχοντο ῥύστῃ γενέσθαι καὶ τῆς Περσίδος τὸν κοσμόλεθρον ανελόντι Χοσρόῃ.

Δευτερον ἔτος Ἀμέδ. D

Τούτῳ τῷ ἔτει Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς Σαραβλαγᾶν προεβάλετο στρατηγὸν ἄνδρα [στρατηγόν, καὶ] τύφῳ πολλῷ ἐπηρμένον· καὶ παραδοὺς αὐτῷ στρατὸν τοὺς λεγομένους Χοσροηγένας καὶ Περοζίτας ἐν Ἀλβανίᾳ ἔστειλεν κατὰ Ἡρακλείου. εἰσβαλόντες δὲ εἰς τὰ ἄκρα τῆς Ἀλβανίας, οὐκ ἐθάρρησαν κατὰ πρόσωπον τοῦ βασιλέως πρὸς πόλεμον στῆναι· ἀλλὰ τὰς εἰς Περσίδα ἀγούσας κλεισούρας ἐκράτησαν, νομίζοντες τοῦτον λοχῆσαι. ὁ δὲ Ἡράκλειος ἅμα ἔαρι ἀπάρας τῆς Ἀλβανίας δι' ὑπτίων πεδίων, καὶ τὰς τροφὰς δαψιλῶς εὐπορούντων τὴν πάροδον ἐποιεῖτο εἰς Περσίδα, εἰ καὶ μήκους διάστημα πολλῇ ὁδῷ ἤνυεν. ὁ δὲ Σαραβλαγᾶς διὰ στε-

A.M. 6115

V. 206

P. 259

7. ῥύστην vulg., μύστην b. 10. Σαραβλάγγαν f. 11. ἄνδρα στρατηγὸν: haud dubie corruptum; sed incertum quid reponendum sit. 13. Χοσροηγέτας alii codd. Περοζίτην vulg.

captivorum praedam secum abduceret, multas incursiones a Persicis copiis passus est: sed deo opitulante victor ubique evasit. cum autem hiems rigidior ac gelu eos in itinere vexasset: ipse ubi in Albaniam devenit, Persas quos ad quinquaginta millia captivos secum ducebat, pro innata sibi misericordia a vinculis solvit, ipsosque, qua potuit, corporis cura et medela refecit, ita ut omnes in lacrimas effusi, votis pro eo conceptis exoptaverint, ut perniciosa illa totius orbis peste Chosroë occiso, ipse universae demum Persiae liberator evaderet.

Amed annus secundus.

Hoc anno Persarum rex Chosroës Sarablagam virum strenuum et Martio fastu tumentem ducem instituit, et exercitu Chosroëgenarum sic vocato ei commisso, simul cum Perozite adversus Heraclium in Albaniam misit. Albaniae vero fines ingressi ad imperatorem cominus accedere, vel ad eius conspectum sub armis stare nusquam ausi sunt: verum insidias ei praestruere consiliati, montium angustias, quibus ad Persiam iter, occupare sibi satis esse putaverunt. Heraclius autem per amplas supinasque camporum planities, ex quibus uberem

A. C. 615

νῆς ὁδοῦ, ὡς διὰ συντόμου ἤλαυνεν, τοῦ προλαβεῖν αὐτὸν ἐν τῇ χώρᾳ Περσίδος. ὁ Ἡράκλειος δὲ παρῄνει τῷ λαῷ λέγων· ἔγνωμεν, ἀδελφοί, ὡς ἡ στρατιὰ τῶν Περσῶν ἐν τοῖς δυσβάτοις τόποις πλανωμένη, τούς τε ἵππους αὐτῆς παραλύει καὶ αὐτοὺς ἐκνευροῖ. ἡμεῖς δὲ σπεύσωμεν κατὰ Χοσρόου χωρῆσαι ἐν πολλῷ τάχει, ὥστε ἐκ τοῦ ἀπροσδοκήτου ἐπιπεσόντες αὐτὸν θορυβήσωμεν. ὁ δὲ λαὸς οὐ συνεβουλεύετο τοῦτο ποιῆσαι, μάλιστα οἱ τῶν Λαζῶν καὶ τῶν Ἀβασγῶν καὶ τῶν Ἰβήρων σύμμαχοι. ἐντεῦθεν ἐν συμφοραῖς περιπίπτουσι. κατέ-
B λαβε γὰρ Σαρβαραζᾶς μετὰ τοῦ λαοῦ αὐτοῦ οὓς ἐξώπλιζεν Χοσρόης πάσῃ δυνάμει, καὶ ἀπέστειλεν κατὰ Ἡρακλείου διὰ τῆς Ἀρμενίας. Σαραβλαγᾶς δὲ ἠκολούθει ἐκ τῶν ὄπισθεν αὐτοῦ, καὶ οὐ συνέβαλεν αὐτῷ ἐκδεχόμενος ἑνωθῆναι τῷ Σαρβαραζᾷ, καὶ οὕτω τὸν πόλεμον συστήσασθαι. γνόντες δὲ οἱ Ῥωμαῖοι τὴν ἔφοδον τοῦ Σαρβαραζᾶ εἰς δειλίαν ἐτράπησαν, καὶ τοῖς ποσὶ τοῦ βασιλέως προσέπεσον δάκρυσι μετανοοῦντες διὰ τὴν κακῶς γενομένην αὐτῶν παρακοήν, γνόντες οἷον κακόν ἐστι δοῦλον μὴ εἴκειν τοῖς τοῦ δεσπότου βουλεύμασι· καὶ ἔλεγον· τὴν χεῖρά σου, δέσποτα, πρὶν ἀπολέσαι ἡμᾶς τοὺς
C ἀθλίους· εἴκομεν γάρ σοι, ἐν οἷς ἂν κελεύῃς. τότε ὁ βασι-

6. ἀπροσδοκήτους vulg. 9. περιπεπτώκασι f. 20. κελεύεις vulg.

colligebat commeatum, ex Albania simul cum ineunte vere solvens iter in Persiam agebat, licet ob locorum distantiam longiori mora perficere cogeretur. at Sarablagas, quo imperatorem praeverteret, per viam angustam velut magis compendiariam in Persiam procedere statuit. Heraclius proinde verbis istiusmodi exercitum animabat: Persarum exercitum imperviis locis nunc errantem equos penitus defatigare ac viribus exhaurire novimus, fratres: quamobrem Chosroëm aggredi cum multa celeritate festinemus, ut ex improviso irruentes, eum in metum et fugam coniiciamus. exercitus porro, ex Lazis maxime, Abasgis et Iberis socii consilium huiusmodi exequi aversabantur, ex quo demum ingens suborta calamitas. Sarbarasas enim iis quas instruxerat Chosroës copiis adiunctus, simul cum reliquis suis agminibus per Armeniam adversus Heraclium incessit. Sarablagas porro imperatorem pone sequutus, ad congressum non descendit: Sarbarazae quippe adiungere se studebat, atque ita bellum committere. Romani cognito Sarbarazae adventu metu percelluntur, et malae admissae contumaciae poenitentes, quantum malum sit servum domini consiliis non parere fassi, ad imperatoris pedes cum lacrimis procidunt: et, dexteram tuam, inquiunt, domine porrige osculandam pri-

λεὺς ἔσπευσεν συμβαλεῖν τῷ Σαραβλαγᾷ, πρὶν ἐνωθῆναι τῷ λαῷ τοῦ Σαρβαραζᾶ· καὶ πολλὰς ἐκδρομὰς κατ' αὐτοῦ ποιησάμενος ἐν νυκτί τε καὶ ἡμέρᾳ, εἰς δειλίαν αὐτὸν κατέστησεν· καὶ ὄπισθεν ἐάσας τοὺς ἀμφοτέρους κατὰ Χοσρόου μετὰ σπουδῆς ἤλαυνέν. αὐτομολοῦσι δὲ δύο τῶν Ῥωμαίων πρὸς τοὺς Πέρσας, καὶ πείθουσιν αὐτοὺς ἐκ δειλανδρείας φεύγειν τοὺς Ῥωμαίους. ἦλθεν δὲ αὐτοῖς καὶ φήμη ἑτέρα, τὸν Σάην στρατηγὸν Περσῶν καταλαμβάνειν μεθ' ἑτέρου στρατεύματος εἰς βοήθειαν· καὶ τοῦτο μαθόντες Σαρβαραζᾶς καὶ Σαραβλαγᾶς ἠγωνίσαντο προσβαλεῖν τῷ Ἡρακλείῳ πρὸς πόλεμον, πρὶν ἢ φθάσαι τὸν Σάην, καὶ τῆς νίκης ἑαυτῷ μετενεγκεῖν τὸ κλέος. πιστεύσαντες δὲ καὶ τοῖς αὐτομόλοις, ἐχώρησαν κατὰ Ἡρακλείου· καὶ πλησιάσαντες αὐτῷ ἠπλίκευσαν, βουλόμενοι ἅμα τῷ πρωῒ συμβαλεῖν. ὁ δὲ Ἡράκλειος ἀπάρας ἀπὸ ἑσπέρας, ὥδευσεν δι' ὅλης τῆς νυκτός· καὶ μακρὰν γενόμενος ἀπ' αὐτῶν εὑρών τε πεδίον χλοηφόρον ἠπλίκευσεν ἐν αὐτῷ. οἱ δὲ βάρβαροι νομίσαντες ἐκ δειλίας φεύγειν, ἀκόσμως ἤλαυνον τοῦ καταλαβεῖν αὐτούς. αὐτὸς δὲ ὑπαντήσας αὐτοῖς ἐκρότησε πόλεμον κατ' αὐτῶν. καταλαβὼν δὲ βουνόν τινα ἀλσώδη καὶ ἐπισωρεύσας τὸν λαὸν αὐτοῦ, τῇ

12. πιστεύσαντες δὲ: h. l. A in ordinem redit. 15. καὶ μακρὰν γενόμενος ἀπ' αὐτῶν add. ex A. 16. εὑρόντες f. 19. αὐτοὺς A, αὐτὸν vulg.

usquam miseri pereamus: tibi etenim ad placitum obsequi parati sumus. tunc imperator Sarablagae, antequam Sarbarazae exercitui adiungeretur, inita pugna vires experiri tentat, crebrisque tum noctu tum interdiu factis in eum excursionibus, in metum et animi molestiam coniicit. tum utroque post se relicto celeri gressu adversus Chosroëm contendit. duo vero milites Romanis partibus desertis ad Persas transfugientes, eos ex metu fugae se dedisse persuadent. sed et alius rumor ad Persas delatus, Saem nimirum ducem cum altero exercitu suppetias venire. audito nuncio Sarbarazas et Sarablagas cum Heraclio ad pugnam descendere properabant, priusquam nimirum Saës adveniret, et victoriae gloriam omnem ad se transferret. quare data desertoribus fide, adversus Heraclium progressi sunt: et iam proximi castra metati sunt, simul cum sequenti luce manus committere decernentes. Heraclius sub vesperam inde solvens, tota nocte itinere confecto, mox campo virenti invento, in eo castra applicuit. barbari fuga salutem quaerere rati, nullo servato ordine, ut eum assequerentur, procurrebant: tum ipse facie in eos versa, acre cum iis iniit praelium. cum enim collem quendam nemorosum occupasset, exer-

P. 260 τοῦ θεοῦ συνεργείᾳ τρέπει τοὺς Πέρσας, καὶ τούτους διὰ φαράγγων διώξας, πλῆθος πολὺ ἀνείλεν. καὶ τούτων μεταξὺ τῶν ἀγώνων ὄντων, ἔφθασεν καὶ ὁ Σάην σὺν τῷ ἑαυτοῦ στρατῷ, καὶ τοῦτον τρεψάμενος ὁ βασιλεύς, καὶ πολλοὺς ἐξ αὐτῶν ἀνελών, τοὺς λοιποὺς διέσπειρε φεύγοντας· παρέλαβε δὲ καὶ τὸ τοῦλδον αὐτῶν. ὁ δὲ Σαρβαραζᾶς ἑνωθεὶς τῷ Σάην ἐπεσύναξεν τοὺς σωθέντας βαρβάρους· καὶ πάλιν διενοοῦντο κατὰ Ἡρακλείου χωρεῖν. ὁ δὲ βασιλεὺς ἐπὶ τὴν τῶν
V. 107 Οὔννων χώραν καὶ τὰς τούτων δυσχωρίας ἤλαυνεν, ἔν τε τραχέσι τόποις καὶ δυσβάτοις. οἱ δὲ βάρβαροι ὀπίσω αὐτῶν
B ἠκολούθουν. οἱ δὲ Λαζοὶ ἅμα τοῖς Ἀβασγοῖς δειλιάσαντες, ἀπέσπασαν ἑαυτοὺς τῆς τῶν Ῥωμαίων συμμαχίας, καὶ πρὸς τὴν ἰδίαν χώραν ἀνεχώρησαν. ὁ δὲ Σάην ἡσθεὶς ἐπὶ τούτῳ, θυμῷ πολλῷ σὺν τοῖς βαρβάροις ἐχώρει κατὰ Ἡρακλείου. ὁ δὲ βασιλεὺς ἐπισυναξας τὸν στρατὸν λόγοις ἀνεπτέρωσεν, καὶ παραινέσει τούτους εἴληφε, λέγων· τὸ πλῆθος ὑμᾶς, ἀδελφοί, μὴ ταραττέτω. θεοῦ γὰρ θέλοντος, εἷς διώξει χιλίους. θύσωμεν οὖν τῷ θεῷ ἑαυτοὺς ὑπὲρ τῆς τῶν ἀδελφῶν ἡμῶν σωτηρίας. λάβωμεν στέφος μαρτύρων, ἵνα καὶ ὁ μέλλων ἡμᾶς

1. τοὺς βαρβάρους A. 2. φαράγγων A, φάραγγας vulg. 3. σὺν τῷ ἑαυτοῦ στρ. A, σὺν τῷ στρ. αὐτοῦ vulg. 4. τρεψάμενος A, τρέψας vulg. 9. τας τούτων δυσχωρίας A, ταῖς αὐτῶν δυσχωρίαις vulg. 12. τῶν add. ex A. 15. ἀνεπτέρωσεν A, ἀνεπέρρωσεν vulg. 16. παραινέσει A, παραινέσεσι vulg. 19. ἵνα καὶ ὁ A, ἵνα ὁ vulg.

citu in eum agglomerato, dei nutu Persas in fugam adigit, ipsosque per convalles insequutus, magnam stragem edidit. porro durante hoc certamine, cum Saës cum exercitu supervenisset, eo in fugam verso, magnaque illius exercitus parte caesa, reliquos palantes dissipavit, et eorum omnia cepit impedimenta. Sarbarazas subinde Sai adiunctus barbaros e praelio superstites colligebat, ac uterque de Heraclio compositis viribus aggrediendo commune consilium iniit. verum imperator per Unnorum provinciam, viarumque molestias, et aspera inaccessaque eorum loca iter agere: et barbari eum a tergo insequi. hic Lazi una cum Abasgis periculo deterriti, violata societate, et a Romano exercitu divulsi, in propriam regionem secessere. Saës Romana calamitate laetior redditus, animis resumptis in Heraclium cum barbaris erumpit. imperator ex adverso collectum exercitum verbis corroborare, et militum animos monitis istiusmodi delinire: hostium numerus plane ingens nusquam vos, fratres, terreat: deo enim ita volente, Romanus vel unicus mille adversarios fugabit. pro fratrum nostrorum salute nosmetipsos deo immolemus. coronas martyrum as-

χρόνος ἐπαινέσῃ, καὶ ὁ θεὸς τοὺς μισθοὺς ἀποδώσῃ. τούτοις καὶ ἄλλοις πλείοσι λόγοις παραθαρσύνας τὸν στρατόν, φαι- C
δρῷ τῷ προσώπῳ παρατάττει τὸν πόλεμον, καὶ στάντες ἀπ' ἀλλήλων ἀπὸ μικροῦ διαστήματος, ἀπὸ πρωΐ ἕως ἑσπέρας ἀλλήλοις συνέβαλλον. ἑσπέρας δὲ καταλαβούσης ὁ βασιλεὺς τῆς ὁδοιπορίας εἶχετο. οἱ δὲ βάρβαροι πάλιν ὀπίσω αὐτοῦ ἤλαυνον. ἐναλλάξαντες δὲ τὴν ὁδόν, καὶ τοῦτον προλαβεῖν θελήσαντες, ἐμπίπτουσιν εἰς τόπους τελματώδεις, καὶ πλανῶνται καὶ εἰς μεγάλον κίνδυνον ἦλθον. ὁ δὲ βασιλεὺς διαβὰς τὰ μέρη Περσαρμενίας παρέτρεχεν. τῆς δὲ γῆς ἐκείνης ὑπὸ Περσῶν κρατουμένης, πολλοὶ συνέτρεχον τῷ Σαρβαραζᾷ, καὶ ἐπηῦξεν τὸν ἑαυτοῦ λαόν. χειμῶνος δὲ γεγονότος, ἐσκορπίσθη τὸ πλῆθος ἐν τοῖς ἰδίοις τόποις. τοῦτο δὲ ὁ Ἡράκλειος D
μαθών, διανοεῖται ἐν νυκτὶ κλέψαι τὸν πόλεμον· καὶ τοῦ χειμῶνος ἐπικειμένου, καὶ ὑποψίας μηδεμιᾶς οὔσης τῷ βαρβάρῳ, διαλεξάμενος ἵππους εὐσθενεῖς, καὶ τοῦ στρατοῦ τοὺς ἀνδρειοτέρους διχῇ ὁπλίσας, τοὺς μὲν προάγειν ἐκέλευσεν κατὰ τοῦ βαρβάρου· αὐτὸς δὲ σὺν τοῖς ἑτέροις ὀπίσω τούτων εἵπετο. σπεύσαντες δὲ διὰ τῆς νυκτός, κατέλαβον τὸ

1. ἀποδώσῃ. τούτοις A, ἀποδώσει τούτοις. vulg. 4. ἕως] μέχρις A. 9. εἰς μέγαν κ. A, v. p. 472, 19. 10. τὰ μέρη τῆς Ἀρμ. e. 12. ἐπηῦξει vulg. 13. τόποις] πρὸς τὸ ἀναπεύεσθαι A. 15. τῷ Σαρβάρῳ A, τῶν βαρβάρων e. 19. κατέλαβον A, καὶ καταλαβόντες vulg.

sequamur: ita nos laudibus complebunt posteri, et factis nostris mercedem deus rependet. pluribus etiam aliis exercitu animato, imperator alacri iam facie agmina componit pugnae. constiterunt adversariae acies exiguo seiunctae spatio, a mane usque ad vesperam, nec signa contulerunt. vespera autem ingruente, imperator iter iniit, barbaris rursum a tergo eum insequentibus. eum vero immutata via praevertere meditati, in palustria loca prolapsi palantesque in magno discrimine versati sunt. imperator inde digressus, Persarmeniae partes obibat: e regione autem illa, quae nimirum Persarum ditioni subiecta est, plures ad Sarbarazam confluxerunt, ex quibus ipse copias et exercitum auxit: sed cum hiems appeteret, huiusmodi multitudo in proprias sedes et domos dispersa est. ea re cognita, bello nocturno inimicos furtim lacessere meditatur Heraclius. itaque cum saeva hiemis tempestas incumberet, nulla de se barbaro suspicione iniecta, robustiores equos et milites viribus praestantiores selectos et armis instructos in duas acies dividit, et hanc quidem barbarum impetituram iussit praecedere: ipse cum altera pone sequi instituit. itinere celeri gressu per noctem confecto, hora noctis eiusdem nona

χωρίον Σαλβανῶν, ὥρᾳ τῇ θ' τῆς νυκτός, Περσῶν ἐν αὐτῷ ὄντων καὶ γνόντων τὴν ἔφοδον, οἳ καὶ διαναστάντες ὥρμησαν κατ' αὐτῶν. οἱ δὲ Ῥωμαῖοι τούτους πάντας ἀνεῖλον πλὴξ
P. 261 ἑνός, ὅστις τῷ βαρβάρῳ ἐμήνυσεν. ὁ δὲ βάρβαρος ἀναστάς, καὶ ἐπιβὰς ἵππῳ, γυμνός τε καὶ ἀνυπόδητος, φυγῇ τὴν σωτηρίαν ἐποιήσατο. τούτου δὲ τὰς γυναῖκας, καὶ πᾶν τὸ Περσικὸν ἄνθος ἄρχοντάς τε καὶ σατράπας καὶ στρατιώτας ἐπιλέκτους καταλαβὼν ἀνελθόντας ἐν ταῖς τῶν οἴκων στέγαις καὶ πόλεμον κροτοῦντας διὰ τοῦ πυρὸς καθεῖλεν· καὶ οὓς μὲν ἔκτεινεν, οὓς δὲ πυρὶ ἀνήλωσεν, ἄλλοι δὲ χειροπέδαις ἐδεσμήθησαν καὶ μικροῦ δεῖν οὐδεὶς ἐκτὸς Σαρβαραζοῦ ἐσώθη. ἔλαβον δὲ καὶ τὰ ὅπλα τοῦ Σαρβαραζοῦ χρυσῆν ἀσπίδα τε καὶ μάχαιραν καὶ δόρυ καὶ τὴν διάλιθον καὶ χρυσῆν ζώνην καὶ τὰ ὑποδήματα αὐτοῦ· καὶ ταῦτα πάντα λαβὼν χωρεῖ κατὰ τῶν διε-
B σπαρμένων αὐτοῖς χωρίοις, οἵτινες μαθόντες τὴν τοῦ Σαρβαραζοῦ φυγήν, ἀκρατῶς ἔφυγον. αὐτὸς δὲ διώξας πολλοὺς αὐτῶν ἔκτεινεν, καὶ δεσμίους ἔλαβεν καὶ οἱ λοιποὶ μετ' αἰσχύνης ἐν Περσίδι ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸ ἑαυτοῦ στρατόπεδον, μετὰ χαρᾶς ἐν ἐκείνοις τοῖς τόποις παρεχείμασεν.

1. Σαλβανῶν A, Σαλβανὸν vulg. 6. ἐποιήσατο A b, ἐπορίσατο vulg. 8. καταλαβὼν A, ἀναλαβὼν vulg. 10. καὶ μικροῦ — — ἐσώθη add. ex A. 14. ταῦτα add. ex A. 15. αὐτοῖς] αὐτῶν A, ἐν τοῖς vulg.

Salbanum oppidum perveniunt. una Persae loco eodem reperti, Romanorum adventu cognito, stratis exurgentes in Romanos incurrunt. Romani vero eos omnes occiderunt praeter unum, qui cladis nuncius ad barbarum venit. quare barbarus loco celerius relicto, nudus et discalceatis etiamnum pedibus, equum conscendens fuga salutem sibi comparavit. huius uxores et Persicum omnem florem, principesque et satrapas, et delectos milites cum super tecta domorum ascendisse ac defensionem inde moliri conspiceret, igne conjecto disturbavit: et quosdam quidem occidit, alios cremavit, alios denique manicis et compedibus vinctos in captivitatem abduxit. cepit etiam arma Sarbarazae, clypeum aureum, machaeram, hastam, et zonam auro gemmisque ornatam, nec non eius calceamenta. iis omnibus sublatis, adversus caeteros, qui huc et illuc palantes vagabantur et dispersi erant, contendit. illi fuga Sarbarazae cognita, pari impetu in eam se conjecere. imperator diutius eos insequutus plures eorum delevit, captivos alios abduxit, reliquos cum dedecore in Persiam coegit redire: ac demum proprio exercitu in unum collecto, in iis ipsis locis hiliariter hiemavit.

Τούτῳ τῷ ἔτει μηνὶ Μαρτίῳ α' ἐπισυνάξας ὁ βασι- A.M.6116
λεὺς Ἡράκλειος τὸ ἑαυτοῦ στράτευμα βουλὴν ἐποιεῖτο, ποίᾳ V.208
ὁδῷ πορευθῇ, δύο γὰρ ὁδοὶ αὐτῷ προέκειντο στεναὶ καὶ δύσ-
βατοι· ἡ μὲν ἐπὶ Τάραντον φέρουσα, ἡ δὲ ἐπὶ τὴν τῶν
Σύρων γῆν. καὶ ἡ μὲν ἐπὶ Τάραντον διαφορωτέρα μὲν
ἦν, ἀλλ' ἀπορίαν εἶχεν τῶν τροφῶν πασῶν· ἡ δὲ ἐπὶ τὴν
τῶν Σύρων τὸν Ταῦρον ὑπερβαίνουσα τὴν εὐπορίαν τε καὶ
δαψίλειαν τῶν τροφῶν παρεῖχεν. ταύτην συγκρίνουσι πάντες,
εἰ καὶ ἀποτομωτέρα καὶ χιόνι πολλῷ κατεχομένη ὑπῆρχεν. D
ταύτην δὲ κόπῳ πολλῷ ὑπερβάντες, ἑπτὰ ἡμέραις καταλαμ-
βάνουσι τὸν Τίγριν ποταμόν· καὶ τοῦτον περάσαντες κατα-
λαμβάνουσι τὴν Μαρτυρόπολιν, καὶ τὴν Ἀμιδαν· καὶ ἀνα-
παύονται ὅ τε στρατὸς καὶ ἡ αἰχμαλωσία. ἐντεῦθεν καὶ γράμ-
ματα ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἠδυνήθη ἀποστεῖλαι, καὶ
τὰ καθ' ἑαυτὸν πάντα δηλῶσαι, καὶ χαρὰν πολλὴν ἐμποιῆσαι
τῇ πόλει. ὁ δὲ βάρβαρος ἐπισυνάξας τὸν ἑαυτοῦ διασπαρέντα
λαόν, ἐπῆλθεν κατ' αὐτοῦ. ὁ δὲ βασιλεὺς ἐπιλεξάμενος ἐπι-
λογὴν στρατιωτῶν, ἀπέλυσε φυλάττειν τὰς πρὸς αὐτὸν ἀγούσας κλεισούρας· καὶ τὰς πρὸς ἀνατολὴν αὐτὸς ἐκδραμὼν P.262
διεξόδους, ἀντιπρόσωπος ἦει τῷ βαρβάρῳ, καὶ περάσας τὸν

2. ἐποιεῖτο, ποίᾳ A, ἐπ., τὸ ποίᾳ vulg. 3. στεναὶ καὶ A, στεναί τε καὶ vulg. 4. καὶ ἐπὶ Ταρ. διαφορ. ἐστὶν A f. 5. ἀπορίαν — — — ὑπερβ. τὴν om. A. 7. εὐπορείαν vulg. 10. ἑπτὰ ἡμέραις A, διὰ ἑπτὰ ἡμερῶν vulg. 11. τὸν Τίγριν — — — καταλαμβ. om. A f. 12. διαναπ. A. 13. καὶ γράμματα ὁ βασ. A, δὲ ὁ βασ. γράμμ. vulg. 16. ὁ δὲ Σαρβαραζὰς a, ὁ δὲ Σάρβαρος f.

Hoc anno mensis Martii die primo imperator Heraclius collecto A. C. 616
exercitu universo, qua sibi procedendum via, consilium inivit. geminae namque obiiciebantur oculis angustae sane et difficiles: haec quidem Tarantum, alia in Syrorum regionem ducens. et quae Tarantum quidem, brevior, at ciborum omnium penuria laborabat; quae ferebat in Syriam, ubi Tauri montis culmina superasset, annonae copiam, generisque omnis victum largissime suppeditabat. hanc quamvis asperiorem et nivibus obsitam cuncti decernunt capessendam. eam itaque summo labore dierum septem spatio emensi, ad Tigrim fluvium devenere; quo demum traiecto Martyropolim, et inde Amidam devenere: ibi exercitus omnis et captivorum turba substitit. quin etiam inde litteras Byzantium mittendas et quae gessisset cuncta significanda imperator occasionem nactus decrevit: ex quo Byzantina civitas ingenti gaudio perfusa. barbarus autem dux collecto suo omni exercitu, impressionem in eum fecit. imperator selectos militum manipulos, qui montium angustias et vias ad se ducentes defenderent, misit. ipse per exitus, quibus in orientem itur, egressus barbaro in adversum

Νυμφίον ποταμὸν κατέλαβεν τὸν Εὐφράτην, ἐν οἷς τὴν πλεκτὴν γέφυραν ἐκ σχοινίων τε καὶ ἡνίων. ὁ δὲ Σαρβαραζᾶς τῆς γεφύρας τὰ σχοινία λύσας μιᾶς ὄχθης ἐπὶ τὴν ἑτέραν πᾶσαν τὴν γέφυραν μετήγαγεν. ἐλθὼν δὲ ὁ βασιλεὺς καὶ μὴ εὑρὼν περᾶσαι διὰ τῆς γεφύρας, παραδραμὼν εὗρε πόρον· καὶ ἀκινδύνως τοῦτον ἐπέρασεν παραδόξως τῷ Μαρτίῳ μηνί· καὶ καταλαμβάνει τὰ Σαμόσατα· καὶ πάλιν τὸν Ταῦρον ὑπερβάς, εἰς Γερμανίκειαν ἀφίκετο· καὶ περάσας τὴν Ἄδανα, ἦλθεν πρὸς τὸν Σάρον ποταμόν. ὁ δὲ Σάρβαρος πάλιν τὴν γέφυραν εἰς τὸν ἴδιον τόπον ἐκτείνας, τὸν Εὐφρά-
B την ἐπέρασεν ἀνεμποδίστως· καὶ ἠκολούθει ὀπίσω αὐτοῦ. ὁ δὲ βασιλεὺς περάσας τὴν γέφυραν τοῦ Σάρου, καὶ εὑρὼν ἀνάπαυσιν τοῦ τε στρατοῦ καὶ τῶν ἀλόγων, ἐν αὐτῷ ἀπλικεύσας διανέπαυσεν αὐτούς. καταλαμβάνει δὲ καὶ ὁ Σάρβαρος εἰς τὸ ἀντίπερα μέρος. εὑρὼν δὲ τὴν γέφυραν καὶ τὰ ἐν αὐτῇ προπύργια ὑπὸ Ῥωμαίων κρατηθέντα, ἠπλίκευσεν. ἐκτρέχοντες δὲ διὰ τῆς γεφύρας πολλοὶ τῶν Ῥωμαίων ἀτάκτως τοῖς Πέρσαις προσέβαλον· καὶ πολλὴν συγκοπὴν αὐτοῖς ἐποίησαν· ὁ δὲ βασιλεὺς τούτους διεκώλυσεν ἀτάκτως ἐκθέειν, μήπως ὁδὸς γένηται τοῖς ἐναντίοις συνελθεῖν εἰς τὴν

1. *Νυμφίον* A, *Νυμφίων* vulg. 2. *σχοινῶν* vulg. *ὁ δὲ Σάρβαρος* A a f. 6. *παραδόξως* add. ex A. 8. *Γερμανίκειαν* A f. 9. *Ἄδαναν* f. *τὸν Ταῦρον* ποτ. a. 10. *τόπον*] *ποταμὸν* A. 14. *καὶ* add. ex A. 17. *ἐκτρέχοντες* A, *ἐντρ.* vulg. 18. *προσέβαλον* A, *προσέβαλλον* vulg. *πολλὴν*] *πάλιν* A b f. 19. *διεκώλυσεν* A, *ἐκώλυσεν* vulg.

ibat, et Nymphio amne superato, ad Euphratem pervenit, ubi pons ex funibus et loris stratus fuerat. Sarbarazas autem pontis funibus solutis, ex una ripa ad alteram pontem omnem adduxit. adveniens imperator, nec quo fluvium superaret reperiens pontem, ripam decurrens eamque perscrutatus, vadum, quo transiret, invenit. absque periculo itaque mense Martio flumen traiicit, et Samosata contendit: Tauroque iterum superato, Germaniciam appulit, Adanamque transiens, Sarum flumen attigit. Sarbarus autem ponte proprium in locum restituto Euphratem nullo obiecto impedimento pertransiit, et imperatoris vestigia sequebatur. ipse imperator Sari pontem transgressus, cum exercitui equisque reparandis locum idoneum reperisset, in eo fixis castris quiescere iussit: oppositam fluminis partem Sarbarus occupavit. ponte vero et turribus ad eum propugnandum obiectis a Romano milite detineri visis, ibi castra applicuit. multi porro ex Romanis incomposito agmine per pontem in Persas incurrentes, magnam eorum stragem edidere. imperator contra, ne tumultuario et absque ordine procederent, vetabat, ne adversariis per pontem secum

γέφυραν, καὶ συμπερᾶσαι. ὁ δὲ λαὸς οὐκ ἐπείθετο τῷ βασι-
λεῖ. ὁ δὲ Σάρβαρος ποιήσας ἔγκρυμμα, καὶ δείξας ἑαυτὸν C
ὡς φεύγοντα, εἵλκυσεν πολλοὺς Ῥωμαίους παρὰ γνώμην τοῦ
βασιλέως εἰς δίωξιν αὐτοῦ περᾶσαι· ὑποστρέψας δὲ καὶ τού-
τους τρεψάμενος, ὅσους ἔξω τῆς γεφύρας ἔφθασεν, ἀνεῖλεν
δίκην ὑποσχόντας τῆς παρακοῆς. ὁ δὲ βασιλεὺς ἑωρακὼς
τοὺς βαρβάρους τῇ διώξει τὴν τάξιν λύσαντας, καὶ ἐκ τῶν
ἐφεστώτων Ῥωμαίων τοῖς προπυργίοις ὑπ' αὐτῶν πολλοὺς V. 209
ἀναιρουμένους, κατ' αὐτῶν ἐχώρησεν. ἀνὴρ δέ τις γιγαντι-
αῖος τῷ βασιλεῖ συναντήσας, μέσον τῆς γεφύρας προσέβαλεν.
ὁ δὲ βασιλεὺς τοῦτον πατάξας, ἐν τῷ ῥείθρῳ τοῦ ποταμοῦ
ἔρριψεν. τούτου δὲ πεσόντος, εἰς φυγὴν ἐτράπησαν οἱ βάρ-
βαροι, καὶ τῇ στενώσει τῆς γεφύρας οἱ βάρβαροι εἰς τὸν πο- D
ταμὸν ἑαυτοὺς ἔρριπτον· ἄλλοι δὲ καὶ τοῖς ξίφεσιν ἀνῃ-
ροῦντο· τὸ δὲ πλῆθος τῶν βαρβάρων πρὸς τὰ χείλη τοῦ πο-
ταμοῦ χυθέν, ἐτόξευον καὶ ἀνθίσταντο μὴ ἐῶντες τοὺς Ῥω-
μαίους περᾶσαι. ὁ δὲ βασιλεὺς περάσας γενναίως τοῖς βαρ-
βάροις ἀνθίστατο· μετὰ ὀλίγων τινῶν τῆς αὐτοῦ ἑταιρίας ἀγω-
νιζόμενος ὑπὲρ ἄνθρωπον, ὥστε τὸν Σάρβαρον ἐκπλαγῆναι,

2. ἔγκρυμμα A, ἐγκρύμματα vulg. 4. καὶ add. ex A. 7. τὴν add. ex A. 8. ὑπ' αὐτῶν om. A. 9. ἀναιρουμένους A, ἀναιρομένους vulg. 10. προσέβαλεν A, προέβαλεν b f, προσ-έβαλλεν vulg. 15. χεῖλη] τείχη A. 16. τοὺς Ῥωμαίους A, τοῖς Ῥωμαίοις vulg. 17. γενναίως A, γενναῖος vulg.

irrumpendi viam facerent, et in adversam ripam deducerent. imperatori exercitus minime obsequutus est. interea Sarbarus, positis in occulto insidiis, ipse simulata inter pugnandum fuga, Romanorum non paucos, etiam imperatore prohibente, ad se persequendum provocavit, et ex improviso conversus insectatos se in fugam egit, et quantos ultra pontem sibi obiectos attigit, universos contumaciae suae poenam passos e medio sustulit. attamen imperator cum barbaros, dum alios persequuntur, ordinem deserere, et eos qui pontis propugnacula et turres defendebant, a Persis occidi videret, adversus Persas irruit. tum vero quidam Gigantaeae staturae imperatori obviam factus, eum in medio ponte aggressus est: quem imperator gravi vulnere percussum in amnis fluentum deturbavit, eoque cadente reliqui fugere barbari, et prae pontis angustia se ipsos partim in flumen proiecere, alii gladiis caesi: cum interim reliquus exercitus barbarus ex fluminis sponda sagittas confertim mitterent, fortiterque obsisterent, ne Romani pontem transgrederentur. ast imperator velut strenuus et Marte plenus flumine traiecto validum pectus hostibus opposuit, et cum paucis ex sodalitio facinus vel supra vires humanas edidit, adeo ut ipse Sarbarus, admiratione perculsus, Cosmae cuidam, qui fidem foeda ad

καὶ Κοσμᾶν τινὰ πλησίον αὐτοῦ ἑστῶτα πρόσφυγα Ῥωμαίων
P. 263 μαγαρίτην εἶπεῖν· ὁρᾷς τὸν καίσαρα, ὦ Κοσμᾶ, πῶς θρασὺς πρὸς τὴν μάχην ἵσταται, καὶ πρὸς τοσοῦτο πλῆθος μόνος ἀγωνίζεται, καὶ ὡς ἄκμων τὰς βολὰς ἀποπτύει. ἐκ γὰρ τῶν ἀληθινῶν τζαγγίων ἐγνωρίζετο, καὶ πολλὰς πληγὰς ἐδέχετο, εἰ καὶ οὐδεμίαν. ἐν τούτῳ τῷ πολέμῳ μαχησάμενοι, τῆς ἑσπέρας καταλαβούσης, ἀπ' ἀλλήλων διέστησαν· καὶ ὁ Σάρβαρος φοβηθεὶς διὰ τῆς νυκτὸς εἰς τὰ ὀπίσω ὑπέστρεψεν. ὁ δὲ βασιλεὺς ἐπισυνάξας τὸν ἑαυτοῦ λαὸν εἰς τὴν Σεβαστείαν πόλιν ὥρμησεν, καὶ περάσας τὸν Ἅλυν ποταμὸν ἐν ταύτῃ τῇ
B χώρᾳ διέτριβεν ὅλον τὸν χειμῶνα. ὁ δὲ Χοσρόης μανεὶς καὶ ἀποστείλας ἔλαβεν ὅλα τὰ κειμήλια τῶν ἐν πάσαις ὑπὸ Πέρσαις ἐκκλησιῶν. καὶ ἠνάγκαζε τοὺς Χριστιανοὺς γενέσθαι εἰς τὴν τοῦ Νεστορίου θρησκείαν πρὸς τὸ πλῆξαι τὸν βασιλέα.

Ἀράβων ἀρχηγὸς Ἀμὲδ ἔτη ἐννέα.

A.M. 6117 Τούτῳ τῷ ἔτει Χοσρόης τῶν Περσῶν βασιλεὺς νέαν ἐποιήσατο στρατείαν, στρατεύσας ξένους τε καὶ πολίτας καὶ οἰκέτας, ἐκ παντὸς γένους ἐκλογὴν ποιησάμενος· καὶ ταύτην τὴν ἐκλογὴν τῷ Σάῃν παραδοὺς στρατηγῷ, ἄλλας τε ν' χιλιά-

4. ἄκμων A, ἄμμον vulg.: proverbium notum ex Aeschyl. Pers. 51. λόγχης ἄκμονες. 5. εἰ καὶ A, ἢ καὶ vulg. εἰ καὶ μηδεμίᾳ αὐτῷ καθίπτατο e. 10. ἐν αὐτῇ τῇ χ. A. 11. καὶ ante ἀποστ. add. ex A. 12. τῶν ἐν πᾶσι A, fort. πασῶν τῶν. 19. ποιούμενος A.

idola desertione conspurcaverat, et ad Persas relicto Romano exercitu defecerat, dixerit: vides caesarem, o Cosma, quanta audacia pugnam conserat, solusque adversus tantam multitudinem decertet, et velut incus tela sagittasque despuat? imperator siquidem ex veris et propriis eius ocreis dignosci poterat, et iam certe plurima, nullum tamen cum vitae discrimine, vulnera acceperat. porro pugna diutius protracta, sole iam ad occasum inclinato, exercitibus ab invicem sponte divisis dirempta est. et Sarbarus periculum metuens retro cessit. imperator collecto universo exercitu in urbem Sebasteam se recepit, traiectoque Aly fluvio in ea regione per totam hiemem substitit. Chosroës exinde furore percitus misit qui donaria supellectilemque omnem a cunctis per universam Persiam erectis ecclesiis auferrent; et ut imperatori aegre faceret, Christianos ad amplexandam Nestorii superstitionem adegit.

Arabum princeps Amed annis novem.

A. C. 617 Hoc anno Persarum rex Chosroës novo exercitui reparando advenas, cives et famulos, ex omni nimirum hominum genere adlectos aggregavit; ea vero selecta multitudine Sai duci tradita, alios quin-

δας ἐκ τῆς φάλαγγος τοῦ Σαρβάρου ἐπιλογὴν λαβών, τούτῳ C
συνῆψε, καὶ ὠνόμασε χρυσολόγχεις, καὶ τούτους ἀπέστειλε
κατὰ τοῦ βασιλέως. τὸν δὲ Σάρβαρον σὺν τῷ λοιπῷ αὐτοῦ
στρατῷ κατὰ Κωνσταντινούπολιν ἀπέστειλεν, ὅπως τοὺς ἐκ δύ-
σεως Οὔννους, οὓς Ἀβάρους καλοῦσιν, Ἀβάρεις τε καὶ Σκλά-
βους καὶ Γήπαιδας συμφωνήσας κατὰ τῆς πόλεως χωρήσωσι καὶ
ταύτην πολιορκήσωσι. γνοὺς δὲ τοῦτο ὁ βασιλεὺς τὸν ἑαυτοῦ
στρατὸν εἰς τρεῖς διαιρέσεις ἐχώρισεν, καὶ τοὺς μὲν ἐξέπεμ-
ψεν εἰς τὸ φυλάξαι τὴν πόλιν, τοὺς δὲ παραδοὺς Θεοδώρῳ
τῷ ἰδίῳ ἀδελφῷ κατὰ τοῦ Σάην πολεμεῖν ἐκέλευσεν· τὸ δὲ
τρίτον μέρος αὐτὸς λαβὼν ἐπὶ Λαζικὴν ἐχώρει· καὶ ἐν ταύτῃ
διατρίβων τοὺς Τούρκους ἀπὸ τῆς ἑῴας, οὓς Χαζάρους ὀνο-
μάζουσιν, εἰς συμμαχίαν προσεκαλέσατο. ὁ δὲ Σάην ἅμα τῷ D
νεοσυλλέκτῳ λαῷ καταλαβὼν τὸν τοῦ βασιλέως ἀδελφὸν Θεό-
δωρον πρὸς πόλεμον ὡπλίσατο. τοῦ δὲ θεοῦ διὰ τῶν πρε-
σβειῶν τῆς πανυμνήτου θεοτόκου συνεργήσαντος, καὶ πολέμου
κροτηθέντος, χάλαζα παραδόξως κατὰ τῶν βαρβάρων κατηνέ-
χθη, καὶ πολλοὺς αὐτῶν ἐπάταξεν. ἡ δὲ τῶν Ῥωμαίων πα-
ράταξις γαλήνης ἀπήλαυσεν. τρέπουσι δὲ οἱ Ῥωμαῖοι τοὺς
Πέρσας, καὶ ἀναιροῦσι πλῆθος πολύ. τοῦτο μαθὼν Χοσρόης V. 210
ὠργίζετο κατὰ τοῦ Σάην. ὁ δὲ Σάην ἐκ πολλῆς ἀθυμίας εἰς

2. χρυσοῦς λόγχεις A f. 12. ἐκ τῆς ἑ. A. Χαζάρεις A.
16. πανυμνήτου A f, πολυμνήτου vulg. 18. αὐτῶν add. ex A.
21. ῥαθυμίας a f.

quagies mille ex Sarbari phalange excerptos ex animi consilio milites aurihastatos ab ipso dictos eisdem adiunxit, et adversus imperatorem misit: Sarbarum vero cum reliquo exercitu Cpolim versus misit, ut initis pactis cum Unnis (Abaros quidam vocant), Bulgaris, Sclavis et Gepedibus, una cum eo urbem impressione facta obsiderent. eo consilio cognito in tres acies exercitum universum imperator distribuit: et primam quidem ad urbis defensionem, aliam Theodoro proprio fratri traditam Saëm aggredi iussit, cum tertia secum educta ipse in Lazicam regionem secessit, ibique mora aliquandiu protracta, Turcos orientales, quos Chazaros vocant, ad belli societatem allexit. tum vero Saës cum novitio isto exercitu fratrem imperatoris Theodorum offendens, bello eum adoritur. consertis autem ad invicem manibus, deo laudatissimae dei genitricis precibus manifeste opitulante, grando vehemens ex inopinato in barbaros delata plures eorum vulneravit. interim Romana acies tranquilla aeris serenitate fruebatur. Persas igitur in fugam Romani vertunt, et ex eis copiosum numerum prosternunt. eo audito Chosroës ira vehementi in Saëm exarsit. Saës ipse prae moerore atque desperatione in languorem incidens misere

νόσον ἐμπεσὼν ἐτελεύτησεν. τούτου δὲ τὸ σῶμα κελεύει Χοσ-
ρόης ἅλατι ταριχευθὲν πρὸς αὐτὸν κομισθῆναι, καὶ τοῦτον
P. 264 νεκρὸν πολλαῖς αἰκίαις ἐπέβαλλεν. οἱ δὲ Χαζάρεις διαρρή-
ξαντες τὰς Κασπίας πύλας τῇ Περσίδι εἰσβάλλουσιν εἰς τὴν
χώραν τοῦ Ἀδροηγὰν σὺν τῷ ἑαυτῶν στρατηγῷ Ζιεβήλ, δευ-
τέρῳ ὄντι τοῦ Χαγάνου τῇ ἀξίᾳ· καὶ ἐν οἷς ἂν τόποις διέ-
βαινον, τούς τε Πέρσας ᾐχμαλώτευον, καὶ τὰς πόλεις καὶ κώ-
μας τῷ πυρὶ παρεδίδουν. ἀπάρας δὲ ὁ βασιλεὺς ἀπὸ Λαζι-
κῆς, τούτοις συνήντησεν. ὁ δὲ Ζιεβὴλ τοῦτον ἰδὼν καὶ προ-
δραμών, κατασπάζεται αὐτοῦ τὸν τράχηλον, καὶ προσεκύνη-
σεν αὐτόν, ὁρώντων τῶν Περσῶν ἐκ τῆς πόλεως τοῦ Τιφί-
B λεως. πᾶς δὲ ὁ λαὸς τῶν Τούρκων εἰς γῆν πεσόντες πρηνεῖς
ὡς ἐκταθέντες ἐπὶ στόμα τὸν βασιλέα ἐτίμων τιμὴν τὴν παρ'
ἔθνεσι ξένην. ὁμοίως καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ πετρῶν ἀνα-
βάντες τῷ αὐτῷ σχήματι ἔπεσον. προσήνεγκεν δὲ ὁ Ζιεβὴλ καὶ
τὸν ἑαυτοῦ υἱὸν ἀρχιγένειον τῷ βασιλεῖ, ἡδυνόμενος τοῖς τούτου
λόγοις, καὶ ἐκπληττόμενος τῇ τε θέᾳ καὶ τῇ φρονήσει αὐτοῦ.
ἐπιλεξάμενος δὲ ὁ Ζιεβὴλ χιλιάδας μ' ἀνδρῶν γενναίων
ἔδωκεν τῷ βασιλεῖ πρὸς συμμαχίαν, καὶ αὐτὸς ὑπέστρεψεν
εἰς τὴν ἰδίαν χώραν. τούτους δὲ λαβὼν ὁ βασιλεύς, κατὰ

1. ἐμπεσὼν ἐτ. A, ἔπεσεν καὶ ἐτ. vulg. τὸ add. ex A. 3. ὑπέβαλεν A. 4. τὰς add. ex A. 9. προδραμὼν A, προσδρ. vulg. 13. ἐκταθέντες om. ὡς A. 15. καὶ add. ex A. 17. τὴν τεθέαν καὶ φρόνησιν A.

interiit. cadaver eius sale multo conditum ad se advehi Chosroës iussit, et mortuum licet ac sensu privatum verberibus et iniuriis lacerari imperavit. porro Chazari Caspiis portis diruptis in Persidem irrumpunt, et Ziebelo duce, cui a Chagano secunda dignitas inerat, Adroëgam provinciam penetrant. quocumque vero progrederentur Persas abducebant captivos, et urbes pagosque igne devastabant. interea imperator a Lazica solvens, illis se adiungere et occurrere studuit. cum Ziebelus imperatorem conspexit, obviam progressus, eius collum exosculatus est, ipsumque adoravit, Persis ex urbe Tiphili spectatoribus. Turcorum autem exercitus omnis in terram procidens et in faciem pronus, quasi maiestatis horrore concepto, insolito honoris genere, gentilibus tamen solemni, imperatorem prosequutus est, ac pariter exercitus praefecti super saxa ascendentes eodem corporis habitu procubuerunt. ad haec Ziebelus imperatori, eius quippe verbis delectabatur, et eius prospectu ac prudentia plane stupefactus haerebat, filium suum, cui lanugo primum e malis tunc oriebatur, obtulit. selectos tandem viros strenuos ad quadraginta millia Ziebelus belli socios imperatori assignavit, et in propriam postmodum regio-

Χοσρόου ἐχώρει. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι προσβαλών, καὶ οἱ Ἄβαρεις ἐκ τῆς Θρᾴκης τῇ πόλει πλησιάσαντες, ταύ- C
την ἐλεῖν ἐβούλοντο, καὶ πολλὰς μηχανὰς κατ' αὐτῆς κινήσαντες, καὶ εἰς σκάφη γλυπτὰ ἐκ τοῦ Ἴστρου πλῆθος ἄπειρον καὶ ἀριθμοῦ κρεῖττον ἐνέγκαντες, τὸν κόλπον τοῦ Κέρατος ἐπλήρωσαν. δέκα δὲ ἡμέρας τῇ πόλει παρακαθίσαντες διά τε γῆς καὶ θαλάσσης τῇ τοῦ θεοῦ δυνάμει καὶ συνεργείᾳ καὶ ταῖς πρεσβείαις τῆς ἀχράντου καὶ θεομήτορος παρθένου ἡττήθησαν· καὶ πλήθη πολλὰ ἀποβαλόντες ἔν τε γῇ καὶ θαλάττῃ, μετὰ μεγάλης αἰσχύνης ὑπέστρεψαν. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι παρακαθεζόμενος οὐ μετέστη, ἀλλ' αὐτόθι D
ἐχείμασεν, κουρσεύων καὶ πραιδεύων τὰ περατικὰ μέρη καὶ τὰς πόλεις αὐτῶν.

Τούτῳ τῷ ἔτει ἀπὸ μηνὸς Σεπτεμβρίου εἰσβαλὼν ἐν Περ- A.M. 6118
σίδι Ἡράκλειος σὺν τοῖς Τούρκοις ἀπροσδοκήτως διὰ τὸν P. 265
χειμῶνα εἰς ἔκστασιν ἐνέβαλεν τὸν Χοσρόην τοῦτο μαθόντα. οἱ δὲ Τοῦρκοι τὸν χειμῶνα ὁρῶντες καὶ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Περσῶν, μὴ ὑποφέροντες συγκοπιᾶν τῷ βασιλεῖ, ἤρξαντο κατ' ὀλίγον ὑπορρέειν, καὶ πάντες ἀφέντες αὐτόν, ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς διελάλησεν τῷ αὐτοῦ λαῷ, λέγων· γνῶτε,

1. προσλαβὼν f. 6. παρακαθίσαντες A, παρακαθήσαντες vulg. 12. ἐχείμασεν A, χειμάσας vulg. τὰ περσικὰ μέρη A. 14. εἰσβαλὼν A, εἰσβάλλων vulg. 15. διὰ τοῦ χειμῶνος A. 18. τῶν Π. A, τὸν Π. vulg.

nem secessit. imperator illis sibi adiunctis, adversus Chosroëm perrexit. interim Sarbarus Chalcedonem adoritur, Abares etiam e Thracia profecti ad urbem applicantes eam vi obtinere nitebantur: multis itaque machinis ad eam admotis, et copiarum multitudine innumera, ut quae numerum omnem vere superaret, per Istrum flumen scaphis uno trunco excavatis advecta, Cornu sinum omnem, quaqua late patet, oppleverunt. dies demum decem urbem obsidentes terra et mari, dei tandem virtute et ope, et immaculatae deique matris virginis precibus profligati sunt: multisque suorum copiis terra et mari amissis, cum magno rubore et dedecore domos repetierunt. Sarbarus autem obsidione ad Chalcedonem posita non destitit: quin immo mari piraticam, terra praedatoriam exercens partes trans fretum positas et earum urbes devastavit, et hibernam eisdem in locis egit tempestatem.

Hoc anno iam a mense Septembri Heraclius una cum Turcis in- A.C. 618
opinato propter imminentem hiemis rigorem in Persiam irrumpens, Chosroëm, ubi rescivit expeditionem, in animi anxietatem et stuporem coniecit. Turci vero incumbentem hiemem prospicientes, crebrarum a Persis excursionum impatientes, nec imperatori collaborare gnari, paulatim elabi vel se surripere ceperunt, ac tandem omnes societate

νόσον ἐμπεσὼν ἐτελεύτησεν. τούτου δὲ τὸ σῶμα κελεύει Χοσρόης ἅλατι ταριχευθὲν πρὸς αὐτὸν κομισθῆναι, καὶ τοῦτον
P. 264 νεκρὸν πολλαῖς αἰκίαις ἐπέβαλλεν. οἱ δὲ Χαζάρεις διαρρήξαντες τὰς Κασπίας πύλας τῇ Περσίδι εἰσβάλλουσιν εἰς τὴν χώραν τοῦ Ἀδροηγὰν σὺν τῷ ἑαυτῶν στρατηγῷ Ζιεβήλ, δευτέρῳ ὄντι τοῦ Χαγάνου τῇ ἀξίᾳ· καὶ ἐν οἷς ἂν τόποις διέβαινον, τούς τε Πέρσας ᾐχμαλώτευον, καὶ τὰς πόλεις καὶ κώμας τῷ πυρὶ παρεδίδουν. ἀπάρας δὲ ὁ βασιλεὺς ἀπὸ Λαζικῆς, τούτοις συνήντησεν. ὁ δὲ Ζιεβὴλ τοῦτον ἰδὼν καὶ προδραμών, κατασπάζεται αὐτοῦ τὸν τράχηλον, καὶ προσεκύνη-
B σεν αὐτόν, ὁρώντων τῶν Περσῶν ἐκ τῆς πόλεως τοῦ Τιφίλεως. πᾶς δὲ ὁ λαὸς τῶν Τούρκων εἰς γῆν πεσόντες πρηνεῖς ὡς ἐκσταθέντες ἐπὶ στόμα τὸν βασιλέα ἐτίμων τιμὴν τὴν παρ' ἔθνεσι ξένην. ὁμοίως καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ πετρῶν ἀναβάντες τῷ αὐτῷ σχήματι ἔπεσον. προσήνεγκεν δὲ ὁ Ζιεβὴλ καὶ τὸν ἑαυτοῦ υἱὸν ἀρχιγένειον τῷ βασιλεῖ, ἡδυνόμενος τοῖς τούτου λόγοις, καὶ ἐκπληττόμενος τῇ τε θέᾳ καὶ τῇ φρονήσει αὐτοῦ. ἐπιλεξάμενος δὲ ὁ Ζιεβὴλ χιλιάδας μ' ἀνδρῶν γενναίων ἔδωκεν τῷ βασιλεῖ πρὸς συμμαχίαν, καὶ αὐτὸς ὑπέστρεψεν εἰς τὴν ἰδίαν χώραν. τούτους δὲ λαβὼν ὁ βασιλεύς, κατὰ

1. ἐμπεσὼν ἐτ. A, ἔπεσεν καὶ ἐτ. vulg. τὸ add. ex A. 3. ὑπέβαλεν A. 4. τὰς add. ex A. 9. προδραμὼν A, προσδρ. vulg. 13. ἐκταθέντες om. ὡς A. 15. καὶ add. ex A. 17. τὴν τεθέαν καὶ φρόνησιν A.

interiit. cadaver eius sale multo conditum ad se advehi Chosroës iussit, et mortuum licet ac sensu privatum verberibus et iniuriis lacerari imperavit. porro Chazari Caspiis portis diruptis in Persidem irrumpunt, et Ziebelo duce, cui a Chagano secunda dignitas inerat, Adroëgam provinciam penetrant. quocumque vero progrederentur Persas abducebant captivos, et urbes pagosque igne devastabant. interea imperator a Lazica solvens, illis se adiungere et occurrere studuit. cum Ziebelus imperatorem conspexit, obviam progressus, eius collum exosculatus est, ipsumque adoravit, Persis ex urbe Tiphili spectatoribus. Turcorum autem exercitus omnis in terram procidens et in faciem pronus, quasi maiestatis horrore concepto, insolito honoris genere, gentilibus tamen solemni, imperatorem prosequutus est, ac pariter exercitus praefecti super saxa ascendentes eodem corporis habitu procubuerunt. ad haec Ziebelus imperatori, eius quippe verbis delectabatur, et eius prospectu ac prudentia plane stupefactus haerebat, filium suum, cui lanugo primum e malis tunc oriebatur, obtulit. selectos tandem viros strenuos ad quadraginta millia Ziebelus belli socios imperatori assignavit, et in propriam postmodum regio-

Χοσρόου ἐχώρει. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι προσβαλών, καὶ οἱ Ἄβαρεις ἐκ τῆς Θρᾴκης τῇ πόλει πλησιάσαντες, ταύ- C
την ἑλεῖν ἐβούλοντο, καὶ πολλὰς μηχανὰς κατ' αὐτῆς κινήσαντες, καὶ εἰς σκάφη γλυπτὰ ἐκ τοῦ Ἴστρου πλῆθος ἄπειρον καὶ ἀριθμοῦ κρεῖττον ἐνέγκαντες, τὸν κόλπον τοῦ Κέρατος ἐπλήρωσαν. δέκα δὲ ἡμέρας τῇ πόλει παρακαθίσαντες διά τε γῆς καὶ θαλάσσης τῇ τοῦ θεοῦ δυνάμει καὶ συνεργείᾳ καὶ ταῖς πρεσβείαις τῆς ἀχράντου καὶ θεομήτορος παρθένου ἡττήθησαν· καὶ πλήθη πολλὰ ἀποβαλόντες ἔν τε γῇ καὶ θαλάττῃ, μετὰ μεγάλης αἰσχύνης ὑπέστρεψαν. ὁ δὲ Σάρβαρος τῇ Χαλκηδόνι παρακαθεζόμενος οὐ μετέστη, ἀλλ' αὐτόθι D
ἐχείμασεν, κουρσεύων καὶ πραιδεύων τὰ περατικὰ μέρη καὶ τὰς πόλεις αὐτῶν.

Τούτῳ τῷ ἔτει ἀπὸ μηνὸς Σεπτεμβρίου εἰσβαλὼν ἐν Περ- A.M. 6118
σίδι Ἡράκλειος σὺν τοῖς Τούρκοις ἀπροσδοκήτως διὰ τὸν P. 265
χειμῶνα εἰς ἔκστασιν ἐνέβαλεν τὸν Χοσρόην τοῦτο μαθόντα. οἱ δὲ Τοῦρκοι τὸν χειμῶνα ὁρῶντες καὶ τὰς συνεχεῖς ἐπιδρομὰς τῶν Περσῶν, μὴ ὑποφέροντες συγκοπιᾶν τῷ βασιλεῖ, ἤρξαντο κατ' ὀλίγον ὑπορρέειν, καὶ πάντες ἀφέντες αὐτόν, ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς διελάλησεν τῷ αὐτοῦ λαῷ, λέγων· γνῶτε,

1. προσλαβὼν f. 6. παρακαθίσαντες A, παρακαθήσαντες vulg. 12. ἐχείμασεν A, χειμάσας vulg. τὰ περσικὰ μέρη A. 14. εἰσβαλὼν A, εἰσβάλλων vulg. 15. διὰ τοῦ χειμῶνος A. 18. τῶν *II.* A, τὸν *II.* vulg.

nem secessit. imperator illis sibi adiunctis, adversus Chosroëm perrexit. interim Sarbarus Chalcedonem adoritur, Abares etiam e Thracia profecti ad urbem applicantes eam vi obtinere nitebantur: multis itaque machinis ad eam admotis, et copiarum multitudine innumera, ut quae numerum omnem vere superaret, per Istrum flumen scaphis uno trunco excavatis advecta, Cornu sinum omnem, quaqua late patet, oppleverunt. dies demum decem urbem obsidentes terra et mari, dei tandem virtute et ope, et immaculatae deique matris virginis precibus profligati sunt: multisque suorum copiis terra et mari amissis, cum magno rubore et dedecore domos repetierunt. Sarbarus autem obsidione ad Chalcedonem posita non destitit: quin immo mari piraticam, terra praedatoriam exercens partes trans fretum positas et earum urbes devastavit, et hibernam eisdem in locis egit tempestatem.

Hoc anno iam a mense Septembri Heraclius una cum Turcis in- A.C. 618
opinato propter imminentem hiemis rigorem in Persiam irrumpens, Chosroëm, ubi rescivit expeditionem, in animi anxietatem et stuporem coniecit. Turci vero incumbentem hiemem prospicientes, crebrarum a Persis excursionum impatientes, nec imperatori collaborare gnari, paulatim elabi vel se surripere ceperunt, ac tandem omnes societate

ἀδελφοί, ὅτι οὐδεὶς ἡμῖν συμμαχῆσαι θέλει, ἀλλ' ἢ μόνος ὁ
V. 211 θεός, καὶ ἡ τοῦτον τεκοῦσα ἀσπόρως μήτηρ, ἵνα δείξῃ τὴν
ἑαυτοῦ δυναστείαν, καὶ καταπέμψῃ τὴν βοήθειαν αὐτοῦ. ὁ
δὲ Χοσρόης ἐπισυνάξας πάντα τὰ στρατεύματα αὐτοῦ, προ-
B βάλλεται στρατηγὸν ἐν αὐτοῖς Ῥαζάτην, ἄνδρα πολεμικώτα-
τον καὶ ἀνδρεῖον, καὶ κατὰ Ἡρακλείου τοῦτον ἀπέστειλεν. ὁ
δὲ βασιλεὺς τὰς τε πόλεις Περσίδος ἐπυρπόλει καὶ τὰς κώ-
μας, καὶ τοὺς καταλαμβανομένους Πέρσας ἀνήλισκεν ῥωμ-
φαίᾳ. τῇ δὲ ἐννάτῃ τοῦ Ὀκτωβρίου μηνὸς τῆς ιε' ἰνδικτιῶ-
νος κατέλαβεν εἰς τὴν χώραν Χαμαηθᾶ· καὶ διανέπαυσεν
τὸν λαὸν ἑβδομάδα μίαν. ὁ δὲ Ῥαζάτης ἐλθὼν εἰς τὸ Γαυ-
ζάκων, ἐγενήθη ὀπίσω αὐτοῦ, καὶ ἠκολούθει τῶν Ῥωμαίων
δαπανώντων ἔμπροσθεν τὰς τροφάς. αὐτὸς δὲ ὀπίσω ὡς
κύων πεινῶν μόλις ἐκ τῶν ψιχίων αὐτῶν ἐτρέφετο· καὶ ἐκ
τοῦ μὴ εὑρίσκειν αὐτὸν δαπάνας πολλὰ τῶν ἀλόγων αὐτοῦ
C διεφθάρησαν. τῇ δὲ πρώτῃ τοῦ Δεκεμβρίου μηνὸς κατέλα-
βεν ὁ βασιλεὺς ποταμὸν μέγαν Ζαβᾶν λεγόμενον, καὶ τοῦτον
περάσας ἠπλήκευσεν πλησίον Νινευὶ τῆς πόλεως. κατέλαβεν
δὲ καὶ ὁ Ῥαζάτης εἰς τὸ πέραμα ἐπακολουθῶν αὐτῷ, καὶ κα-
τελθὼν ἀπὸ τριῶν μιλίων εὗρεν ἄλλο πέραμα καὶ ἐπέρασεν.

1. ἡμῖν add. ex A. 3. καταπέμπει A. 4. ἐπισυνάξας πάν-
τα τὰ A, ἐπιστρατεύσας τὰ vulg. 10. Χαμαιθᾶ a. 11.
Γαυζακὸν A, Γαυζακῶ a. 14. αὐτῶν A, αὐτοῦ vulg. 16.
μηνὸς add. ex A. 17. λεγόμενον om. A. 19. πέραμα A
a f, πέραν vulg.

belli deserta redierunt. imperator autem exercitui suo ad colloquium vocato: videte, fratres, ut nullus belli societatem init nobiscum, quam deus solus, et quae illum sine semine concepit mater, ut potentiam nimirum suam exerat, et auxilium nobis suum manifesto mittat. porro Chosroës compositis et eductis suis copiis, ducem eis praefecit Rhazatem virum bellicosissimum et strenuum, et in Heraclium misit. imperator vero Persidis urbes et vicos ferro et igne devastabat, Persasque in potestatem venientes cunctos romphaea delebat. nono vero mensis Octobris die, indictione decima quinta, in provinciam Chamaetham pervenit, et dierum septem quiete exercitum refecit. Rhazates autem Gauzacum profectus, pone sequebatur imperatorem, et Romanorum commeatum omnem per vias occupantium et consumentium vestigia a tergo legebat. ipse vero canis more pedissequus ac famelicus micis vix decidentibus annonam suffurabatur, equi etiam pabulis non inventis perierunt innumeri. prima deinde Decembris die imperator ad magnum fluvium, cui nomen Zabas, pervenit, eoque traiecto iuxta Ninivem civitatem castra applicuit. circa fluvium pariter Romanos insequutus Rhazates appulit, et ad millia tria iuxta fluvii

ὁ δὲ βασιλεὺς ἀποστείλας Βαάνην τὸν στρατηλάτην μετὰ ἐπιλέκτων στρατιωτῶν ὀλίγων, εὗρεν βάνδον Περσῶν, καὶ φονεύσας αὐτοῦ τὸν κόμητα, ἤνεγκεν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ σπαθὶν ὁλόχρυσον· καὶ πολλοὺς φονεύσας, ἤνεγκεν ζῶντας κϛ', ἐν οἷς ἦν καὶ ὁ σπαθάριος τοῦ Ῥαζάτου· ὅστις καὶ D
ἀνήγγειλεν τῷ βασιλεῖ, ὅτι πολεμῆσαι βούλεται αὐτὸν ὁ Ῥαζάτης, οὕτω κελευσθεὶς παρὰ Χοσρόου, καὶ τρισχιλίους ὡπλισμένους ἀπέστειλεν αὐτῷ. ἀλλ' ἀκμὴν οὐκ ἔφθασαν. ταῦτα δὲ μαθὼν ὁ βασιλεὺς προαπέλυσε τὸ τοῦλδον ἔμπροσθεν· καὶ αὐτὸς ἐπηκολούθει σκεπτόμενος εὑρεῖν τόπον ἐν ᾧ ὤφειλεν πολεμῆσαι, πρὸ τοῦ ἑνωθῶσιν αὐτοῖς οἱ τρισχίλιοι. εὑρὼν δὲ πεδίον ἐπιδέξιον πρὸς πόλεμον, καὶ διαλαλήσας τῷ λαῷ παρετάξατο. ὁ δὲ Ῥαζάτης καταλαβὼν καὶ αὐτὸς παρετάξατο τρισὶ φούλκοις, καὶ κατὰ τοῦ βασιλέως ἐχώρησεν. τῇ δὲ δωδεκάτῃ τοῦ Δεκεμβρίου μηνὸς ἡμέρᾳ σαββάτου P. 266
ἐκροτήθη ὁ πόλεμος· καὶ προπηδήσας πάντων ὁ βασιλεὺς ἄρχοντι τῶν Περσῶν συνήντησεν· καὶ τῇ τοῦ θεοῦ δυνάμει καὶ τῇ βοηθείᾳ τῆς θεοτόκου τοῦτον κατέβαλεν· καὶ οἱ σὺν αὐτῷ προπηδήσαντες ἐτράπησαν· καὶ ὁ βασιλεὺς αὖθις ἄλλῳ συναντήσας, καὶ τοῦτον κατέβαλεν. προσέβαλεν δὲ αὐτῷ καὶ

2. βάνδον *Π.* A, βάνδον τὸν *Π.* vulg. 5. καὶ post ὅστις add. ex A. 13. ὁ δὲ Ῥαζ. — — παρετάξατο om. b. 15. σαββάτῳ A. 19. ἐτράπησαν] ἐῤῥάπισαν A. 20. προσέβαλεν A, προέβαλεν vulg.

cursum descendens, vadum invenit, et in ulteriorem ripam transiit. tum vero Baanes militiae magister cum selectis militibus paucis Persarum cohortem suo vexillo insignem offendit, et eius comite occiso, comitis eiusdem caput tulit, et ex auro solido ensem: multis praeterea deletis, vivos viginti sex abduxit, inter quos Rhazatis spatharius repertus, qui etiam imperatori renunciavit Rhazatem cum eo congredi velle, sic enim a Chosroë iussum affirmabat, et virorum tria millia ad eum missa, quae nondum tamen advenissent. his cognitis, imperator impedimenta praecedere iubet: ipse planitiem pugnae conserendae idoneam, priusquam ter mille viri nominati advenirent et reliquis adiungerentur, mente sollicita investigans sequebatur. campo ad pugnam apto reperto, exercitum ad allocutionem vocat, et ordines componit. Rhazates pariter cum eundem locum tenuisset, in tres cuneos totum exercitum distribuit et in imperatorem praeliaturus se confert. mensis itaque Decembris die duodecimo, qui sabbati fuit, certamen commissum, in quo imperator ante omnes prosiliens, Persarum ductorem offendit, eumque dei virtute et dei genitricis auxilio prostravit: unde qui prius etiam cum eo pugnam inierant in fugam versi sunt. imperator iterum in alium sibi occurrentem insilit, et hunc

τρίτος, ὃς καὶ ἔδωκεν αὐτῷ μετὰ δόρατος εἰς τὸ χεῖλος, καὶ τοῦτον ἔπληξεν. ὁ δὲ βασιλεὺς καὶ τοῦτον ἀνεῖλεν· καὶ τῶν σαλπίγγων ἠχησασῶν συνέβαλον ἀλλήλοις ἀμφότερα τὰ μέρη, καὶ μάχης κρατησάσης σφόδρα, ἐπληγώθη ὑπὸ τῶν πεζῶν ὁ
B τοῦ βασιλέως ἵππος, λεγόμενος Φάλβας, ὁ καὶ Δόρκων, εἰς τὸν μηρὸν αὐτοῦ λαβὼν κονταρέαν· πολλὰς δὲ καὶ σπαθέας ἐν τῇ ὄψει αὐτοῦ ἔλαβεν· ἀλλὰ φορῶν κατάφρακτα νευρικά, οὐκ ἐβλάπτετο, οὐδὲ αὐταὶ ἐνήργουν. πίπτει δὲ ἐν τῷ πολέμῳ ὁ Ῥαζάτης, καὶ οἱ τρεῖς τουρμάρχαι τῶν Περσῶν, καὶ οἱ ἄρχοντες σχεδὸν πάντες, καὶ τὸ πλεῖον τοῦ στρατοῦ αὐ-
τῶν. ἐσφάγησαν δὲ καὶ Ῥωμαῖοι πεντήκοντα, καὶ ἐπληγώθησαν ἱκανοί, ἀλλ' οὐκ ἀπέθανον, εἰ μὴ δέκα· ἐκροτήθη δὲ ὁ πόλεμος ἀπὸ πρωΐ ἕως ὥρας ἑνδεκάτης. ἀπῆραν δὲ οἱ Ῥωμαῖοι τῶν Περσῶν βάνδα κη' χωρὶς τῶν κλασθέντων, καὶ
V. 212 σκυλεύσαντες τοὺς νεκρούς, ἔλαβον τὰ λωρίκια αὐτῶν καὶ τὰς
C κασσίδας καὶ πάντα τὰ ἅρματα· καὶ ἔμειναν ἀπ' ἀλλήλων ἀπὸ δύο σαγιττοβολῶν. τροπὴ γὰρ οὐ γέγονεν. οἱ δὲ τῶν Ῥωμαίων λαοὶ τῇ νυκτὶ ἐπότισαν καὶ ἐτάγισαν τὰ ἄλογα

4. κρατησάσης σφόδρα A e f, κροτηθείσης σφοδρᾶς vulg. 5. τοῦ add. ex A. ἵππος Φάλβας, ὁ λεγόμενος Δορκῶν A a f. 7. κατάφρακτα νευρικὰ A a f, καταφρακταρικὰ vulg. 8. οὐδὲ αὐταὶ A b, οὐδὲν αὐταὶ f, οὐδὲ αὐτοῦ a, οὐδὲ αὐτοὶ vulg. πίπτει δὲ A, πίπτει οὖν vulg. 10. τὸ πλεῖον A, τὸ πλεῖστον vulg. 11. καὶ Ῥωμ. A, καὶ οἱ Ῥωμ. vulg. 12. εἰ μὴ ἄλλοι δέκα A. 13. ἀπῆραν A, ἐπῆραν vulg. 15. τὰ λωρ. αὐτῶν καὶ τὰς κασσίδας A, τὰ λ. κ. τὰς κασσίδας αὐτῶν vulg. 17. σαγιττῶν A b f. 18. καὶ ἐτάγισαν om. A a f.

pariter expugnat et morti tradit. tertius tandem eum aggreditur, qui hasta eum ad labrum ferit, et vulnus infligit: eum tamen imperator ut et reliquos edomitum necat. tubis itaque concinentibus pars utraque manus conseruit, et cruento certamine excitato, imperatoris equus, cui Phalbas vel Dorcon cognomentum, accepto hastae ictu in femore a peditibus vulneratus est: sed tutamine ex nervis facto circumvallatus, inflictis etiam ad caput crebrioribus ensium plagis, nullatenus laesus est, neque eae ipsae damnum intulerunt. cadit igitur bello Rhazates, et una Persicorum agminum ductores tres, et praecipua capita exercitus, qui ipse totus pene deletus est. Romanorum ad quinquaginta deleti, plurimi vulnerati, quorum nonnisi decem obieruut. praelium ab aurora ad horam usque undecimam commissum. Persarum vexilla viginti octo, praeter ea quae feruntur fracta et contrita, Romani sustulerunt, et interfectis subinde spoliatis, loricas, cassides et armorum genus quodvis sibi sumpserunt: uterque vero exercitus duobus tantum sagittarum iactibus a se invicem substitit: prostrata namque, non in

αὐτῶν. οἱ δὲ καβαλλάριοι Πέρσαι ἵστανto ἕως ἑβδόμης ὥρας τῆς νυκτὸς ἐπάνω τῶν σκηνωμάτων τῶν τεθνεώτων Περσῶν· καὶ τῇ ὀγδόῃ ὥρᾳ τῆς νυκτὸς κινήσαντες ὑπέστρεψαν εἰς τὸ φοσσάτον αὐτῶν, καὶ τοῦτο λαβόντες ἀπῆλθον, καὶ ἠπλίκευσαν εἰς πρόποδα ὄρους τραχεινοῦ πεφοβημένοι. πολλὰ δὲ σπαθία ὁλόχρυσα καὶ ζώνας διαχρύσους καὶ μαργαρίτας καὶ τὸ σκουτάριν τοῦ Ῥαζάτου ὁλόχρυσον D ἔλαβον ἔχον πέτυλα ρκ΄, καὶ τὸ λωρίκιον αὐτοῦ ὁλόχρυσον ἔλαβον, καὶ τὸ σκαραμάγγιν αὐτοῦ ἤνεγκαν σὺν τῇ κεφαλῇ αὐτοῦ καὶ τὰ βραχιόλια αὐτοῦ, καὶ τὴν σέλλαν αὐτοῦ ὁλόχρυσον· ἐκρατήθη δὲ ζῶν Βαρσαμοίσης ὁ ἄρχων τῶν Ἰβήρων τῶν ὑπὸ Πέρσας καὶ Ῥωμαίους γεγονότων. οὐχ ὅτι ἐν ὅλῃ τῇ ἡμέρᾳ ἔσχεν στάμα ὁ πόλεμος. ἐνίκησαν οὖν οἱ Ῥωμαῖοι· ἀλλὰ τοῦτο γέγονεν μόνῃ τῇ τοῦ θεοῦ βοηθείᾳ. ὁ δὲ βασιλεὺς θαρσοποιήσας τὸν στρατόν, κατὰ Χοσρόου ἤλαυνεν, ὅπως τοῦτον ἐκφοβήσῃ, καὶ ἀποστείλας προσκαλέσηται τὸν Σάρβαρον ἐκ τοῦ Βυζαντίου τῆς Χαλκηδόνος. τῇ δὲ εἰκοστῇ πρώτῃ Δεκεμβρίου μηνὸς ἔμαθεν ὁ βασιλεύς, ὅτι ὁ λαὸς τοῦ Ῥαζάτου ὁ ἐκ τοῦ πολέμου ἐξαλύσας ἠνώθη τοῖς ὑπὸ Χοσρόου P. 267

1. αὐτῶν καὶ παρέβαλον A. 2. τῆς add. ex A. 3. κινήσαντες add. ex A. 10. τὴν σέλλαν — ὁλόχρυσον A, ἡ σέλλα — ὁλόχρυσος vulg. 11. Βαρσαμούσης A. 12. ὑπὸ Πέρσας καὶ Ῥωμαίους A a f, ὑπὸ Περσῶν καὶ Ῥωμαίων vulg. γεγονότων om. A a f. 13. οὖν om. A. 14. βοηθείᾳ] συνεργείᾳ b f. 15. θάρσος ποιήσας f. 16. ἐκφοβήσῃ A, φοβήσῃ vulg. 19. ὁ ἐκ τοῦ π. A, ἐκ τοῦ π. vulg. ἐξαλύσας A, ἐξελήσας vulg.

fugam acta, Persarum pars fuit. Romanus porro exercitus alimenta, potumque equis illa nocte subministravit, Persae autem equites, ad eiusdem noctis horam septimam penes interfectorum cadavera stantes, octava tandem ad castra et impedimenta redierunt: quibus secum sublatis, secessu dilapsi, ad asperi salebrosique montis radices trementes ac perterriti applicuerunt. enses subinde plurimos, zonas auro distinctas, lapides pretiosos, clipeum Rhazatis ex auro solido laminis centum et viginti obductum, thoracem quoque auro conflatum, et Scaramangium, et una caput extulerunt. brachialia eius et equilis sella auri purissimo metallo fabrefacta in victorum potestatem venit. ad haec Barsamoeses, Iberorum, qui Persis Romanisque subsunt, princeps, vivus captus. ipso toto die nusquam substitit aut cessavit conflictus. superiores quidem Romani evaserunt, a deo tamen solo suppetiae datae, et victoria concessa. porro imperator animis militum rursus confirmatis, iter Chosroëm versus direxit, ut metu ipsi incusso, Sarbarum e Byzantio Chalcedonensi suo mandato revocaret. die vero Decembris primo supra vicesimum Rhazatem belli

ἀποσταλεῖσι τρισχιλίοις, καὶ ἀκολουθεῖ ὀπίσω αὐτοῦ. καὶ καταλαβὼν τὴν Νινευί, καὶ περάσας ὁ βασιλεὺς τὸν μέγαν ποταμὸν Ζαβᾶν πρὸ τοῦ γνῶναι τὸν Χοσρόην. ἐλάσας δὲ Γεώργιος μίλια μὴ διὰ τῆς νυκτὸς ἐκράτησεν τὰς τέσσαρας γεφύρας τοῦ μικροῦ Ζαβᾶ· καὶ εὑρὼν ἐν τοῖς καστελλίοις Πέρσας, τούτους ἐζώγρησεν. τῇ δὲ κγ τοῦ Δεκεμβρίου μηνὸς φθάσας ὁ βασιλεὺς εἰς τὰς γεφύρας ἐπέρασεν, καὶ ἠπλίκευσεν εἰς τοὺς οἴκους τοῦ Ἰεσδέμ· καὶ ἀνέπαυσε τὸν τε στρατὸν καὶ τὰ ἄλογα, καὶ ἐποίησε τὴν ἑορτὴν τῆς Χριστοῦ γεννήσεως ἐν ἐκείνῳ τῷ τόπῳ. γνοὺς δὲ ὁ Χοσρόης ὅτι ἐκράτησαν οἱ Ῥωμαῖοι τὰς γεφύρας τοῦ μικροῦ Ζαβᾶ, ἀπέστειλεν πρὸς τὸν Περσικὸν λαὸν τὸν μετὰ τοῦ Ῥαζάτου, ἵνα πολὺ σπουδάσωσι καὶ προλάβωσι τὸν βασιλέα, καὶ ἀπέλθωσι πρὸς αὐτόν. σπεύσαντες δὲ αὐτοὶ καὶ περάσαντες τὸν μικρὸν Ζαβᾶν ἐν ἄλλοις τόποις προεποίησαν τὸν βασιλέα, καὶ ἔμπροσθεν ἐπορεύοντο. καταλαβὼν δὲ ὁ βασιλεὺς ἕτερον παλάτιον τοῦ Χοσρόου, τὸ ἐπιλεγόμενον Ῥουσᾶ, καὶ τοῦτο κατέστρεψεν. ὑφωρᾶτο δὲ ὅτι ἐν τῇ γεφύρᾳ τοῦ Τορνᾶ ποταμοῦ οἱ ἐχθροὶ πολεμεῖν αὐτὸν μέλλουσιν. ἀλλὰ τοῦτο ἰδόντες, καταλιπόντες τὴν γέφυραν ἔφυγον. ὁ δὲ βασιλεὺς περάσας ἀκωλύτως κα-

1. ἀποσταλεῖσι A, σταλεῖσι vulg. 2. ποταμὸν om. A f. 4. διὰ τῆς νυκτὸς add. ex A. 5. κελλίοις A. 12. κατὰ τοῦ Ῥ. b c. 15. προσεποίησαν A. 17. καὶ τοῦτο A, τοῦτο vulg.

periculo elapsum, tribus hominum millibus a Chesroë se adiunxisse, et eum e vestigio sequi imperator intellexit: quare Ninivem occupat, et prius magnum fluvium Zabam traiicit, quam Chosroës de eius consiliis percipiat quiequam. Georgius, emensis per noctem unicam passuum millibus quadraginta octo, quatuor minoris Zabae pontes occupavit, repertosque per varia propugnacula Persas cunctos custodiae militari mancipavit. igitur Decembris die vigesimo tertio imperator ad pontes adveniens aquam traiecit, et ad Iesdem domos castra fixit, exercitui a labore dedit inducias, equos itinere defatigatos reficere permisit, et in eodem demum loco Christi natalitiorum celebravit solemnitatem. Chosroës minoris Zabae pontes a Romanis occupatos ubi intellexit, ad Persicum exercitum, qui Rhazate duce merebatur, ut quam citissimo cursu contenderent, et imperatoris trans fluvium itinere praepedito cum eo congrederentur, scribit. illi festino pede lati minorem Zabam traiecerunt, et per alia deinceps loca imperatorem praevertentes, eum in metationibus habendis praecedebant. imperator ad aliud Chosroïs palatium, cui nomen Rusa, digressus, illud funditus evertit. ne vero ad Tornae fluminis pontem eum invaderent hostes, verebatur: verum eo praesente conspecto, relicto mox ponte, in fugam se dedere. imperator nullo obsistente flumen trans-

τέλαβεν εἰς ἕτερον παλάτιον, τὸ ἐπιλεγόμενον Βεκλαλί. ἐν ταύτῃ καὶ ἱπποδρόμιον ἔκτισεν, καὶ τοῦτο κατέστρεψεν. τινὲς δὲ τῶν Ἀρμενίων τῶν συνόντων τοῖς Πέρσαις ἦλθον πρὸς τὸν βασιλέα, λέγοντες, ὅτι Χοσρόης μετὰ τῶν ἐλεφάντων καὶ τοῦ ἰδίου στρατοῦ ἀπὸ πέντε μιλίων, ἔνθεν τοῦ παλατίου τοῦ ἐπιλεγομένου Δασταγέρδ, εἰς τόπον ἐπιλεγόμενον Βαρασρώθ, ἀπλικευμένος ἐστίν, καὶ ὅτι ἐδήλωσεν τὸν στρατὸν ἐκεῖ σω- V. 215
ρευθῆναι, ἵνα πολεμήσωσί σε. ἔστι γὰρ ἐκεῖ καὶ ποταμὸς δύσβατος, στενὴν γέφυραν ἔχων καὶ στενώματα πολλὰ ἀπὸ οἰκημάτων, καὶ ῥύακες σαπροί. ὁ δὲ βασιλεὺς βουλευσάμε- D
νος μετὰ τῶν ἀρχόντων καὶ τοῦ στρατοῦ ἐκάθισεν ἐν τῷ παλατίῳ Βεκλαλί. εὗρεν γὰρ ἐν αὐτῷ ἐν ἑνὶ περιβόλῳ στρουθεῶνας τρεῖς σιτευτούς, καὶ ἐν ἄλλῳ περὶ πεντακοσίας δορκάδας σιτευτάς, καὶ ἐν ἄλλῳ ὀνάγρους ἑκατὸν σιτευτούς· καὶ πάντα ἐδωρήσατο τῷ λαῷ. καὶ τῇ πρώτῃ τοῦ Ἰανουαρίου ἐποίησαν ἐκεῖσε. εὗρον γὰρ καὶ πρόβατα καὶ χοίρους καὶ βόας, ὧν οὐκ ἦν ἀριθμός. καὶ ἀνεπαύσατο πᾶς ὁ λαὸς ἀπολαύοντες καὶ δοξάζοντες τὸν θεόν. πιάσαντες δὲ τοὺς νέμοντας ταῦτα, ἔγνωσαν παρ' αὐτῶν ἀκριβῶς, ὡς Χοσρόης ἀπὸ κγ' τοῦ Δεκεμβρίου μηνὸς μαθών, ὅτι ὁ βασιλεὺς ἐπέρασεν P. 268

1. τὸ add. ex A. Βεκλαλὶ A a, Βεκλὰλ e f, Βεγλαλὶ vulg. 2. ἱπποδρόμιον A, ἱπποδρομίαν vulg. 3. τῶν ante συνόντων add. ex A. 6. Ταχερδὶ A, Ταμέρδ f. 7. ὅτι add. ex A. 11. καὶ τοῦ στρατοῦ add. ex A. 13. τρεῖς add. ex A. 14. ὀνάγρους A, συάγρους vulg. 19. ταῦτα A, τούτους vulg.

gressus, aliud palatium, Beglali dicebant, reperit. in eo circum extruxit, et ad solum deiecit. Armeniorum autem Persis cohabitantium nonnulli imperatorem adeuntes, Chosroëm cum elephantis et proprio exercitu ad passuum quinque millia, ubi palatium Dastagerd vocatum, vulgus locum dicit Barasroth, castra metatum denunciaverunt: illuc eius copiae confluunt omnes, ut te quantocius opprimant. illic quippe fluvius profundus et transitu difficilis stricto ponte superandus, aedificatorum aggerum ruinis angustum per loca habens alveum, et inaequales et incertos plerumque rivos ducens praeterfluit. imperator consultis exercitus optimatibus in palatio Beclal consedit. in uno siquidem eius septo structiones saginatas, et altiles pariter, capras silvestres, ad quingentas in alio, in tertio demum onagros etiam altiles centum reperit, quae cuncta in exercitum sparsit. primam itaque Ianuarii diem ibi castra morata sunt: oves etenim, porcos et boves non facile numerandos invenerunt, quibus fruens exercitus habitis deo gratiis istic quievit. captis autem gregum istorum pastoribus, Chosroëm iam a mensis Decembris die vigesimo tertio, ubi imperatorem Tornae amnis pontem praetergressum agnovit, a palatio ad Dastagerd

τὴν γάφυραν τοῦ Τορνᾶ, παραχρῆμα ἐκίνησεν ἀπὸ τοῦ παλατίου τοῦ ἐν Δασταγέρδ. αὐτὸς δὲ δι' ἄλλης ὁδοῦ ἀπῆλθεν εἰς ἄλλο παλάτιον τὸ ἐπιλεγόμενον Βεβδάρχ. καὶ τοῦτο καταστρέψαντες, καὶ πυρὶ παραδόντες ηὐχαρίστουν τῷ θεῷ τῷ διὰ τῶν πρεσβειῶν τῆς θεοτόκου τοιαῦτα θαυμάσια ποιήσαντι. τίς γὰρ ἤλπιζε Χοσρόην φυγεῖν ἀπὸ προσώπου τοῦ βασιλέως τῶν Ῥωμαίων ἐκ τῶν ἐν Δασταγέρδ παλατίων καὶ εἰς Κτησιφῶντα ἀπελθεῖν, ὅπου ἀπὸ εἴκοσι τεσσάρων ἐτῶν οὐκ ἠνέσχετο ἰδεῖν Κτησιφῶντα, ἀλλὰ καὶ ἐν Δασταγὲρδ ἦν τὰ βασίλεια αὐτοῦ; εὗρον δὲ οἱ λαοὶ τῶν Ῥωμαίων αὐτοῦ ἐν τῷ παλατίῳ Δασταγὲρδ τριακόσια βάνδα Ῥωμαίων, ἅπερ ἐν διαφόροις χρόνοις ἔλαβον· εὗρον δὲ καὶ εἴδη ἀπομείναντα, ἀλόης πολλὴν καὶ ξύλα μεγάλα ἀλόης ἀπὸ δέκα καὶ ὀκτὼ λιτρῶν, καὶ μίτραν πολλήν, καὶ πίπερ, καὶ καρβάσια καμίσια πολλὰ ὑπὲρ τὸ μέτρον, ζάχαρ τε καὶ ζιγγίβερ, καὶ ἄλλα εἴδη πολλά. τινὲς δὲ καὶ ἄσημον, καὶ ὁλοσήρικα ἱμάτια, νακοτάπητά τε καὶ ταπήτια ἀπὸ βελόνης καὶ πλῆθος πολὺ καὶ καλὰ πάνυ, ἅπερ διὰ τὸ βάρος πάντα κατέκαυσαν· καὶ τοὺς παπυλεῶνας τοῦ Χοσρόου, καὶ τοὺς ἐμβόλους, οὓς ἔστενεν ὅτε ἐν κάμπῳ ἠπλίκευ-

1. ἐκ τοῦ A. 2. ἀπῆλθεν A, ἐπῆλθεν vulg. 3. Βεβδάρχ A. 5. τῶν add. ex A. 6. τοῦ add. ex A. 10. εὗρον A, εὑρόντες vulg. αὐτοῦ add. ex A. 13. μεγάλα A, μεγάλης vulg. 13. καὶ ὀγδοήκοντα A f. 14. καὶ ante πίπερ add. ex A. 16. ναποτάπητα A, ναπόπητα vulg. ταπήτια A f, τάπια vulg. 19. ἔστενγεν A f, ἐστρώννυεν vulg.

sito movisse, didicerunt. ipse imperator ad palatium Bebdarch nomine pervenit, eoque everso et igne devastato, deo per dei genitricis preces talia miracula operanti gratias milites referebant. quis namque Chosroës ab imperatoris conspectu fugiturum, et relictis palatiis ad Dastagerd extructis, Ctesiphontem se recepturum sperasset, qui a quatuor et viginti annis Ctesiphontem videre dedignatus in Dastagerd regiis moram trahere consueverat? porro in palatio Dastagerd trecenta signa sive vexilla variis bellis sibi erepta Romanus exercitus offendit. reperit etiam divitiarum et aromatum species insolitas eo loci derelictas, plurimam nimirum aloën, magnae aloës ligna decem et octo librarum pondo, et immensam sericorum filorum copiam, piper, carbasinas camisias supra numerum omnem, zaccharum et zingiber, et aromatum plures species, argentum quoque infectum, holosericas vestes, lectisternia, et acu pictos tapetes, et aliorum huiusmodi congeriem immensam eamque praestantissimam, quam propter pondus, cum secum non valerent distrahere, flammis cunctam absumpserunt. ad Chosrois tentoria et cortinas porticuum in morem, quas, castris per agros fixis, erigebat, statuasque eius plurimas cremaverunt. invenit

σεν, πάντα κατέκαυσαν, καὶ στήλας αὐτοῦ πολλάς· εὗρεν δὲ ἐν τούτοις τοῖς παλατίοις στρουθεῶνας καὶ δορκάδας καὶ C ὀνάγρους καὶ ταῶνας καὶ φασιανοὺς πλῆθος ἄπειρον· καὶ εἰς τὸ κυνήγιον αὐτοῦ λέοντας καὶ τίγρεις παμμεγέθεις ζῶντας. προσέφυγον δὲ τῷ βασιλεῖ πολλοὶ ἐκ τῶν αἰχμαλώτων Ἐδεσσηνοὶ καὶ Ἀλεξανδρεῖς, καὶ ἐξ ἄλλων πόλεων πλῆθος πολύ. ἐποίησεν δὲ ὁ βασιλεὺς καὶ τὴν ἑορτὴν τῶν φώτων ἐν Δασταγέρδ, εὐφραίνων καὶ ἀνακτώμενος τόν τε λαὸν καὶ τὰ ἄλογα, καὶ καταστρέφων τὰ τοῦ Χοσρόου παλάτια κτίσματα ὑπέρτιμα ὄντα καὶ θαυμαστὰ καὶ καταπληκτικά, ἅπερ ἕως ἐδάφους καθεῖλεν· ἵνα μάθῃ Χοσρόης οἷον πόνον εἶχον Ῥωμαῖοι τῶν πόλεων ἐρημωμένων παρ' αὐ- D τοῦ καὶ πυρπολημένων. ἐκρατήθησαν δὲ καὶ ἐκ τῶν διαιταρίων τοῦ παλατίου πολλοί. ἐρωτώμενοι δὲ καὶ αὐτοί· πότε ἀνεχώρησεν ἐκ τοῦ Δασταγέρδ; ἔφασκον· ὅτι πρὸ ἐννέα ἡμερῶν τοῦ καταλαβεῖν ὑμᾶς, ἀκούσας τὴν παρουσίαν ὑμῶν, κρυπτῶς ἐτρύπησεν τὸ τεῖχος τῆς πόλεως τὸ πλησίον τοῦ παλατίου· καὶ οὕτως παρακρατητὰ διὰ τῶν κήπων ἐξῆλθεν αὐτὸς καὶ ἡ γυνὴ καὶ τὰ τέκνα αὐτοῦ διὰ τὸ μὴ γενέσθαι θόρυβον ἐν τῇ πόλει. καὶ οὔτε τὰ στρατεύματα αὐτὸν ἔγνωσαν, οὔτε οἱ ἄρχοντες, ἕως ἀπῆλθεν πέντε μίλια· καὶ τότε

1. κατέκαυσαν A, ἔκαυσαν vulg. 2. τοῖς add. ex A. 3. ὀνάγρους A a, συάγρους vulg. 6. πόλεων A, πολλῶν f, ἐθνῶν vulg. 10. κτήματα A f. 12. ἐρημουμένων — πυροπολουμένων A. αὐτοὶ ποτὲ vulg. 17. τὸ πλησίον A, πλησίον vulg. 18. παρακρατητὰ A a, παρακρατεῖ τὰ f, παρ' ἐκρατητὰ vulg.

in palatiis istis structiones, dorcadas, onagros, pavones, et phasianos ad numerum plane non explicandum, et venatus exercendi gratia leones, et tigrides insolitae magnitudinis vivos. confugerunt etiam ad imperatorem multi captivi Edesseni, Alexandrini, aliorumque oppidorum ingens multitudo. porro Heraclius festo luminum in Dastagerd celebrato, exercitum omnem recreavit, et militum equos refecit, diruitque Chosrois palatia, aedificia sane sumptuosa, admiratione digna, et stupendae prorsus structurae, cuncta solo tenus adaequavit, ut quam desolatis, et ferro flammisque devastatis Romanorum urbibus tristitam incolis ingessisset, Chosroës coniectaretur. sed et plerique eius diaetarii capti, qui et ipsi quandonam Dastagerd Chosroës secessisset, interrogati: ante novem dies, responderunt, percepta prius itineris vestri fama, quam ipsi appelleretis, civitatis muro, haud ita regia seposito, latenter perforato, in hunc modum per hortos una cum uxore et liberis, ne tumultus in civitate oriretur, se subduxit. sed neque illius exercitus, donec passuum millibus quinque abfuit, ne-

P. 269 V. 214 ἐδήλωσεν, ἵνα ἐπακολουθήσωσιν αὐτῷ ἐπὶ Κτησιφῶντα· καὶ ὁ μὴ δυνάμενος πέντε μίλια ποιῆσαι τὴν ἡμέραν, φεύγων ἐποίησεν κέ. καὶ αἱ γυναῖκες καὶ τὰ τέκνα αὐτοῦ τὰ μὴ θεωροῦντα ἀλλήλους, τότε φύρδην ἔφευγον ἀλλήλους παραθούμενοι. τῆς δὲ νυκτὸς καταλαβούσης εἰσῆλθεν Χοσρόης εἰς οἶκον γεωργοῦ μηδαμινοῦ μεῖναι, μόλις χωρηθεὶς ἐν τῇ τούτου θύρᾳ, ἣν ἰδὼν ἔσχατον Ἡράκλειος, ἐθαύμασεν. διὰ δὲ τριῶν ἡμερῶν κατέλαβεν Κτησιφῶντα· καὶ ὁ χρησμοδοτηθεὶς ὑπὸ τῶν γοήτων καὶ ἀστρολόγων πρὸ κδ' ἐτῶν, ὅτι τὸ Δαρᾶς ἐπολιόρκησεν ἐπὶ τῶν χρόνων Φωκᾶ τοῦ βασιλέως Ῥωμαίων, ὅτι ἐν οἴῳ καιρῷ ἀπέλθοι ἐν Κτησιφῶντι, ἀπολεῖ-
B ται· καὶ μὴ ἀνασχόμενος ἀπὸ τοῦ Δασταγὲρδ ἐπὶ τὸ μέρος ἐκεῖνο μίλιον ἓν πορευθῆναι, τότε φεύγων ἐν ταύτῃ ἀπῆλθεν, καὶ οὐδὲ ἐν ταύτῃ ἐθάρρησεν στῆναι, ἀλλὰ περάσας τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ εἰς τὴν ἐκεῖθεν πόλιν, τὴν λεγομένην Σελεύκειαν παρ' ἡμῖν, παρὰ δὲ Πέρσαις Γουεδεσήρ, πάντα τὰ χρήματα ἐν ταύτῃ ἀπέθετο, καὶ ἐκάθισεν ἐκεῖ μετὰ Σειρὲμ τῆς γυναικὸς αὐτοῦ, καὶ μετὰ τριῶν ἑτέρων γυναικῶν, τῶν καὶ θυγατέρων αὐτοῦ· τὰς δὲ λοιπὰς αὐτοῦ

3. αὐτοῦ add. ex A. 7. διὰ δὲ A, διά τε vulg. 8. χρησμοδοτηθεὶς a. 9. καὶ ante ἀστρ. add. ex A. 11. ἀπέλθειεν, Κτησιφῶν A, ἀπέλθῃ, ὁ Κτησιφῶν f. 15. τοῦ add. ex A. 17. ταύτῃ A, αὐτῇ vulg. ἀνέθετο A e. 18. Σειρὲμ A a f, Σιρὲμ vulg. 19. τῶν καὶ θυγ. A, καὶ τῶν θυγ. vulg.

que optimates ipsi, eius adverterunt exitum: tunc enim, ut se Ctesiphontem profectum sequerentur, edixit. tunc qui millium quinque iter uno die conficere non valebat, fugiens ad viginti quinque spatium emensus est (mulieres vero et liberi, qui se prius nusquam conspexerant, tum mixtim seque invicem obtrudentes in fugam agebantur. ingruente autem nocte ad domum vilis cuiusdam agricolae divertit, cuius ianua vix ipsum capere potuit: quam cum postea vidisset Heraclius, satis miratus est) et trium dierum spatio Ctesiphontem attigit. is igitur Chosroës, qui ante viginti quatuor annos, cum sub Phoca imperatore Daras expugnaret, a praestigiatoribus astrologis vaticinium audierat, se, quo tempore Ctesiphontem secederet, perditum iri: quique ob id nec unicum quidem milliare a Dastagerd Ctesiphontem versus progredi ausus fuerat, tum demum fuga arrepta in eam urbem se recepit, nec in ea tamen subsistere confidit, sed traiecto Tigridis amnis ponte, in urbem longius positam contendit, quae quidem Seleucia a nobis, a Persis Guedeser appellatur: repositisque in ea omnibus opibus suis, illic demum consedit cum Sirem, uxore sua, et tribus aliis pellicibus, quae et ipsae filiae eius erant: reliquas vero

γυναῖκας καὶ τὰ πολλὰ αὐτοῦ τέκνα παρέπεμψεν ἀπὸ μ' μιλίων εἰς τὸ ἀνατολικώτερον μέρος εἰς τόπον ὀχυρόν. τινὲς δὲ Περσῶν διέβαλλον τὸν Σάρβαρον πρὸς Χοσρόην, ὡς τὰ τῶν Ῥωμαίων φρονοῦντα, καὶ καταλαλοῦντα αὐτοῦ· καὶ C ἀποστέλλει σπαθάριον αὐτοῦ μετὰ κελεύσεως αὐτοῦ πρὸς Καρδαρίγαν τὸν συστράτηγον Σαρβαραζᾶ εἰς Χαλκηδόνα γράψας αὐτῷ, ἵνα τὸν Σαρβαραζᾶν ἀποκτείνῃ, καὶ οὕτως τὸν λαὸν τῶν Περσῶν ἀναλαβὼν σπεύσῃ ἐπὶ Περσίδα εἰς συμμαχίαν αὐτοῦ. ὁ δὲ τὰ γράμματα κομίζων περὶ τὴν Γαλατίαν συλλαμβάνεται παρὰ τῶν Ῥωμαίων. οἱ δὲ συλλαβόντες αὐτὸν διαλαθόντες τοὺς Πέρσας εἰς τὸ Βυζάντιον τοῦτον ἀπήγαγον, καὶ τῷ υἱῷ τοῦ βασιλέως τοῦτον παρέδωκαν. ὁ δὲ βασιλεὺς μαθὼν παρὰ τοῦ ἀποστολιμαίου τὴν ἀλήθειαν Σαρβαραζᾶν παραχρῆμα μεταπέμπεται. ἐλθὼν οὖν παρέστη τῷ βασιλεῖ. ὁ δὲ βασιλεὺς τὴν πρὸς τὸν Καρδαρίγαν ἐπιστολὴν τούτῳ ἐπιδούς, καὶ τὸν ἀποσταλέντα ὑπέδειξεν, καὶ ἀνέγνω D τὴν ἐπιστολήν, καὶ πληροφορηθεὶς τὸ ἀληθές, παραχρῆμα ἐτράπη, καὶ συνθήκας μετὰ τοῦ υἱοῦ τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ποιεῖ. καὶ φαλσώσας τὴν τοῦ Χοαρόου ἐπιστολὴν σὺν αὐτῷ ἐντίθησιν ἐν αὐτῇ ἄλλους τεσσαράκοντα σατράπας καὶ ἄρχοντας καὶ χιλιάρχας καὶ ἑκατοτάρχας ἀπο-

1. ἀπὸ μ' μιλίων add. ex A a f. 3. τὸν Σαράβαρον A a f. 4. αὐτοῦ A, αὐτὸν vulg. 5. αὐτοῦ ante μετὰ add. ex A. 6. τὸν add. ex A. 8. σπεύσῃ ἐπὶ Περσίδα A, σπεύσηται vulg. 14. ἐλθὼν 'οὖν] εἰσελθόντι οὖν αὐτῷ A. 19. φαλκεύσας A, φαλεύσας a f. τὴν add. ex A. 20. τεσσαράκοντα A, υ' vulg. 21. ἀποκτανθῆναι A, ἐπικτ. vulg.

uxores atque liberbs quam plurimos quadraginta passuum millibus procul orientem versus in locum munitissimum transmisit. porro Sarbarum, quasi Romanorum partibus propensum, et Chosrois famae detrahentem, apud ipsum Persarum nonnulli criminati sunt. quare missis per spatharium ad Cardaregam Sarbarazae collegam ad Chalcedonem expugnandam castra metatum iussis, ut e medio tollat Sarbarazam, ac mox educto exercitu ad suppetias sibi ferendas advolet, significat. is autem, qui litteras ferebat, a Romanis circa Galatiam insciis Persis comprehenditur, et Cpoli imperatoris filio coram sistitur. imperator veritate a misso ex ordine cognita, Sarbarazam ad se confestim vocat. veniens ille coram imperatore stetit. imperator tradita illi, quae ad Cardaregam epistola, missum palam ostendit: legit ille epistolam, et de re circa se gerenda certior factus, vertit animum, et cum imperatoris filio et patriarcha pactum init. adulteratis deinde Chosrois litteris, sibi occidi iusso quadraginta alios adiunxit

κτανθῆναι, καὶ ἐπιθεὶς εὐφυῶς τὴν σφραγῖδα, συναθροίζει τοὺς ἡγεμόνας, καὶ αὐτὸν τὸν Καρδαρίγαν, καὶ ἀναγνοὺς τὴν ἐπιστολὴν ἔφη πρὸς τὸν Καρδαρίγαν· συνορᾷς τοῦτο ποιεῖν; οἱ δὲ ἄρχοντες θυμοῦ πλησθέντες, τὸν Χοσρόην ἀπεκήρυττον, καὶ πρὸς τὸν βασιλέα συνθήκας εἰρηνικὰς ἐποίησαν, καὶ
P. 270 κοινῇ βουλευσάμενοι ἔδοξεν, ἵνα ἐκ Χαλκηδόνος ἀναχωρήσωσι, καὶ ἐπὶ τὰ ἴδια ἀπέλθωσι μηδὲν λυμαινόμενοι. ὁ δὲ Ἡράκλειος ἔγραψεν τῷ Χοσρόῃ· ἐγὼ διώκω, καὶ πρὸς εἰρήνην τρέχω. οὐ γὰρ ἑκὼν πυρπολῶ τὴν Περσίδα, ἀλλὰ βιασθεὶς ὑπὸ σοῦ. ῥίψωμεν οὖν καὶ νῦν τὰ ὅπλα, καὶ εἰρήνην ἀσπασώμεθα· σβέσωμεν τὸ πῦρ, πρὶν τὸ πᾶν καταφλέξῃ. τούτου δὲ μὴ καταδεξαμένου, μεγάλως τὸ μῖσος τοῦ λαοῦ τῆς Περσίδος ηὐξήθη κατ' αὐτοῦ, καὶ ἐστράτευσεν Χοσρόης πάντας τοὺς ἀνθρώπους τῶν ἀρχόντων αὐτοῦ καὶ πᾶσαν τὴν ὑπουργίαν αὐτοῦ τε καὶ τῶν γυναικῶν αὐτοῦ, καὶ τούτους
V. 215 ὁπλίσας πάντας ἀπέλυσεν ἐνωθῆναι τῷ στρατῷ τοῦ Ῥαζατᾶ, καὶ στῆναι εἰς τὸν Ἄρβᾶ ποταμὸν ἀπὸ ιβ' μιλίων Κτησι-
B φῶντος· καὶ ἐκέλευσεν αὐτούς, ἵνα ὅταν περάσῃ τὸν ποταμὸν ὁ βασιλεύς, κόψωσι τὴν γέφυραν [καὶ τὴν ποντογέφυ-

1. εὐφυῆ A, εὐφυεῖ f. 4. θυμοῦ A, θυμῷ vulg. τὸν add. ex A. 7. μηδὲν λυμ. add. ex A e f. 10. καὶ νῦν add. ex A. 13. κατ' αὐτοῦ A, κατὰ Χοσρόου vulg. ἐκράτευσεν vulg. 18. ὅταν] ἡνίκα A. 19. ὁ βασιλεὺς add. ex A. καὶ τὴν ποντ. om. A f.

satrapas, optimates, tribunos et centuriones quasi certissimae morti devotos, sigilloque belle adaptato, duces et ipsum Cardaregam convocat, lectaque in omnium auditu epistola, compellans Cardaregam: istuc, inquit, facturum te polliceris? optimates itaque iam ira exaestuantes, Chosroëm regia dignitate excidisse publicant, compositisque cum imperatore pacis foederibus, communi omnium consilio decretum, Chalcedone abscederent, et in patriam reverterentur. scripsit autem Heraclius Chosroi: insequor te, et ad ineundam pacem contendo, non enim lubens Persidem devasto, verum a te coactus. armis proiectis, pacem amplexemur, et incendium extinguamus, priusquam tota moles conflagret. respuit Chosroës pacis conditiones, ex quo in eum Persici totius populi odium incensum. novo subinde exercitui conflando studium adhibet: quare optimatum suorum domesticos, vilemque etiam ministrorum suorum et pellicum gregem armis instruit, et ut Rhazatis exercitui se adiungerent, imperat; locum etiam, quo conveniant, ad Arbam videlicet fluvium lapide duodecimo Ctesiphonte dissitum praefigit, simulque iubet, ut flumine ab eis traiecto, pontem e lapide vel ligno quemlibet solvant et disrumpant. imperator autem mensis Ianuarii die septimo e Dastagerd gressu moto, et trium

ραν]. ὁ δὲ βασιλεὺς τῇ ἑβδόμῃ τοῦ Ἰανουαρίου μηνὸς κινήσας ἐκ τοῦ Δασταγέρδ, καὶ περιπατήσας τρεῖς ἡμέρας, ἠπλίκευσεν ἀπὸ ιβ΄ μιλίων τοῦ Ἄρβᾶ ποταμοῦ, ὅπου ἦν τὸ φοσσάτον τῶν Περσῶν, ἐν οἷς εἶχον καὶ διακοσίους ἐλέφαντας· καὶ ἀπέστειλεν ὁ βασιλεὺς Γεώργιον τὸν τουρμάρχην τῶν Ἀρμενιακῶν, ἵνα ἀπέλθῃ μέχρι τοῦ ποταμοῦ, καὶ καταμάθῃ, εἰ ἔχει πέραμα ὁ Ἄρβᾶς. καὶ εὑρών, ὅτι ἔκοψαν τὰς γεφύρας, καὶ οὐκ ἔχει πέραμα ὁ Ἄρβᾶς, ὑπέστρεψεν πρὸς τὸν βασιλέα. καὶ ἀποκινήσας ὁ βασιλεύς, ἦλθεν πρὸς τὸν Σιάζουρον. καὶ περιῆρχετο πυρπολῶν τὰς χώρας καὶ τὰς πόλεις ὅλον τὸν Φεβρουάριον μῆνα. τῷ δὲ Μαρτίῳ μηνὶ ἐλθὼν εἰς χωρίον λεγόμενον Βαρζᾶν, ἐποίησεν ἑπτὰ ἡμέρας. καὶ ἀπέστειλεν Μεζέζιον τὸν στρατηγὸν εἰς κοῦρσον· καὶ προσερρύη αὐτῷ Γουνδαβούνας, ὅς τις χιλίαρχος ἦν τῆς στρατείας Σαρβάρου μετὰ ἄλλων πέντε, τριῶν μὲν κομήτων, δύο δὲ ἀξιωματικῶν· καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα. ὅς τις Γουνδαβούνας ἀναγκαῖα πράγματα τῷ βασιλεῖ ἀπήγγειλε, λέγων· ὅτι ὅταν ἔφυγεν ὁ Χοσρόης ἀπὸ Δασταγέρδ, καὶ ἀπῆλθεν ἐν Κτησιφῶντι καὶ Σελευκείᾳ, ἠσθενήσεσεν δυσεντερίᾳ, καὶ ἠθέλησεν τὸν υἱὸν Μερδασᾶν τὸν τεχθέντα ἐκ τῆς Σειρὲμ στέψαι· καὶ ὅτι ἀντεπέρασεν τὸν ποταμὸν πάλιν, καὶ ἤνεγκεν

3. φοσσάτον A, φωσάτον vulg. 4. εἶχον A, εἶχεν vulg. 9. πρὸς τὸν A, εἰς τὸν vulg. 10. πυρπολῶν add. ex A. 18. ὅταν add. ex A. 20. τὸν υἱὸν A, τὸν ἴδιον vulg., om. f.

dierum itinere confecto, ad duodecimum ab amne Arba milliarium, quo loci Persarum confluxerat exercitus, in quo elephanti ducenti, castra applicuit. inde Armenicorum agminum ductorem Georgium, qui fluvium Arbam experiatur, et num vadi commoditatem offerat, exploret, secreto summittit. is ubi pontes intercisos et ruptos, nullumque in Arba flumine vadum reperit, ad imperatorem revertitur. motis inde castris Siazurum imperator divertit, provincias et urbes toto mense Februario circumire contentus. mense vero Martio ad oppidum, cognomento Barzam, deflectens, dierum septem moram in eo figit. mox Mezezium ducem ad praedam e vicinis agris agendam mittit. ibi Gundabunam, qui in Sarbari exercitu tribuni munus obtinuerat, cum viae sociis quinque, comitibus quidem tribus, aliisque praecipua dignitate insignitis duobus offendit, quos omnes ad imperatorem duxit. is Gundabunas, res omnino necessarias ad imperatorem retulit: e Dastagerd, inquit, Chosroës fugitivus erupit, et Ctesiphontem, mox inde Seleuciam petiit. aeger viscerum morbo filium Merdasam e Sirem uxore susceptum regia corona redimire meditatus, fluvium retro traiecit, et Merdasam filium, Sirem uxorem, Saliarumque

μεθ' ἑαυτοῦ τὸν Μερδασᾶν καὶ τὴν Σειρέμ, καὶ τὸν ἄλλον αὐτῆς Σαλιαρόν· τὸν δὲ πρωτότοκον αὐτοῦ υἱὸν Σιρόην καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τὰς γυναῖκας αὐτοῦ εἰασεν πέραν τοῦ ποταμοῦ. καὶ γνοὺς Σιρόης, ὅτι τὸν Μερδασᾶν θέλει στέψαι, ἐταράχθη· καὶ ἔπεμψεν τὸν συγγαλακτον αὐτοῦ πρὸς Γουνδαβούναν, δηλώσας αὐτῷ, ὅτι· ἐλθὲ πέραν τοῦ ποταμοῦ, ἵνα συντύχω σοι. ὁ δὲ Γουνδαβούνας ἐφοβήθη διὰ τὸν Χοσρόην περᾶσαι· καὶ δηλοῖ αὐτῷ, ὅτι· γράψον μοι διὰ
P. 271 τοῦ συγγαλάκτου σου, εἴ τι θέλεις. καὶ ἔγραψεν αὐτῷ Σιρόης, ὅτι· γινώσκεις, πῶς ἡ πολιτεία τῶν Περσῶν ἀπώλετο ἐκ τοῦ κακοῦ ἀνθρώπου Χοσρόου, καὶ θέλει στέψαι τὸν Μερδασᾶν, καὶ ἐμὲ τὸν πρωτότοκον αὐτοῦ υἱὸν περιεφρόνησε· καὶ ἐὰν λαλήσῃς τῷ στρατιῷ, ἵνα δέξωνταί με, καὶ τὰς φόγας αὐτῶν ἐπαυξῆσαι ἔχω, καὶ εἰρήνην ποιῶ μετὰ τοῦ βασιλέως τῶν Ῥωμαίων· καὶ καλῶς ἔχομεν ζῆσαι. καὶ σπούδασον μετὰ τοῦ λαοῦ σου, ἵνα ἐγὼ βασιλεύσω· καὶ πάντας ὑμᾶς προβιβάσαι ἔχω καὶ συγκροτῆσαι, καὶ κατεξαίρετον σέ. καὶ ὅτι
B ἐδήλωσα αὐτῷ διὰ τοῦ συγγαλάκτου αὐτοῦ, ὅτι, εἴ τι δύναμαι, λαλῆσαι ἔχω τὸν στρατὸν καὶ μοχθῆσαι. καὶ ὅτι ἐλάλησα εἴκοσι δύο κόμητας, καὶ ἐποίησα αὐτοὺς τῆς γνώμης μου,

2. αὐτῆς] αὐτοῦ f. 3. εἰασεν A, ἐάσας vulg. 8. αὐτῷ A f, αὐτὸν vulg. 9. εἴ τι] ὅτι f. 10. πῶς add. ex A e. 13. τῷ στρατῷ A, τὸν στρατὸν vulg. 16. προβιβάσαι A, ἀναβ. vulg. 17. fort. κατ' ἐξαίρετον.

alium ex ea natum, primogenito Siroë, et eius fratribus, nec non aliis coniugibus trans flumen relictis, secum tulit. porro Siroës, ubi de fratre in regem coronando patris consilium comperit, animo commotus, collactaneum suum ad Gundabusam misit, scripsitque in hanc sententiam. veni trans fluvium, et te alloquar. Gundabusas Chosrois metu transire detrectavit. solum significat: scribe per collactaneum tuum, si quid a me exposcis. rescripsit Siroës: Persarum rem publicam nefarii istius hominis Chosrois opera periisse novisti: nunc Merdasam regni corona insignire, me primogenitum omnino contemptui habendum velle, certo scias. exercitum alloquutus, regem me suscipiat, si volueris, efficies. ego, si regnum adipiscar, militum stipendia confestim augebo, et cum Romanorum imperatore mihi pacis foedus erit, et prospere cuncta succedent. ut igitur regnum nanciscar, exercitus opera effice: et, ut vos teque velut inter reliquos praecipuum honoribus et opibus augeam, et penes me retineam, nusquam deero. haec ille. ego vero collactanei eiusdem voce usus, retuli: quod potestas suggerit, ut exercitum in colloquio sollicitem, et tui gratia laborem, polliceor. iam comites duos ac viginti alloquutus, ac

καὶ ἄλλους ἄρχοντας καὶ στρατιώτας πολλούς. καὶ ταῦτα ἐδήλωσα τῷ Σιρόῃ, καὶ ἐδήλωσέν μοι· ἵνα τῇ κγ' τοῦ Μαρτίου μηνὸς λάβω ταξάτους νεωτέρους, καὶ εἰς τὴν ποντογέφυραν τοῦ Τίγριδος ποταμοῦ ὑπαντήσω αὐτῷ, καὶ λάβωμεν αὐτὸν εἰς τὸν στρατόν, καὶ κινήσωμεν κατὰ Χοσρόου. καὶ ὅτι μετὰ Σιρόου εἰσὶν καὶ οἱ δύο υἱοὶ τοῦ Σαρβαραζᾶ, καὶ ὁ υἱὸς τοῦ Ἔσδίμ, καὶ ἄλλα πολλὰ ἀρχόντων τέκνα, καὶ ὁ υἱὸς C τοῦ Ἀρὰμ, πάντες ἐπίλεκτοι· καὶ εἰ μὲν δυνηθῶσιν ἀνελεῖν τὸν Χοσρόην, εὖ καὶ καλῶς· εἰ δὲ ἀστοχήσωσι, πάντες σὺν Σιρόῃ προσρύονται τῷ βασιλεῖ· καὶ ἀπέστειλέ με πρὸς σέ, V. 216 δέσποτα· αἰδεῖται γὰρ τὸν βασιλέα τῶν Ῥωμαίων. ὅτι Χοσρόην ἔσωσέν ποτε, νῦν δὲ πολλὰ κακὰ ἔπαθεν ἐξ αὐτοῦ, καὶ ὅτι διὰ τὴν ἐκείνου ἀγνωμοσύνην οὐδὲ ἐμοὶ ἔχει ὁ βασιλεὺς πιστεῦσαι. ὁ δὲ βασιλεὺς Ἡράκλειος τοῦτον πάλιν πρὸς Σιρόην ἀποστείλας, ἐδήλωσεν ἀνοῖξαι τὰς φυλακάς, καὶ τοὺς κατεχομένους ἐν αὐταῖς Ῥωμαίους ἐκβαλεῖν, καὶ δοῦναι αὐτοῖς ὅπλα, καὶ οὕτω κινῆσαι κατὰ Χοσρόου. ὁ δὲ Σιρόης ὑπα- D κούσας τῷ βασιλεῖ, καὶ ἐκβαλὼν τοὺς κατακλείστους, ἐπῆλθεν

1. ἄρχοντας add. ex A. 2. ἐδήλωσα τ. Σ. καὶ ἐδ. A, δηλώσας τ. Σ. ἐδ. vulg. κγ'.] κ'. A f. 3. ταξάτους A e, ταξάτας vulg. 7. Ἰεσδίμ f. 9. δὲ add. ex A. 11. ἤδει s. ἔδει γὰρ τὴν βασιλείαν A e f. 12. ὅτι ἕως πότε καὶ πολλὰ e f. πολλὰ κακὰ ἔπαθεν ἐξ αὐτοῦ A e f, μᾶλλον κακὰ παρ' αὐτοῦ πέπονθεν vulg. 14. Ἡράκλ. τοῦτον om. A e f. 16. ἐκβαλεῖν A, ἐκβάλοι vulg. 17. οὕτως ἀποκινῆσαι A.

plures alios milites in meam traxi sententiam. his a me Siroi nunciatis, in adversum ille rescribit: ut mensis Martii die tertio supra vicesimum, eductis mecum militarium ordinum iunioribus, ad Tigridis fluminis ligneum pontem occurram, ut ita mecum in exercitum eum assumam, et in Chosroëm moveamus, edixit. sunt, imperator, cum Siroë duo Sarbarazae filii, adest Esdim patre natus, et numerosa multorum nobilium proles, nec non et Aram filius, cuncti armis et sanguine selecti. et quidem si Chosroëm e medio tollere valuerint, prospere et feliciter: sin a proposito aberrarint, cuncti cum Siroë ipso in acies tuas se recipient, imperator. in hunc finem Siroës misit me ad te, domine. pudet enim illum coram Romanorum imperatore, qui quondam Chosroi salutis fuit auctor, apparere: impraesentiarum enim ab eo non nisi mala retulit, adeo ut propter foedum ingrati hominis facinus, neque ego ipse, qui fidem ab imperatore reportem, merear. imperator autem Heraclius legatum eundem ad Siroëm remittens, custodias reseraret, et vinctos in eis Romanos liberaret, instrueret armis, et cum eis moveret adversus Chosroëm, litteris significavit. imperatoris placito Siroës paret, et captivis custodia

τῷ πατροκτόνῳ πατρὶ Χοσρόῃ. αὐτὸς δὲ φυγεῖν δοκιμάσας καὶ μὴ ἰσχύσας, ἐκρατήθη. τοῦτον δὲ δεσμήσαντες σφοδρῶς σιδηροπέδαις ὀπισθάγκωνα, τοῖς τε ποσὶ καὶ τῷ τραχήλῳ βάρη σιδηρᾶ περιέθηκαν, καὶ εἰσάγουσιν αὐτὸν εἰς τὸν οἶκον τοῦ σκότους, ὃν αὐτὸς ὠχύρωσεν ἐκ νέου κτίσας εἰς ἀπόθεσιν χρημάτων, καὶ ἄρτον πενιχρὸν τούτῳ διδόντες καὶ ὕδωρ, ἐλιμαγχόνουν· ἔφη γὰρ ὁ Σιρόης· ὅτι τὸν χρυσὸν φάγῃ, ὃν
P. 272 συνήγαγεν μάτην, δι' ὃν πολλοὺς ἐλιμαγχόνησεν, καὶ τὸν κόσμον ἠρήμωσεν. ἀπέστειλε δὲ πρὸς αὐτὸν τοὺς σατράπας ὑβρίζειν καὶ ἐμπτύειν αὐτῷ. καὶ ἀγαγὼν Μερδασᾶν τὸν υἱὸν αὐτοῦ, ὃν ἐβούλετο στέψαι, ἐνώπιον αὐτοῦ ἔσφαξεν· καὶ πάντα τὰ λοιπὰ τέκνα αὐτοῦ ἐνώπιον αὐτοῦ ἀνεῖλεν· καὶ ἀπέστειλεν πάντα ἐχθρὸν αὐτοῦ ὑβρίζειν [καὶ τύπτειν] καὶ ἐμπτύειν αὐτῷ. πέντε δὲ ἡμέρας τοῦτο ποιήσαντες ἐκέλευσεν ὁ Σιρόης τοῦτον τόξοις ἀνελεῖν, καὶ οὕτως κατὰ μικρὸν ἐν δεινοῖς παρέδωκε τὴν πονηρὰν αὐτοῦ ψυχήν. τότε ὁ Σιρόης γράφει πρὸς Ἡράκλειον, εὐαγγελιζόμενος αὐτῷ τὴν τοῦ μι-
B ροῦ Χοσρόου ἀναίρεσιν· καὶ εἰρήνην εἰσπαγῆ πρὸς αὐτὸν ποιησάμενος, πάντας τοὺς ἐν φρουραῖς Χριστιανούς, καὶ τοὺς

1. φυγεῖν A, φυγὴν vulg. 3. ὀπισθ. A, καὶ ὀπ. vulg. 5. ὠχύρωσεν ἐκ νέου A, ὀχυρώσας ἐκ νέας vulg. 7. ὃν A, ὃ vulg. 8. δι' ὃν A, δι' ὃ vulg. 10. αὐτῷ A, αὐτὸν vulg. 13. ἀπέστειλεν add. ex A. καὶ τύπτειν om. A. 14. αὐτῷ A a, αὐτὸν vulg. πέντε δὲ ἡμέρας A, ἐν πέντε δὲ ἡμέραις vulg. ποιήσας A. 18. εἰσπαγῆ b.

expeditis, in Chosroëm patrem parricidam arma movet. Chosroës fugere molitus, nec fugae compos, deprehenditur. illum brachiis retro actis pedes et collum gravibus catenis onustum, compedibusque toto corpore circumligatum, in tenebrarum aedem, quam ipse iuvenis construxerat, et reponendis in ea divitiis firmiter muniverat, includunt, ibique stricto pane et aqua parce effusa sustentatum fame misere perire parant. fuit enim istud Sirois in eum pronunciatum: aurum, quod frustra collegit, propter quod etiam plurimos fame necavit, et orbem ipsum effecit desertum, manducet. satrapas insuper eum iniuriis respersuros et sputis conspurcaturos misit. adductum etiam ob eius oculos Merdasam eius filium, quem nuper regem coronare consiliabatur, interfecit, et reliquos omnes eius liberos sub eius conspectum e medio sustulit, omnem denique eius inimicum, qui modo iniuriis, verberibus et sputis eum lacesseret, ad eum destinavit. his per dies quinque in hunc modum perpetratis, iussit Siroës sagittis confodi: atque ita sensim per lenta et morosa tormenta nefandam animam exhalavit. tum vero Siroës datis ad Heraclium litteris, execrabilis Chosrois necem annunciat: paceque aere et ferro diuturniore

ἐν Περσίδι πάσῃ αἰχμαλώτους ἀπέδωκεν αὐτῷ, σὺν τῷ πατριάρχῃ Ζαχαρίᾳ καὶ τοῖς τιμίοις καὶ ζωοποιοῖς ξύλοις τοῖς ἐξ Ἱερουσαλὴμ ληφθεῖσι ὑπὸ Σαρβαραζᾶ, ὅταν τὴν Ἱερουσαλὴμ παρέλαβεν.

Ἀράβων ἀρχηγὸς Μουαμὲδ ἔτη θ'.

Περσῶν βασιλεὺς Σιρόης ἔτος α'. A.M. 6119

Τούτῳ τῷ ἔτει εἰρήνης γενομένης μεταξὺ Περσῶν καὶ C Ῥωμαίων, ἀπέστειλεν ὁ βασιλεὺς Θεόδωρον τὸν ἑαυτοῦ ἀδελφὸν μετὰ γραμμάτων καὶ ἀνδρώπων Σιρόου τοῦ βασιλέως Περσῶν, ὅπως τοὺς ἐν Ἐδέσσῃ καὶ Παλαιστίνῃ καὶ Ἱεροσολύμοις καὶ ταῖς λοιπαῖς πόλεσι τῶν Ῥωμαίων Πέρσας μετὰ εἰρήνης ἀποστρέψωσιν ἐν Περσίδι, καὶ ἀβλαβῶς παρέλθωσι τὴν τῶν Ῥωμαίων γῆν. ὁ δὲ βασιλεὺς ἐν ἓξ ἔτεσι καταπολεμήσας τὴν Περσίδα, ἐν τῷ ἑβδόμῳ εἰρηνεύσας μετὰ χαρᾶς μεγάλης ἐπὶ Κωνσταντινουπόλεως ὑπέστρεψεν, μυστικήν τινα θεωρίαν ἐν τούτῳ πληρώσας. ἐν γὰρ ἓξ ἡμέραις πᾶσαν τὴν D κτίσιν δημιουργήσας ὁ θεὸς τὴν ἑβδόμην ἀναπαύσεως ἡμέραν ἐκάλεσεν· οὕτω δὲ αὐτὸς ἐν τοῖς ἓξ χρόνοις πολλοὺς πόνους V. 217 διανύσας, τῷ ἑβδόμῳ ἔτει μετ' εἰρήνης καὶ χαρᾶς ἐν τῇ πόλει ὑποστρέψας ἀνεπαύσατο. ὁ δὲ λαὸς τῆς πόλεως τὴν

1. ἀπέδωκεν A, παρέδ. vulg. 2. καὶ τοῖς A, σὺν τοῖς vulg. 3. ἐξ Ἱεροσολύμων A f. 5. Μουαμὲδ A a f, Μωαμὲδ vulg. 11. τῶν add. ex A. 14. τῷ add. ex A. 20. ἀνεπαύσατο A, ἐπαύσ. vulg.

cum eo composita, detentos custodiis Christianos, et per universam Persiam captivos, cum patriarcha Zacharia, et venerandis ac vivificis lignis Hierosolymis, cum olim a Sarbaraza caperentur, sublatis, restituit.

Arabum princeps Muamed annis novem.

Persarum regis Sirois annus unicus. A.C. 619

Hoc anno pacis foedere Romanos inter ac Persas firmato, imperator Theodorum proprium fratrem cum litteris et a rege Persarum Siroë viris delegatis misit, qui Persas Edessae, in Palaestina, Hierosolymis, et in caeteris Romanorum civitatibus repertos cum pace in Persiam reducerent, et eos absque impedimento vel incommodo per Romanam ditionem pertransire fidam adhiberent operam. imperator itaque continuos sex annos Persiam bello fatigans, septimo tandem pace parta (velut mystico quodam spectaculo in sese probato) cum ingenti gaudio Cpolim reversus est. per sex etenim ex ordine dies cum creaturam omnem deus absolvisset, septimum quieti consecravit diem: sic iste annis sex perpetuis laboribus exantlatis, septimo demum cum pace et laetitia urbem repetens quiete potitus est. popu-

ἔλευσιν αὐτοῦ μαθόντες, ἀκατασχέτῳ πόθῳ πάντες εἰς τὴν Ἱέρειαν ἐξῆλθον εἰς συνάντησιν αὐτοῦ, σὺν τῷ πατριάρχῃ, καὶ Κωνσταντίνῳ βασιλεῖ καὶ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας, εὐφημοῦντες αὐτὸν μετὰ χαρᾶς καὶ δακρύων. προσελθὼν δὲ ὁ υἱὸς αὐτοῦ ἔπεσεν εἰς
P. 273 τοὺς πόδας αὐτοῦ, καὶ περιπλακέντες ἀλλήλοις, ἔβρεξαν ἀμφότεροι τὴν γῆν τοῖς δάκρυσιν. τοῦτο θεασάμενος ὁ λαός, πάντες εὐχαριστηρίους ὕμνους τῷ θεῷ ἀνέπεμπον· καὶ οὕτω λαβόντες τὸν βασιλέα σκιρτῶντες εἰσῆλθον ἐν τῇ πόλει.

Ἀράβων ἀρχηγὸς Μουαμὲδ ἔτη θ'.

A.M. 6120 Περσῶν βασιλεὺς Ἀδεσὴρ μῆνας ἑπτά.

B Τούτῳ τῷ ἔτει ἀπάρας ὁ βασιλεὺς ἅμα τῷ ἔαρι ἀπὸ τῆς βασιλευούσης πόλεως ἐπὶ τὰ Ἱεροσόλυμα ἐπορεύετο, ἀπαγωγὼν τὰ τίμια καὶ ζωοποιὰ ξύλα τοῦ ἀποδοῦναι τῷ θεῷ τὴν εὐχαριστίαν. ἐλθόντι δὲ αὐτῷ ἐν Τιβεριάδι κατηγόρησαν οἱ Χριστιανοὶ Βενιαμίν τινα ὀνόματι, ὡς κακοποιοῦντα αὐτούς. ἦν γὰρ ἐνούσιος σφόδρα. καὶ ὑπεδέξατο τὸν βασιλέα, καὶ τὸν στρατὸν αὐτοῦ. ὁ δὲ βασιλεὺς κατέκρινεν αὐτόν, λέγων διὰ ποίαν αἰτίαν κακοποιεῖς τοὺς Χριστιανούς; ὁ δὲ εἶπεν·

2. Ἱέρειαν A, Ἱερίαν vulg. 6. περιπλακέντες ἀλλήλοις A, περιπλακεὶς αὐτῷ vulg. 8. ὕμνους τῷ θεῷ A, τ. θ. ὕμνους vulg. 13. ἅμα τῷ ἔαρι] ἅμα ἱερεῦσιν A, ἅμα ἱερεία f. 20. ὁ δὲ ἀπεκρίθη A, om. f.

Ius autem urbis adventu imperatoris cognito, impotenti eius desiderio motus ad Hieriam cum patriarcha et Constantino imperatore eius filio effusus, praelatis olivarum ramis et lampadibus, laetitiae vocibus, et una simul lacrimis venientem prosequutus excepit. accedens autem filius ad pedes eius procidit, mutuoque sese complexati, terram lacrimarum imbre rigaverunt. quo viso universus populus hymnos gratiae deo cecinerunt, exceptoque demum imperatore cum gaudio et tripudiis urbem ingressi sunt.

Arabum princeps Muamed annis novem.

A. C. 620 Persarum rex Adeser menses septem regnat.

Hoc anno ineunte vere Heraclius imperator, venerandis et vivificis lignis secum latis, regina civitate solvens Hierosolymam deo grates persoluturus perrexit. ubi Tiberiadem advenit, Christiani Beniamin quendam nomine, ceu gravia ipsis damna inferre solitum, apud eum criminati sunt. erat enim vir supra modum divitiis potens; quare imperatoris totiusque exercitus sumptibus pendendis solus ipse satis extitit. imperator itaque criminis eum damnaturus: quam ob causam, inquit, iniuria Christianos prosequeris? respondet ille: quod

ὡς ἐχθροὺς τῆς πίστεώς μου. ἦν γὰρ Ἰουδαῖος. ὁ δὲ βασιλεὺς νουθετήσας αὐτὸν καὶ πείσας ἐβάπτισεν εἰς τὸν οἶκον C τοῦ Εὐσταθίου τοῦ Νεαπολίτου, Χριστιανοῦ ὄντος, καὶ αὐτοῦ ὑποδεξαμένου τὸν βασιλέα. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἐν Ἱεροσολύμοις, καὶ ἀποκαταστήσας Ζαχαρίαν τὸν πατριάρχην, καὶ τὰ τίμια καὶ ζωοποιὰ ξύλα εἰς τὸν ἴδιον τόπον, καὶ πολλὰ εὐχαριστήσας τῷ θεῷ, ἀπήλασεν τοὺς Ἑβραίους ἀπὸ τῆς ἁγίας πόλεως, κελεύσας μὴ ἔχειν αὐτοὺς ἐξουσίαν ἀπὸ τριῶν μιλίων τῆς ἁγίας πόλεως πλησιάζειν. καταλαβὼν δὲ τὴν Ἔδεσσαν ἀπέδωκεν τὴν ἐκκλησίαν τοῖς ὀρθοδόξοις, ὑπὸ Νεστοριανῶν κατεχομένην ἀπὸ Χοσρόου. καὶ ἐλθὼν εἰς τὴν Ἱεράπολιν, ἤκουσεν ὅτι Σιρόης τέθνηκεν ὁ τῶν Περσῶν βασιλεύς, Ἄδεσηρ δὲ ὁ τούτου υἱὸς τὴν βασιλείαν τῶν Περσῶν παρέ- D λαβεν. τούτου δὲ μῆνας ἑπτὰ κρατήσαντος τῆς ἀρχῆς ἐπανέστη αὐτῷ Σαρβαραζᾶς, καὶ τοῦτον πατάξας, ἐβασίλευσεν τῶν Περσῶν μῆνας δύο. τοῦτον δὲ ἀνελόντες οἱ Πέρσαι Βοράνην κατεστήσαντο εἰς βασίλεα, τὴν θυγατέρα Χοσρόου, ἥτις ἐκράτησεν τῆς βασιλείας τῶν Περσῶν μῆνας ἑπτά. ταύτην δὲ διεδέξατο Ὁρμίσδας ὑπὸ τῶν Σαρακηνῶν διωχθείς, καὶ γέγονεν ἡ βασιλεία τῶν Περσῶν ὑπὸ τοὺς Ἄραβας μέχρι τῆς σήμερον.

2. αὐτὸν add. ex A. 3. τοῦ add. ex A. 7. τοὺς add. ex A. 12. ἤκουσεν A, *ἀκούσας* vulg. 17. *κατεστήσαντο* A, *κατεστήσαν* vulg. 18. *τῆς βασιλείας τῶν Π.* A, *τὴν βασιλείαν Περσῶν* vulg. *δὲ* add. ex A.

fidei meae hostes existunt. Iudaica quippe superstitione tenebatur. imperator autem admonitum, et de religione Christiana instructum in Eustathii Neapolitae domo (Christianum se hic profitebatur, et imperatorem pariter susceperat) eum baptismo tingi providit. imperator deinde Hierosolymam ingressus, patriarcha Zacharia sedi suae restituto, et venerandis vivificisque lignis loco suo redditis, debitas grates deo persolvit, Hebraeosque a sancta civitate iussit exulare, nec nisi supra tertium ab ea lapidem ad eandem accedendi fecit ipsis potestatem. Edessam profectus, ecclesiam sub Chosrois temporibus a Nestorianis occupatam orthodoxis restituit. cum Hierapolim venisset, Siroëm Persarum regem obiisse, et Adeser eius filium Persarum regnum consequutum intellexit. in eum post imperii mensem septimum Sarbarazas rebellavit, et principe deleto Persis imperavit menses duos. eo sublato Boranem Chosrois filiam in regem sibi Persae praefecere, quae regnum administravit menses septem. huic successit Hormisdas, qui demum a Saracenis solio depulsus est, ac tandem Persicum regnum Arabibus subiectum est, et in hanc usque diem sub ipsis remansit.

Ἀράβων ἀρχηγὸς Μουαμὲδ ἔτη θ'.

A.M. 6121 *Περσῶν βασιλέως Ὁρμίσδα ἔτος α'.*

P. 274 V. 218 *Τούτῳ τῷ ἔτει τοῦ βασιλέως Ἡρακλείου ὄντος ἐν τῇ Ἱεραπόλει, ἦλθεν πρὸς αὐτὸν Ἀθανάσιος ὁ πατριάρχης τῶν Ἰακωβιτῶν, δεινὸς ἀνὴρ καὶ κακοῦργος τῇ τῶν Σύρων ἐμφύτῳ κακουργίᾳ, καὶ κινήσας πρὸς τὸν βασιλέα περὶ πίστεως λόγους,*

B *ὑπισχνεῖτο αὐτῷ Ἡράκλειος, εἰ τὴν ἐν Χαλκηδόνι σύνοδον ὑποδέξεται, πατριάρχην αὐτὸν ποιεῖν Ἀντιοχείας. ὁ δὲ ὑποσχεθεὶς ὑπεδέξατο τὴν σύνοδον, ὁμολογήσας τὰς δύο ἐν Χριστῷ ἡνωμένας φύσεις· ἠρώτησέν τε τὸν βασιλέα περὶ τῆς ἐνεργείας καὶ τῶν θελημάτων, τὸ πῶς δεῖ ταῦτα λέγειν ἐν Χριστῷ, διπλᾶ ἢ μοναδικά; ὁ δὲ βασιλεὺς ξενοφωνηθείς, γράφει πρὸς Σέργιον τὸν πατριάρχην Κωνσταντινουπόλεως. προσκαλεῖται δὲ καὶ Κῦρον τὸν τοῦ Φάσιδος ἐπίσκοπον, καὶ τοῦτον ἐρωτήσας, εὗρεν αὐτὸν συμφωνοῦντα τῷ Σεργίῳ εἰς τὸ ἓν θέλημα καὶ τὴν μίαν ἐνέργειαν. Σέργιος γάρ, ἅτε Συρογενὴς καὶ γονέων Ἰακωβιτῶν ὑπάρχων, μίαν φυσικὴν θέλησιν καὶ μίαν*

C *ἐνέργειαν ἐν Χριστῷ ὡμολόγησεν καὶ ἔγραψεν. ὁ δὲ βασιλεὺς ἀμφοτέρων στοιχήσας τὴν βουλήν, εὗρεν καὶ τὸν Ἀθανάσιον συμφωνοῦντα αὐτοῖς. ἐγίνωσκεν γὰρ ὅτι ἔνθα μία*

1. *Ἀράβων — — ἔτη θ'* om. e f. 7. *ὑποδέξεται* A, *ὑποδέχηται* vulg. 9. *ἐδέξατο* A. 10. *ἡνωμένας* add. ex A. 13. *τὸν πατριάρχην* add. ex A. 15. *συμφωνοῦντα τῷ Σεργίῳ εἰς τὸ Ἓν* A, *ὁμοφωνοῦντα εἰς Ἓν* vulg. 18. *καὶ ἔγραψεν* om. a. 19. *τῇ βουλῇ* A. 20. *μία* add. ex A.

Arabum princeps Muamed annis novem.

A. C. 621 Persarum regis Hormisdae annus primus.

Hoc anno, cum imperator adhuc Hierapoli moraretur, Athanasius Iacobitarum patriarcha, vir vafer et perniciosus, ut ex innata sibi vafritie sunt Syri omnes, ad eum accessit, motisque cum imperatore de fide sermonibus, si modo synodum Chalcedonensem vellet admittere, patriarcham Antiochiae se constituturum Heraclius promisit. is enunciatis in Christo naturis duabus, haeresim ad tempus simulans, propositam synodum probavit et recepit. tum vero de operatione et voluntatibus imperatorem interrogavit, quales asserere deceat, geminas an unicam? imperator inusitata sibi vocum novitate implicatus, Sergio Cpoleos episcopo scribit. is Cyrum Phasidos episcopum ad se accersitum interrogat, et in unicam voluntatem et actionem pariter unicam consentire reperit. Sergius etenim, ceu patria Syrus, et Iacobitis parentibus ortus, unam physicam volendi actionem, unamque operationem in Christo confessus, et scripto testatus est. imperator utriusque ad invicem comparata sententia, concordem eis postmodum invenit Athanasium. ibi namque unam ponendam natu-

ἐνέργεια εἴρηται, ἐκεῖ καὶ μία φύσις γνωρίζεται. βεβαιωθεὶς δὲ ὁ βασιλεὺς ἐν τούτῳ γράφει πρὸς Ἰωάννην τὸν πάπαν Ῥώμης ἀμφοτέρων τὴν γνῶσιν. ὁ δὲ οὐ κατεδέξατο αὐτῶν τὴν αἵρεσιν. Γεωργίου δὲ τοῦ Ἀλεξανδρείας τελευτήσαντος, ἀποστέλλεται Κῦρος ἐπίσκοπος Ἀλεξανδρείας, καὶ ἐνωθεὶς Θεοδώρῳ τῷ ἐπισκόπῳ τῆς Φαρᾶν, ἐποίησεν τὴν ὑδροβαφῆ ἐκείνην ἕνωσιν, μίαν καὶ αὐτὴν γράψαντες ἐν Χριστῷ φυσικὴν ἐνέργειαν. τούτων δὲ οὕτω παρακολουθησάντων, εἰς μέγα ὄνειδος D ἡ σύνοδος Χαλκηδόνος καὶ ἡ καθολικὴ ἐκκλησία περιέπεσεν. κατεκαυχῶντο γὰρ οἱ Ἰακωβῖται καὶ οἱ Θεοδοσιανοὶ φάσκοντες, ὅτι οὐχ ἡμεῖς τῇ Χαλκηδόνι, ἀλλ' ἡ Χαλκηδὼν μᾶλλον ἡμῖν ἐκοινώνησεν, διὰ τῆς μιᾶς ἐνεργείας μίαν ὁμολογήσασα φύσιν Χριστοῦ. ἐν τούτοις Σωφρόνιος χειροτονεῖται ἐπίσκοπος Ἱεροσολύμων, καὶ συναθροίσας τοὺς ὑπ' αὐτῷ ἐπισκόπους τὸ Μονοθέλητον δόγμα ἀνεθεμάτισεν, καὶ συνοδικὰ Σεργίῳ τῷ Κωνσταντινουπόλεως καὶ Ἰωάννῃ τῷ Ῥώμης ἀπέστειλεν. ἀκούσας δὲ ταῦτα Ἡράκλειος ᾐσχύνθη, καὶ καταλύσαι μὲν τὰ οἰκεῖα οὐκ ἠθέλησεν, καὶ πάλιν τὸν ὀνειδισμὸν οὐχ ὑπέ- P. 275 φερεν. τότε δή, ὡς μέγα τι νομίζων ποιεῖν, ἐκτίθεται τὸ λεγόμενον ἔδικτον, περιέχον, μήτε μίαν, μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐν Χριστῷ, ὅπερ ἀναγνόντες οἱ τὰ τοῦ Σενήρου

3. τὴν γνώμην A. 4. τοῦ add. ex A. 7. καὶ αὐτοὶ A a. 9. καὶ ἡ καθ. A, καὶ καθ. vulg. 14. ὑπ' αὐτὸν A. 20. ἴδικτον vulg. ἐνεργ. ὁμ. ἐν Χρ. om. A f.

ram, ubi una operatio asseritur, illi probe notum. interim imperator opinionibus istiusmodi instructus, utriusque mentem Ioanni papae Romano scriptis significat. ille eorum haeresim proscribit. Georgio vero Alexandriae antistite vivis erepto, Cyrus in episcopatu sufficitur, qui Theodoro Pharan episcopo adiunctus, aqua male tinctam unionem illam, unam nimirum et eandem in Christo operationem commentus est, et tradidit scripto. his ita ordine gestis, in probrum et dedecus maximum Chalcedonensis synodus, quin immo universa ecclesia prolabitur. gloriabantur siquidem inde Iacobitae et Theodosiani palam iactantes, se non quidem cum Chalcedone, at Chalcedonem secum doctrina communicare, et una operatione admissa, unicam quoque Christi naturam docere. ea tempestate Sophronius Hierosolymorum episcopus instituitur, qui congregatis, quibus praeerat, episcopis, Monotheliticum dogma condemnavit, synodicaque acta Sergio Cpoleos et Ioanni Romae episcopo per epistolas transmisit. his auditis, Heraclius pudore afficitur, et, quae admiserat quidem noluit rescindere, nec quo probro onerabatur, pati. tum igitur praeclarum aliquod invenisse ratus, edictum ita vocatum, quo neque unica, neque geminae

φρονοῦντες ἐπὶ καπηλείων καὶ βαλανείων διέσυραν τὴν καθολικὴν ἐκκλησίαν, λέγοντες· πρώην μετὰ Νεστορίου φρονοῦντες οἱ Χαλκηδονῖται, ἀνέκηψαν, ἐπιστρέψαντες εἰς τὴν ἀλήθειαν, ἑνωθέντες ἡμῖν διὰ τῆς μιᾶς ἐνεργείας εἰς τὴν μίαν τοῦ Χριστοῦ φύσιν. νῦν δὲ καταγνόντες τοῦ καλῶς ἔχοντος, ἀπώλεσαν ἀμφότερα, μήτε μίαν, μήτε δύο ἐν Χριστῷ ὁμολογοῦντες. μετὰ δὲ τὴν τελευτὴν τοῦ Σεργίου, Πύρρος τὸν θρόνον Κωνσταντινουπόλεως διεδέξατο, ὅς τις τὰ δογματισθέντα ὑπὸ Σεργίου καὶ Κύρου ἀσεβῶς ἐκράτυνεν. τοῦ δὲ Ἡρακλείου τελευτήσαντος, καὶ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίνου βασιλεύσαντος, Πύρρος σὺν τῇ Μαρτίνῃ φαρμάκῳ τοῦτον ἀνεῖλεν, καὶ βασιλεύει Ἡρακλεωνᾶς ὁ τῆς Μαρτίνης υἱός. ἡ δὲ σύγκλητος καὶ ἡ πόλις Πύρρον, ὡς ἀσεβῆ, σὺν τῇ Μαρτίνῃ καὶ τῷ υἱῷ αὐτῆς ἐξέωσαν· καὶ βασιλεύει Κώνστας, ὁ Κωνσταντίνου υἱός, καὶ χειροτονεῖται Παῦλος Κωνσταντινουπόλεως ἐπίσκοπος, καὶ αὐτὸς αἱρετικός. Ἰωάννης δὲ ὁ Ῥώμης ἐπίσκοπος συναθροίσας σύνοδον ἐπισκόπων, τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀνεθεμάτισεν. ὁμοίως καὶ ἐν Ἀφρικῇ καὶ Βυζακίῳ καὶ Νουμιδίᾳ καὶ Μαυριτανίᾳ, διάφοροι ἐπίσκοποι συναθροισθέντες τοὺς Μονοφυσίτας ἀνεθεμάτισαν. Ἰωάννου

V. 219 B C

2. μετὰ *N.* A, μὲν τὰ *N.* vulg. 4. τῆς add. ex A. 7. τὴν add. ex A. Πύρος a. 9. Σεργίου] Σευήρου A. 18. ὁμοίως καὶ A, ὁμ. δὲ καὶ vulg.

Christi operationes assererentur, promulgavit: quod ubi Severi sectatores legere, ecclesiam catholicam per popinas et balnea impiis sermonibus traducebant: qui hucusque Nestorii sensum sequuti Chalcedonitae, nuper resipuerunt, et veritatem amplexati, per unius operationis positionem, in unam nobiscum Christi naturam asserendam convenere, at nunc demum eo, quem recte tenebant, sensu damnato, utrumque amiserunt, dum neque unam, neque duas in Christo confitentur naturas. post Sergii vero obitum Pyrrhus Cpoleos sedem excepit, qui Sergio et Cyro temere asserta mordicus et impie retinuit. Heraclio tandem fatis functo, Constantinum eius filium imperii successorem Pyrrhus et Martina, quo ad Heracleonam Martinae filium imperii dignitas devolveretur, veneno sustulerunt: senatusque subinde et urbis plebs Pyrrhum, ceu sacrilegum et impium, cum Martina et eius filio abrogavit et expulit. Constans autem Constantini filius imperium adipiscitur, et Paulus etiam ipse haereticus in Cpoleos thronum subvehitur. Ioannes autem Romae episcopus, convocata episcoporum synodo, Monothelitarum sectam inflicto anathemate damnavit: similiter in Africa et Byzacio, per Numidiam et Mauritaniam varii episcopi in unum collecti, Monophysitas, unam nimirum Christi natu-

δὲ τοῦ Ῥώμης κοιμηθέντος, Θεόδωρος χειροτονεῖται πάπας ἀντ' αὐτοῦ. Πύρρος δὲ τὴν Ἀφρικὴν καταλαβών, συνοψίζεται τὸν ἁγιώτατον ἀββᾶν Μάξιμον, τὸν αἰδέσιμον ἐν μοναχικοῖς κατορθώμασιν καὶ τοῖς ἐκεῖσε ἐνθέοις ἱεράρχαις, οἵ τινες αὐτὸν ἐλέγξαντες καὶ πείσαντες πρὸς τὸν πάπαν Θεόδωρον ἀπέστειλαν ἐν τῇ Ῥώμῃ. καὶ λίβελλον ὀρθοδοξίας ἐπιδεδωκὼς τῷ πάπᾳ, ἐδέχθη ὑπ' αὐτοῦ. τῆς δὲ Ῥώμης ὑποχωρήσας, καὶ ἐν Ῥαβέννῃ ἐλθών, ὡς κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα ἐπέστρεψεν. τοῦτο δὲ μαθὼν ὁ πάπας Θεόδωρος, τὸ πλήρωμα τῆς ἐκκλησίας συγκαλέσας, καὶ τὸν τάφον τοῦ κορυφαίου ἀποστόλου Πέτρου καταλαβών, αἰτήσας τὸ θεῖον ποτήριον, ἐκ τοῦ ζωοποιοῦ αἵματος τοῦ Χριστοῦ τῷ μέλανι ἐπιστάξας, τῇ ἰδίᾳ χειρὶ τὴν καθαίρεσιν Πύρρου καὶ τῶν κοινωνούντων αὐτῷ ποιεῖται. Πύρρου δὲ τὴν Κωνσταντινούπολιν καταλαβόντος, καὶ Παύλου ἀποθανόντος, οἱ τολμηροὶ ἑτερόδοξοι τὸν Πύρρον πάλιν τῷ θρόνῳ Κωνσταντινουπόλεως ἐγκατέστησαν. Θεοδώρου δὲ τοῦ πάπα τελευτήσαντος, Μαρτῖνος P. 276
ὁ ἁγιώτατος χειροτονεῖται ἐν Ῥώμῃ. καταλαβόντος δὲ καὶ Μαξίμου ἀπὸ Ἀφρικῆς ἐν Ῥώμῃ καὶ τὸν πάπαν Μαρτῖνον πρὸς ζῆλον ἐξάψαντος, σύνοδον ρν' ἐπισκόπων συναθροίσαν-

3. μοναχοῖς A a f. 7. τῆς δὲ Ῥώμης A, τῆς P. δὲ vulg. 8. ἐπὶ τὸ A, ἐπὶ τὸν vulg. ἐξέραμα A f, ἐξέρυμα a, ἐξέρευμα vulg. 9. ἐπέστρ. A f, ὑπέστρ. vulg. 11. ἀποστόλου Πέτρου add. ex A a b f. καταλαβών A, καταλαμβάνων vulg. 12. τῷ μέλανι add. ex A e f. 13. τὴν add. ex A.

ram docentes, diris perstrinxerunt. defuncto vero Ioanne Romae episcopo, Theodorus in eius locum papa sufficitur. Pyrrhus autem in Africam profectus, mutuis sanctissimi abbatis Maximi monasticorum institutorum observantia conspicui familiaritate et conspectibus usus, et in pontificum divinam religionem spirantium consessum admissus, ab eis acerrime reprehensus, ut ad papam Theodorum se conferat, eorum hortatibus impellitur. is ita Romam transmissus, tradito sanae rectaeque doctrinae libello, a pontifice suscipitur. at Roma digressus, cum Ravennam appulisset, ad vomitum, canis instar, reversus est. id ubi Theodorus papa rescivit, universo ecclesiae conventu convocato, ad Coryphaei apostolorum sepulchrum astans, calice afferri iusso, ex vivifico Christi sanguine stillam in atramentum immiscens, Pyrrhi caeterorumque, qui cum eo communicarent, abrogationem et condemnationem propria manu exaravit. Pyrrhus subinde Cpolim delatus, Paulo defuncto, ab audacioribus variae vanaeque fidei propugnatoribus in Cpoleos thronum restituitur. Theodoro papa mortem sublato, Martinus sanctissimus pontifex Romanus eligitur. tum vero Maximus ex Africa

τες, Σέργιον καὶ Πύρρον, Κῦρον καὶ Παῦλον ἀνεθεμάτισαν· τὰς δὲ δύο θελήσεις καὶ ἐνεργείας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐτράνωσαν, καὶ ἐκήρυξαν τῷ ἐννάτῳ ἔτει τῆς βασιλείας τοῦ Κώνσταντος τοῦ ἐγγόνου Ἡρακλείου ἰνδικτιῶνι ἡ, ὃς τις μαθὼν, καὶ θυμοῦ πλησθείς, τόν τε ἅγιον Μαρτῖνον καὶ Μάξιμον ἐνέγκας ἐν Κωνσταντινουπόλει καὶ βασανίσας, ἐν ἐξορίᾳ παρέπεμψεν ἐν Χερσωνικαῖς κλίμασιν· πολλοὺς δὲ καὶ τῶν ἑσπερίων ἐπισκόπους ἐτιμωρήσατο. μετὰ δὲ τὴν ἐξορίαν Μαρτίνου Ἀγάθων χειροτονεῖται πάπας Ῥώμης, ὃς τις κινηθεὶς ζήλῳ θεοῦ, σύνοδον ἱερὰν καὶ αὐτὸς συναθροίσας, τὴν τῶν Μονοθελητῶν αἵρεσιν ἀπεκήρυξε, τὰς δὲ δύο θελήσεις καὶ ἐνεργείας ἐτράνωσεν. οὕτω δὲ τῆς ἐκκλησίας τότε ὑπό τε τῶν βασιλέων καὶ τῶν δυσσεβῶν ἱερέων ταραττομένης, ἀνέστη ὁ ἐρημικώτατος Ἀμαλὴκ τύπτων ἡμᾶς τὸν λαὸν τοῦ Χριστοῦ, καὶ γίνεται πρώτη φορᾷ πτῶσις τοῦ Ῥωμαϊκοῦ στρατοῦ, ἡ κατὰ τὸ Γαβιθᾶ λέγω καὶ Ἱερμουχὰν καὶ τὴν ἄθεσμον αἱματοχυσίαν· μεθ' ἣν αἱ Παλαιστινῶν καὶ Καισαρέων καὶ V. 220 Ἱεροσολύμων ἅλωσεις, εἶτα ὁ Αἰγύπτιος ὄλεθρος, καὶ καθεξῆς ἡ τῶν μεσογείων καὶ νήσων, καὶ πάσης Ῥωμανίας αἰχμα-

3. τῷ δὲ ἐννάτῳ vulg. τῆς add. ex A. 4. ἔγγονος vulg. 5. θυμοῦ A, θυμῷ vulg. ἀγιώτατον a. 6. ἐν ἐξ. A, ἐξορ. vulg. 11. τὰς δὲ δύο A, τας δύο vulg. 12. ἐτράνωσεν A, τρανώσας vulg. δὲ τῆς A, δὲ καὶ τῆς vulg. 14. ἐρημικώτατος A e f, ἐρημικὸς vulg. 16. Γαβιθᾶ A e f, Γαβιθὰν vulg. Ἑρμουχθὰν A, Ἱερμουθὰν a. αἱμοχυσίαν A. 19. ἡ add. ex A. τῶν μεσογείων ποταμῶν a.

Romam transfretatus, Martini papae sanctum in deum ardorem accendit, qui centum et quinquaginta episcoporum synodo celebrata, Sergium et Pyrrhum, Cyrum et Paulum anathemate perculerunt. geminas vero Christi dei nostri voluntates et operationes clarius expositas promulgaverunt nono Constantis imperantis anno, indictione octava. Constans Heraclii nepos, his auditis, furore percitus, sanctissimum Martinum et Maximum Cpolim adduci iussit, eosque tormentis excruciatos in exilium deportari ad Chersonesi plagas, et multos insuper occidentalium episcoporum suppliciis affici. Martino demum in exilium pulso, Agatho Romanus papa instituitur, qui et ipse sincero in deum fervore motus, sacram synodum convocat, et duabus voluntatibus et operationibus assertis, Monothelitarum haeresim condemnat. ecclesia sub id tempus ab imperatoribus et impiis sacerdotibus agitata, deserti incola Amalec, commune plebis Christianae flagellum emersit, et auditur prima vice Romani exercitus clades, ea dico, quae ad Gabitham et Iermucham contigit, nefanda omnino Christiani sanguinis effusio, quam Palaestinarum, Caesariensium et Hierosolymorum devastationes

λωσία, καὶ ἡ ἐν Φοινικῇ παντελὴς τοῦ Ῥωμαϊκοῦ στρατοῦ τε καὶ στόλου ἀπώλεια, καὶ πάντων τῶν Χριστιανικῶν λαῶν καὶ τόπων ἐρήμωσις, ἥτις οὐκ ἐπαύσατο, ἄχρις ἂν ὁ τῆς ἐκκλησίας διώκτης ἐν Σικελίᾳ κακῶς ἀνῃρέθη ἐν βαλανείῳ τῆς Δάφνης. D

Τούτῳ τῷ ἔτει ἀπεβίω Μουαμὲδ ὁ τῶν Σαρακηνῶν ἀρ- A.M. 6122
χηγὸς καὶ ψευδοπροφήτης, προχειρισάμενος Ἀβουβάχαρ συγγενῆ αὐτοῦ· καὶ πάντες ἐφοβήθησαν. οἱ δὲ πεπλανημένοι Ἑβραῖοι ἐν τῇ ἀρχῇ τῆς παρουσίας αὐτοῦ ἐνόμισαν αὐτὸν εἶναι τὸν παρ' αὐτοῖς προσδοκώμενον Χριστόν· ὡς καί τινας τῶν προυχόντων αὐτῶν προσελθεῖν αὐτῷ, καὶ δέξασθαι τὴν αὐτοῦ θρησκείαν, καὶ ἀφῆσαι τὴν τοῦ θεόπτου Μωϋσέως. ἦσαν δὲ τῷ ἀριθμῷ δέκα οἱ τοῦτο πεποιηκότες, καὶ σὺν αὐτῷ διῆγον ἄχρι τῆς σφαγῆς αὐτοῦ. θεωρήσαντες δὲ αὐτὸν P. 277
ἐσθίοντα ἀπὸ καμήλου, ἔγνωσαν, ὅτι οὐκ ἔστιν αὐτός, ὃν ἐνόμισαν, καὶ διηπόρουν τί πρᾶξαι, καὶ ἀφῆσαι αὐτοῦ τὴν θρησκείαν δειλιῶντες οἱ τάλανες, ἐδίδασκον αὐτὸν ἀθέμιτα καθ' ἡμῶν Χριστιανῶν· καὶ διῆγον σὺν αὐτῷ. ἀναγκαῖον δὲ ἡγοῦμαι διηγήσασθαι περὶ τῆς τούτου γενεᾶς· οὗτος μιᾶς

1. ἡ add. ex A. παντελὴς om. A. 3. ἐρήμωσις A, ἐρημώσεις vulg. 4. ἐν β. τῆς Δ. om. A a f. 6. Ἀβουβάχαρον A, Βουβέχερ b, Βουβέκερ f. 7. αὐτοῦ] ἀντ' αὐτοῦ e. 9. τινας A b, τινες vulg. 11. ἀφεῖναι a. Μωϋσέως A, Μοϋσῆ vulg. 14. αὐτὸς om. A. 15. διηπόρουν A, ἠπόρουν vulg. 16. ἐδίδασκον[ἐκδιδάσκων A, διδάσκονται vulg. 18. διηγήσασθαι om. A f, εἰπεῖν a, quod idem A add. post γενεᾶς.

sequutae sunt, tum vero Aegyptiaci dominii iactura, et mediterranearum regionum insularumque, et universae Romanae ditionis captivitas, ac insuper in Phoenicia integra et communis exercitus classisque Romanae strages, et omnis Christiani populi Christianaeque provinciae vastitas: quorum finis nullus fuit, donec ecclesiae persecutor in Daphnes balneo in Sicilia infeliciter occisus fuit.

Hoc anno Muamed Saracenorum dux et pseudopropheta, Abuba- A. C. 622
char cognato suo successore designato, mortuus est, ex quo omnes extimuere. Hebraei vero iam diu in seductionem inducti, sub adventum eius expectatum ab ipsis eum esse Christum arbitrabantur: adeo ut nonnulli inter eos spectatissimi, Moysis dei inspectoris legibus relictis, ad eum se conferentes, quam praedicavit religionem acceptarent. erant numero decem, qui facinus huiusmodi perpetraverunt, qui ad caedis eius diem ipsi adhaeserunt. cameli vero carnes eo degustare conspecto, quem arbitrabantur eum non esse decreverunt: quid autem agerent, haerebant dubii: at cum eius superstitionem deserere miselli vererentur, nefanda in Christianos moliri edocentur: interim societatem cum eo tenuere. caeterum necesse omnino

γενικωτάτης φυλῆς κατήγετο ἐξ Ἰσμαὴλ, υἱοῦ Ἀβραάμ. Νίζαρος γὰρ ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος πατὴρ πάντων αὐτῶν ἀνα-
B γορεύεται. οὗτος γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ἀραβίαν. Μούνδαρος γεννᾷ Κούρασον καὶ Ἴσον καὶ Θεμίμην καὶ Ἄσαδον, καὶ ἄλλους ἀγνώστους. οὗτοι πάντες ᾤκουν τὴν Μαδιανῖτιν ἔρημον, καὶ ἐν αὐτῇ ἐκτηνοτρόφουν, ἐν σκηναῖς κατοικοῦντες. εἰσὶ δὲ καὶ ἐνδότεροι αὐτῶν, μὴ ὄντες τῆς φυλῆς αὐτῶν, ἀλλὰ τοῦ Ἰεκτάν, οἱ λεγόμενοι Ἀμανῖται, τοῦτ' ἔστιν Ὁμηρῖται. ἐπραγματεύοντο δέ τινες αὐτῶν ἐν ταῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μουαμέδ, ἔδοξεν αὐτῷ εἰσελθεῖν πρός τινα γυναῖκα πλουσίαν,
C συγγενῆ αὐτοῦ οὖσαν, ὀνόματι Χαδίγα, μισθωτὸν ἐπὶ τὸ καμηλεύειν καὶ πραγματεύεσθαι ἐν Αἰγύπτῳ καὶ Παλαιστίνῃ. κατ' ὀλίγον δὲ παρρησιασάμενος ὑπεισῆλθε τῇ γυναικὶ χήρᾳ οὔσῃ, καὶ ἔλαβεν αὐτὴν γυναῖκα· καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν. ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο Ἰουδαίοις τε καὶ Χριστιανοῖς. ἐθηρᾶτο δὲ παρ' αὐτῶν τινὰ γραφικά, καὶ ἔσχε τὸ πάθος τῆς ἐπιληψίας. καὶ

4. Τεμήμην A. 5. Μανδιανῖτιν A, Μανδιανίτην vulg. 7. καὶ add. ex A. 11. εἰσιέναι A. 12. συγγενῆ αὐτοῦ οὖσαν A, συγγενεῖ αὐτοῦ οὔσῃ vulg. Χαδιγᾶ A, Χαδίχα a, Χαλίδα f. μίσθιον A f. 14. παρρησιασάμενος ὑπεισῆλθε A, παρρησιασαμένου εἰσῆλθε vulg. 16 συνανεστρέφετο A, συνανετρ. vulg. 18. καὶ ἔσχε τὸ πάθος τῆς ἐπιλ. A, ἔσχε δὲ πάθ. ἐπιλ. vulg.

videtur hic de eius origine aliquid attexere. is ex praeclarissima tribu duxit originem, ex Ismaëlo nimirum filio Abraham. Nizarus quippe Ismaëlis pronepos pater istorum omnium praedicatur. hic filios duos suscepit, Mundarum et Arabiam. e Mundaro Curasus, Isus, Themimes et Asadus, et incogniti alii processerunt. isti omnes Madianitarum deserti incolae extiterunt, et in tentoriis habitantes, per eam regionem armenta pascebant. sunt etiam iis interiores ab eorum tribu omnino alieni, lectan nimirum posteri, dicti Amanitae, qui etiam Homeritae vocantur. quidam vero ex eis cum camelis mercaturam exercent. at cum memoratus Muamed orphanus et rei familiaris egestatem sustineret, ei visum est, ad mulierem quandam oppido divitem gentilem suam cognomento Chadigam se conferre, ut operam suam illi locaret, ad camelos pascendos, mercaturamque ex iis in Aegyptum et Palaestinam exerceret. paulatim vero liberiore eius utens consuetudine, ut erat vidua, se in gratiam eius insinuavit, adeo ut uxorem ipsam duxerit, eiusque camelos universamque substantiam fecerit suam. profectus autem in Palaestinam, cum Iudaeis et Christianis versabatur, et quaedam de sacris eorum scriptis venatus est. porro cum morbo comitiali laboraret;

νοήσασα ἡ τούτου γυνή, σφόδρα ἐλυπεῖτο, ὡς εὐγενὴς οὖσα καὶ τῷ τοιούτῳ συναφθεῖσα, οὐ μόνον ἀπόρῳ ὄντι, ἀλλὰ καὶ ἐπιληπτικῷ. τροποῦται δὲ αὐτὸς θεραπεῦσαι αὐτήν, οὕτω λέγων· ὅτι ὀπτασίαν τινὰ ἀγγέλου λεγομένου Γαβριὴλ θεω- D
ρῶ, καὶ μὴ ὑποφέρων τὴν τούτου θέαν, ὀλιγωρῶ καὶ πίπτω. V. 221
αὕτη δὲ ἔχουσα μοναχόν τινα κακοπιστίαν ἐξόριστον ἐκεῖσε οἰκοῦντα, ἀνήγγειλεν αὐτῷ πάντα, καὶ τὸ ὄνομα τοῦ ἀγγέλου. κἀκεῖνος θέλων πληροφορῆσαι αὐτήν, εἶπεν αὐτῇ ὅτι· ἀλη-θειαν εἴρηκεν· καὶ γὰρ οὗτος ὁ ἄγγελος ἐκπέμπεται πρὸς πάντας προφήτας. αὕτη δὲ πρώτη δεξαμένη τὸν λόγον τοῦ ψευδαββᾶ, ἐπίστευσεν αὐτῷ, καὶ ἐκήρυξεν ἄλλαις γυναιξὶν ὁμοφύλοις αὐτῆς προφήτην αὐτὸν εἶναι. οὕτως καὶ ἐκ γυ-ναικῶν ἦλθεν εἰς ἄνδρας, πρῶτον εἰς Ἀβουβάχαρ, ὃν καὶ διά-δοχον κατέλιπε. καὶ ἐκράτησεν ἡ αἵρεσις αὐτοῦ τὰ μέρη τῆς P. 278
Αἰθρίβου διὰ πολέμου τὸ ἔσχατον· πρώην μὲν κρυπτῶς ἔτη δέκα, καὶ διὰ πολέμου ὁμοίως δέκα, καὶ φανερῶς ἐννέα. ἐδίδαξεν δὲ τοὺς ἑαυτοῦ ὑπηκόους, ὅτι· ὁ ἀποκτείνων ἐχθρόν, ἢ ἀπὸ ἐχθροῦ ἀποκτεινόμενος, εἰς παράδεισον εἰσέρχεται. τὸν

6. αὕτη A, αὐτὴ vulg. μοιχόν τινα A. 7. οἰκοῦντα φί-λον αὐτῆς A. 10. αὕτη A, αὐτὴ vulg. 11. ὀνόματι Σέρ-γιον κακόδοξον add. b e f post ψευδαββᾶ. 12. οὕτως καὶ A a, καὶ οὕτως καὶ vulg. 13. ἦλθεν εἰς A, ἦλθεν, καὶ εἰς vulg. Ἀβουβάχαρ A, Ἀβουβάχαρον vulg. 14. τῆς ἐνθρίβου A. 16. τὸ κοῦρα τοῦ Μαχουμὲτ add. a post φανερῶς. 17. δὲ add. ex A. ὁ add. ex A.

uxor virum eo aliquando correptum animadvertens, gravem inde concepit dolorem, quod nobilis ipsa, tali viro, non solum pauperi, sed etiam comitiali infirmitate affecto, coniuncta esset. is autem eam delinire comminiscitur huiusmodi verbis: angeli cognomento Gabrielis visio mihi manifestatur, cuius aspectum ipse ferre non valens, mentis deliquium patior, et concido. illa cum ad manum monachum quendam haberet, ob pravos in fidem sensus relegatum, et istic morari consuetum, hominem consulit, cuncta viri secreta denunciat, ac ipsius angeli nomen. is cum mulieri rem plane persuasum vellet, dixit ei: verum enunciavit: iste quippe angelus ad omnes prophetas destinatur. ipsa itaque caeteris prior pseudabbatis verbis credula viro deinceps adhibuit fidem, ac inter alias foeminas contribules eum prophetam esse disseminavit: et hoc pacto a foeminis in viros res propagata est, ante alios vero ad Abubacharum, quem ille postea successorem reliquit. obtinuitque ea haeresis in partibus Aethribi postremo tandem bello, primum quidem occulte, annos decem disseminata, tum vero armorum vi annos pariter decem, ac tandem aperta concione annos novem. porro subditos ita edocuit: qui interfecerit inimicum, vel ab inimico interfectus fuerit, in paradisum admittetur.

δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ πόσεως καὶ μίξεως γυναικῶν ἔλεγεν· ποταμόν τε οἴνου καὶ μέλιτος καὶ γάλακτος, καὶ γυναικῶν οὐ τῶν παρουσῶν ἀλλ' ἄλλων, καὶ τὴν μίξιν πολυχρόνιον εἶναι, καὶ διαρκῆ τὴν ἡδονήν· καὶ ἄλλα τινὰ
B ἀσωτίας καὶ μωρίας μεστά· συμπαθεῖν δὲ ἀλλήλοις, καὶ βοηθεῖν ἀδικουμένοις.

Ἐν αὐτῷ δὲ τῷ ἔτει, ἰνδικτιῶνι τετάρτῃ, μηνὶ Νοεμβρίῳ ἑβδόμῃ, ἐγεννήθη Ἡρακλείῳ ἐν τῇ ἀνατολῇ Δαβὶδ ὁ υἱὸς αὐτοῦ· τῇ αὐτῇ ἡμέρᾳ καὶ Ἡράκλειος ἐτέχθη υἱὸς Ἡρακλείου τοῦ μικροῦ τοῦ καὶ Κωνσταντίνου υἱοῦ Ἡρακλείου
10 τοῦ μεγάλου. καὶ ἐβαπτίσθη ἐν Βλαχέρναις ὑπὸ Σεργίου πατριάρχου τῇ ε' ἰνδικτιῶνι μηνὶ Νοεμβρίῳ τρίτῃ.

A.M. 6123 Ἀράβων ἀρχηγοῦ Ἀβουβάχαρ, Ἱεροσολύμων ἐπισκόπου
C Μοδέστου ἔτος α'.

Τούτῳ τῷ ἔτει ἐπανέστησαν Πέρσαι κατ' ἀλλήλων, καὶ
5 ἐπολέμησαν ἑαυτούς. ἐν αὐτῷ δὲ τῷ καιρῷ ὁ βασιλεὺς τῶν Ἰνδῶν πέμπει συγχαρίκεια τῷ Ἡρακλείῳ ἐπὶ τῇ τῶν Περσῶν νίκῃ μαργαρίτας καὶ λίθους τιμίους ἱκανούς. ἦν δὲ προτελευτήσας ὁ Μουαμέδ, ὃς ἦν στήσας τέσσαρας ἀμηραίους τοῦ πολεμεῖν τοὺς ἐξ Ἀράβων γένους Χριστιανούς· καὶ ἦλ-
20

3. παρουσῶν a, παρόντων vulg. 4. εἶναι add. ex A. 8. Δαβὶδ om. A e f. 17. συγχαρίκεια A, συγχαρίκια vulg. ἐπὶ τῇ τῶν Π. A, ἐν τῇ Π. vulg. 19. Ὁμηρέους a, Ἀμηρέους f.

paradisum vero quo corporalis cibi, et potus, et foeminarum commixtionis sit usus, ipse asseruit: fluvium item mellis fore, vini, et lactis, foeminarumque usum, non quales fluxum exhibet saeculum, sed praestantiorum, diuturnam commixtionem, et permanentem stantemque voluptatem, aliaque id genus luxus et dementiae plena. praeterea ut sui invicem misericordia moverentur, et iniuriam passis opem ferrent edixit.

Eodem quoque anno, indictione quarta, mensis Novembris die septimo, Heraclio in oriente degenti David filius natus est. eodem quoque die Heraclius Heraclii iunioris Constantini dicti filius, magni Heraclii nepos in lucem venit, et a patriarcha Sergio mensis Novembris die tertio, quinta indictione, lustrali unda initiatus fuit in Blachernis.

A. C. 623 Arabum ducis Abubachar annus primus, Hierosolymorum episcopi Modesti annus primus.

Hoc anno Persae in invicem tumultuati intestinis bellis mutuo sese confecere. sub id vero tempus munera gratulantis animi testimonia, ob partam ab Heraclio de Persis victoriam, Indorum rex misit: unionum videlicet ac lapidis pretiosi copiam non contemnendam. iam ante Muamed fato extinctus fuerat, qui debellandis ex Arabum

θον κατέναντι Μουχέων κώμη λεγομένη, ἐν ᾗ ὑπῆρχεν Θεόδωρος ὁ Βικάριος, θέλοντες ἐπιρρίψαι κατὰ τῶν Ἀράβων τῇ ἡμέρᾳ τῆς εἰδωλοθυσίας αὐτῶν. μαθὼν δὲ τοῦτο ὁ Βικάριος παρά τινος Κορασινοῦ, Κουταβᾶ λεγομένου, συνάγει πάντας τοὺς στρατιώτας τῶν φυλακῶν τῆς ἐρήμου, καὶ ἀκριβωσάμενος παρὰ τοῦ Σαρακηνοῦ τὴν ἡμέραν καὶ τὴν ὥραν, ἐν ᾗ ἔμελλον ἐπιρρίπτειν αὐτοῖς, αὐτὸς ἐπιρρίψας αὐτοῖς ἐν τῷ χωρίῳ ἐπιλεγομένῳ Μοθοὺς ἀκοκτείνει τρεῖς ἀμηραίους, καὶ τὸ πλῆθος τοῦ λαοῦ. ἐξῆλθεν δὲ εἷς ἀμηρᾶς ὁ Χάλεδος, ὃν λέγουσι μάχαιραν τοῦ θεοῦ. ἦσαν δέ τινες τῶν πλησίον Ἀράβων λαμβάνοντες παρὰ τῶν βασιλέων ῥόγας μικρὰς πρὸς τὸ φυλάξαι τὰ στόμια τῆς ἐρήμου. ἐν αὐτῷ δὲ τῷ καιρῷ P. 279
ἦλθέν τις εὐνοῦχος διδόναι τὰς ῥόγας τῶν στρατιωτῶν, καὶ ἐλθόντες οἱ Ἄραβες κατὰ τὸ ἔθος λαβεῖν τὴν ῥόγαν αὐτῶν, ὁ εὐνοῦχος ἀπεδίωξεν αὐτούς, λέγων· ὅτι ὁ δεσπότης μώγις V. 222
τοῖς στρατιώταις δίδωσιν ῥόγας, πόσῳ μᾶλλον τοῖς κυσὶ τούτοις; θλιβέντες οὖν οἱ Ἄραβες ἀπῆλθον πρὸς τοὺς ὁμοφύλους, καὶ αὐτοὶ ὡδήγησαν αὐτοὺς ἐπὶ τὴν χώραν Γάζης στόμιον οὔσης τῆς ἐρήμου κατὰ τὸ Σιναῖον ὄρος πλουσίαν σφόδρα.

Περσῶν βασιλεὺς Ὁρμίσδας ἔτη ια'. A.M. 6124 B

4. Κουρασίου, Κουτάβα λεγομένου καὶ Μαρθίου αὐτοῦ γενομένου A. 5. παραφυλάκων A. 8. ἐπιλεγομένῳ A, ἐπὶ λεγ. vulg. 10. τὴν μάχαιραν A. πλησίον A, πλησίων vulg. 13. διδόναι A, δίδων vulg. 20. Περσῶν — — ια' om. a.

genere Christianis ameraeos quatuor instituit. illi ad vicum, cui Mucheorum nomen, in quo Theodorus Vicarius sedem fixerat, accedunt; qua die profanos suos ritus exequerentur in Arabes impressionem facere consiliati. at Vicarius ea de re per Corasinum, cognomento Cutabam certior factus, cunctis militibus deserti custodiae ac praesidiis deputatis in unum collectis, nec non de die et hora qua irrumpere meditabantur diligentius a Saraceno edoctus, ipse ad pagum vulgo Mothus dictum ex ameraeis tres et exercitum copiosum delet. unus autem ameraeus Chaledus nomine, quem etiam dei gladium vocabant, evasit. caeterum cum ex Arabibus iuxta positis nonnulli defendendis Eremi faucibus exigua stipendia referre solerent, venit ea tempestate eunuchus non nemo stipendia militibus erogaturus, et ut Arabes pro more sibi consueto stipendium accepturi venissent, asperis verbis adegit, dominus noster, inquiens, militibus stipendia vix solvit, quanto minus canibus istis distribuet? Arabes ita male accepti ad contribules suos se recepere, eosque inde adduxerunt ad agrum Gazae, quae ad ipsas deserti fauces contra Sinaeum montem sita opibus quam plurimis abundat.

Persarum rex Hormisdas annis undecim. A.C. 624

Τούτῳ τῷ ἔτει ἔπεμψεν Ἀβουβάχαρος στρατηγοὺς τέσσαρας, οἳ καὶ ὁδηγηθέντες, ὡς προέφην, ὑπὸ τῶν Ἀράβων ἦλθον, καὶ ἔλαβον τὴν Ἥραν, καὶ πᾶσαν χώραν Γάζης, στόμιον οὖσης τῆς ἐρήμου κατὰ τὸ Σιναΐον ὄρος· μόγις δέ ποτε ἐλθὼν ἀπὸ Καισαρείας Παλαιστίνης Σέργιος σὺν στρατιώταις ὀλίγοις, καὶ συμβαλὼν πόλεμον, κτείνεται πρῶτος σὺν τοῖς στρατιώταις τριακοσίοις οὖσι. καὶ πολλοὺς αἰχμαλώτους λαβόντες καὶ λάφυρα πολλὰ ὑπέστρεψαν μετὰ λαμπρᾶς νίκης.

Αὐτῷ δὲ τῷ χρόνῳ σεισμὸς ἐγένετο κατὰ τὴν Παλαιστίνην· καὶ ἐφάνη σημεῖον ἐν τῷ οὐρανῷ κατὰ μεσημβρίαν, ὁ λεγόμενος δοκίτης, προμηνύων τὴν τῶν Ἀράβων ἐπικράτησιν· ἔμεινε δὲ ἐπὶ ἡμέρας τριάκοντα διατείνων ἀπὸ μεσημβρίας ἕως ἄρκτου. ἦν δὲ ξιφοειδής.

A.M. 6125 *Ἱεροσολύμων ἐπισκόπου Σωφρονίου, Ἀλεξανδρείας ἐπισκόπου Κύρου ἔτος α'.*

Τούτῳ τῷ ἔτει Ἀβουβάχαρος τελευτᾷ ἀμηρεύσας δύο ἔτη καὶ ἥμισυ· καὶ παραλαμβάνει τὴν ἀρχὴν Οὔμαρος, ὃς παρέλαβε Βόστραν τὴν πόλιν μετὰ καὶ ἄλλων πόλεων.

1. ἔπεμψεν A, πέμψας vulg. στρατηγοὺς τέσσαρας, οἳ καὶ ὁδηγηθέντες, ὡς προέφην, ὑπὸ τῶν Ἀράβων ἦλθον A, τέσσαρας ὁδηγηθέντας, ὡς προέφην, ἦλθον vulg. 3. στόμιον — — ὄρος om. A a f. 5. σὺν στρατιώταις ὀλίγοις A, σὺν στρατιωτῶν ὀλίγων vulg. 6. σὺν τοῖς στρατιώταις τριακοσίοις οὖσι A, σὺν τῶν στρατιωτῶν τριακοσίων ὄντων vulg. 8. μετὰ πολλῆς νίκης A f, μετὰ λαμπρᾶς νίκης vulg. 12. ἐπὶ .om. A. 18. παρέλαβε A, παραλαμβάνει vulg.

Hoc anno Abubacharus duces quatuor, ut praefatus sum, misit, qui ab Arabibus deducti, Heram et universam Gazae regionem cepere, quae versus montem Sinaeum deserti fauces occupat. quibus cum Sergius tandem aliquando Caesarea urbe Palaestinae cum paucis adeo militibus obviam procurrisset, certamine inito, ipse primus cum caeteris militibus, qui trecenti omnino erant, caesus est. quare ipsi ingenti praeda parta, pluribusque captivis abactis, insigni victoria potiti, domum reversi sunt.

Eodem etiam anno terrae motus in Palaestina contigit, signumque in caelo meridiem versus visum est, docitem a trabis forma vocant, quod Arabum imperium portendebat, duravitque dies triginta, a meridie ad septentrionem usque exporrectum, et gladii formam prae se ferebat.

A. C. 625 Hierosolymorum episcopi Sophronii, Alexandriae Cyri episcopi annus primus.

Hoc anno Abubacharus duobus annis et dimidio principatu occupato extinctus est, tum vero tyrannidem Umarus obtinet, qui Bostram

ἀπεδήμησεν δὲ μέχρι τοῦ Γαβηθᾶ. τούτοις συμβαλὼν Θεόδωρος ὁ τοῦ βασιλέως Ἡρακλείου ἀδελφὸς ἡττήθη, καὶ πρὸς τὸν βασιλέα ἐν Ἐδέσσῃ ἔρχεται. ὁ δὲ βασιλεὺς προχειρίζεται ἕτερον στρατηγὸν ὀνόματι Βαάνην καὶ Θεόδωρον σακελλάριον μετὰ μεγάλης δυνάμεως πέμπει κατὰ Ἀράβων· παραγενόμενος δὲ εἰς τὴν Ἔδεσσαν συναντᾷ πλῆθος Σαρακηνῶν, καὶ ἀποκτείνας αὐτούς, καὶ τὸν ἀμηρεύοντα αὐτῶν καὶ τοὺς λοιποὺς ἀπελαύνει ἕως Δαμασκοῦ. κἀκεῖσε παρὰ τὸν Βαρδανήσιον ποταμὸν παραφωσεύει. Ἡράκλειος δὲ τὴν Συρίαν καταλιπών, ὡς ἀπελπίσας, ἄρας καὶ τὰ τίμια ξύλα ἀπὸ Ἱερουσαλὴμ ἐπὶ τὴν Κωνσταντινούπολιν ἀπῆει. Βαάνην δὲ ἀπὸ Δαμασκοῦ εἰς Ἔδεσσαν κελεύει στρέφεσθαι, καὶ Θεόδωρον σακελλάριον ἔχοντα στρατὸν χιλιάδας μ', καὶ διώκουσιν τοὺς Ἄραβας ἀπὸ Ἐδέσσης ἕως Δαμασκοῦ. P. 280

Περσῶν βασιλεὺς Ὀρμίσδας ἔτη ια'. B

Ἀράβων ἀρχηγοῦ Οὐμάρου ἔτος α'. A.M. 6126

Τούτῳ τῷ ἔτει ἐστράτευσαν οἱ Σαρακηνοὶ τὴν Ἀραβίαν ἐπὶ τὰ μέρη Δαμασκοῦ πλῆθος ὄντες ἄπειρον. Βαάνης δὲ μαθὼν πρὸς τὸν βασιλικὸν σακελλάριον ἀποστέλλει, ἵνα κα- V. 223

1. ἀπεδήμησεν A f, ἀπεδήμησαν vulg. 5. μετὰ Ῥωμαϊκῆς δυν. A. 6. Ἔδεσσαν A, Ἔμεσαν vulg. 9. παραφωσσεύει] παρὼν καλοῦσιν οἱ Σαρακηνοὶ Βαρδὴν f, in A lacuna unius fere lineae apparet; παραψωσεύει vulg. 12. Ἔδεσσαν A, Ἔμεσαν vulg. κελεύει στρέφεσθαι] στρέφει A a f. 14. τοὺς add. ex A. 15. Περσῶν — — ἔτη ια' om. a.

et plures alias civitates expugnavit, et ad Gabetha usque penetravit. Theodorus autem imperatoris Heraclii frater cum iis conserta pugna victus est, et ad imperatorem Edessam rediit. imperator ducem alium Baanem nomine praeficit, et Theodorum sacellarium, et ambos cum armata multitudine adversus Arabes instruit. is Edessam profectus, obvium Saracenorum agmen habuit, quibus deletis, amerae principatu fungentem, et reliquos universos Damascum usque fugat, ibique ad Bardanesium amnem castra fixit. Heraclius porro quasi rebus in desperatis Syria relicta, et venerandis lignis Hierosolyma asportatis, Cpolim recessit. Baanem vero Damasco Edessam reverti iubet, atque etiam Theodorum sacellarium qui quadraginta millium militum aciem ducebat. isti Edessa Damascum usque prosequuntur Arabes.

Persarum rex Hormisdas annis undecim regnat.

Arabum ducis Umari annus primus. A. C. 626

Hoc anno Saraceni copiarum pene immensarum exercitu collecto irruptionem in Arabiam iuxta Damasci agrum fecere. eo cognito, Baanes imperialem sacellarium, ut cum universis copiis in auxilium suum acceleret, per litteras monet; erat quippe Arabum innumerus

ταλάβῃ ἐν τάχει μετὰ τοῦ ἑαυτοῦ στρατοῦ εἰς βοήθειαν αὐ-
C τοῦ, διὰ τὸ πλῆθος εἶναι τοὺς Ἄραβας. κατέλαβεν δὲ ὁ
σακελλάριος πρὸς Βαάνην· καὶ ἀπάραντες ἀπὸ Ἐδέσσης
συναντῶσι τοῖς Ἄραψι, καὶ συμβολῆς γενομένης τῇ πρώτῃ
ἡμέρᾳ, ἥτις ἦν τρίτη τῆς ἑβδομάδος, κγ' τοῦ Ἰουλίου μηνός,
ἡττῶνται οἱ περὶ τὸν σακελλάριον. στασιάσαντες δὲ οἱ τοῦ
Βαάνους, Βαάνην προχειρίζονται βασιλέα, καὶ Ἡράκλειον
ἀπεκήρυξαν. τότε οἱ περὶ τὸν σακελλάριον ὑπεχώρησαν, καὶ
οἱ Σαρακηνοὶ εὑρόντες ἄδειαν, συμβάλλουσι πόλεμον. ἀπὸ
μου δὲ πνεύσαντος κατὰ Ῥωμαίων νότου, μὴ δυνηθέντες ἀν-
τωπῆσαι ἐχθροῖς διὰ τὸν κονιορτὸν ἡττῶνται. καὶ ἑαυτοὺς
D βάλλοντες εἰς τὰς στενόδους τοῦ Ἱερμοχθοῦ ποταμοῦ ἐκεῖ
ἀπώλοντο ἄρδην. ἦσαν δὲ ἀμφοτέρων στρατηγῶν χιλιάδες
τεσσαράκοντα. τότε οἱ Σαρακηνοὶ λαμπρῶς νικήσαντες ἐπὶ
τὴν Δαμασκὸν ἔρχονται καὶ ταύτην παραλαμβάνουσι, καὶ τὰς
χώρας τῆς Φοινίκης, καὶ οἰκίζονται ἐκεῖ· καὶ στρατεύουσι
κατ' Αἰγύπτου. κατηγορεῖται δὲ ὁ Κῦρος ἐπὶ τοῦ βασιλέως,
ὡς τὸ χρυσίον τῆς Αἰγύπτου τοῖς Σαρακηνοῖς δούς. καὶ ἀπο-
στείλας μετ' ὀργῆς τοῦτον μετεπέμψατο. Μανουὴλ δέ τινα

1. ἐν τάχει om. A. ἑαυτοῦ add. ex A. 6. δὲ add. ex A.
10. ἀντωπῆσαι A a f, ἀντιπροσωπῆσαι vulg. 12. Ἑρμουχθᾶ
A f, Ἑρμουθὰ a. 14. λαμπρῶς νικήσαντες A, νικήσαντες, λαμ-
πρῶς vulg. 17. Αἴγυπτον A f. 18. δοὺς A a f, * διαδόν-
τος vulg. 19. μετ' ὀργῆς om. A.

exercitus. ambo Edessa solventes, Arabibus occurrunt, praeliumque commissum est ipso primo die, qui fuit hebdomadis tertius, Iulii vero mensis tertius ac vicesimus, quo sacellarii acies omnino profligata. Baanis vero milites, Baane in imperatorem subvecto, Heraclium respuunt. sub id tempus sacellarii copiae castris discessere, qua occasione Saracenis oblata, praelium ab eis conseritur. validis autem flatibus in Romanorum faciem vento noto spirante, motoque et elato per aërem pulvere, ipsam hostibus in praelio dare non valebant, succumbunt eam ob rem, et praelio cedunt, tum vero seipsos in Iermochthae fluminis angustias praecipitantes, illic omnes fere periere. aderant utrique duci copiae hominum quadraginta millium numerum conflantes. Saraceni motis inde castris, Damascum bene composito exercitu aggrediuntur, et capiunt, nec non Phoeniciae provincias, in quibus proprias sibi sedes constituunt, et mox in Aegyptum expeditionem moliuntur. interim Cyrus apud imperatorem accusatur, quod Aegypti opes Saracenis dedisset. imperator ira incensus, misit qui ipsum accerseret, et Manuelem quendam Armenium genere delegavit augustalem. evoluto temporis spatio, Saracenorum exactores colligendo auri stipendio adfuere, quos Manuel re infecta cum huiusmodi verbis a

Ἀρμένιον τῷ γένει ἐκπέμπει αὐγουστάλιον. πληρωθέντος δὲ τοῦ χρόνου, οἱ τῶν Σαρακηνῶν πράκτορες παρεγένοντο τοῦ λαβεῖν, τὸ χρυσίον. ὁ δὲ Μανουὴλ ἀπράκτους αὐτοὺς ἐξελαύνει λέγων, ὅτι οὐκ εἰμὶ ἐγὼ Κῦρος ὁ ὅπλος, ἵνα τέλη P. 281
ὑμῖν παράσχω· ἀλλ' ἐγὼ ἔνοπλος εἰμί. τούτων δὲ ἀπελθόντων εὐθέως, ὁπλίζονται οἱ Σαρακηνοὶ κατ' Αἰγύπτου· καὶ συνάψαντες κατὰ Μανουὴλ πόλεμον, ἀπελαύνουσι τοῦτον. αὐτὸς δὲ μετ' ὀλίγων τινῶν εἰς Ἀλεξάνδρειαν διασώζεται. τότε οἱ Σαρακηνοὶ ἐφορολόγησαν. ἀκούσας δὲ Ἡράκλειος τὰ πραχθέντα ἀποστέλλει Κῦρον πρὸς τὸ πεῖσαι αὐτοὺς ἀναχωρῆσαι τῆς Αἰγύπτου τῷ πρώτῳ στοιχήματι· καὶ ἀπελθὼν ὁ Κῦρος εἰς τὴν παρεμβολὴν τῶν Σαρακηνῶν ὑπεραπελογεῖτο, ὡς ἀναίτιος ὢν τῆς παραβάσεως, καὶ εἰ βούλοιντο τὴν προτέραν συμφωνίαν ὅρκοις βεβαιῶσαι. πρὸς τούτοις οἱ Σαρα- B
κηνοὶ οὐκ ἐπείσθησαν λέγοντες τῷ ἐπισκόπῳ· δύνῃ τοῦτον τὸν παμμεγέθη στύλον καταπιεῖν; ὁ δὲ εἶπεν· οὐκ ἐνδέχεται. οἱ δὲ εἶπον· οὐδὲ ἡμῖν ἐνδέχεται ἀναχωρῆσαι τῆς Αἰγύπτου ἔτι.

[Περσῶν βασιλεὺς Ὁρμίσδας ἔτη ια'.] A.M.6127

Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Οὔμαρος κατὰ Παλαιστίνης, καὶ παρακαθίσας τὴν ἁγίαν πόλιν διετῆ χρόνον, παρέλα- V. 224 C

2. τοῦ om. A. 3. ὁ add. ex A. 4. τέλη A, τέλος vulg. 5. ἀλλ' ἐγὼ ἔνοπλος A, ἀλλ' ἔνοπλος ἐγὼ vulg. 7. κατὰ A, μετὰ vulg. 8. μετ' ὀλίγων τινῶν A, μετ' ὀλίγους τινὰς vulg. 9. τὰ προσταχθέντα A. 10. τὸ add. ex A. 19. Περσῶν — — ια' om. A.

se abegit: non sum ego Cyrus ille inermis, qui tributum vobis pendam; adsum armis haud leviter instructus. reversis exactoribus, Saraceni in Aegyptum armantur, et praelio cum Manuele conserto, fugae eum se dedere cogunt. ipse paucis comitibus Alexandriam se recipit. exinde Saraceni tributum Aegypto imposuerunt. Heraclius accepto rerum gestarum nuncio Cyrum mittit, ut relicta Aegypto initis prioribus conditionibus starent, Saracenis suadeat. Cyrus ad Saracenorum castra profectus primae a se huius infractionis crimen deprecatur, deinde priora pacta de novo iureiurando obfirmaturum, si ita ipsis videatur, promittit. his episcopi verbis Saraceni se suaderi non permiserunt: idcirco, potes, inquiunt, ingentem hanc columnam devorare? qui cum id fieri minime posse dixisset, responderunt: neque ullo modo fieri, ut Aegypto excedamus.

Persarum rex Hormisdas annis undecim regnat. A. C. 62[illegible]

Hoc anno Umarus in Palaestinam suscepit expeditionem, et obsidione per annos duos ad sanctam civitatem continuata, tandem fide data eam in potestatem accepit. Sophronius autem Hierosolymorum

βεν αὐτὴν λόγῳ. Σωφρόνιος δὲ ὁ Ἱεροσολύμων ἀρχιερεὺς λόγον ἔλαβεν πάσης Παλαιστίνης ἀσφαλέστατον. εἰσελθὼν δὲ Οὔμαρος εἰς τὴν ἁγίαν πόλιν τριχίνοις ἐκ καμήλων ἐνδύμασιν ἠμφιεσμένος ἐρρυπωμένοις, ὑπόχρισίν τε σατανικὴν ἐνδεικνύμενος, τὸν ναὸν ἐζήτησεν τῶν Ἰουδαίων ἰδεῖν, ὃν φκοδόμησε Σολομών, προσκυνητήριον αὐτὸν ποιῆσαι τῆς αὐτοῦ βλα-
D σφημίας. τοῦτον δὲ ἰδὼν Σωφρόνιος ἔφη· τοῦτό ἐστιν ἐπ' ἀληθείας τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ· πολλοῖς τε δάκρυσι τὸ Χριστιανῶν φῦλον ἀπωδύρετο τῆς εὐσεβείας ὁ πρόμαχος. ὅντος δὲ αὐτοῦ ἐν τοῖς ἐκεῖσε, παρεκάλεσεν αὐτὸν ὁ πατριάρχης δέξασθαι παρ' αὐτοῦ σινδόνιον σὺν ἐνδύματι ἐνδύσασθαι. ὁ δὲ οὐκ ἠνέσχετο ἐνδύσασθαι αὐτά. μόγις οὖν ἔπεισε φορέσαι, ἕως οὗ ἐπλύθησαν τὰ ἱμάτια αὐτοῦ. καὶ πάλιν ἀπέστρεψεν αὐτὰ τῷ Σωφρονίῳ· καὶ ἐφόρεσε τὰ ἴδια. ἐν τοῖς ἀπεβίω ὁ Σωφρόνιος, ὁ λόγῳ καὶ πράξει τὴν Ἱεροσολύ-
P. 282 μων κατακοσμήσας ἐκκλησίαν, καὶ κατὰ τῆς Ἡρακλείου καὶ τῶν σὺν αὐτῷ μονοθελητῶν κακοδοξίας ἀγωνισάμενος Σεργίου καὶ Πύρρου.

Τῷ αὐτῷ ἔτει ἀπολύει Οὔμαρος τὸν Ἴαδον εἰς τὴν Συρίαν, καὶ ὑπέταξεν πᾶσαν τὴν Συρίαν Σαρακηνοῖς.

4. ἐρυπωμένοις A. 5. ἰδεῖν om. A. 7. δὲ add. ex A. 10. Χριστιανῶν A, Χριστιανὸν vulg. 14. οὖ add. ex A. 17. τῆς om. A. 20. Ἴαδον A a f, Ἰασδὸν vulg. ubique.

Ῥωμαίων πολιτείας συγκεχυμένης οὔσης ἔκ τε τῆς βαρβάρων ἐπιδρομῆς καὶ ἐκ τῶν τοῦ Ἰουστινιανοῦ μιαιφονιῶν καὶ τῶν τοῦ Φιλιππικοῦ ἀνοσιουργιῶν, οὗτος ὁ εἰρημένος Λέων ὑπερεμάχει τῷ Ἀρτεμίῳ, ἐναντιούμενος Θεοδοσίῳ. εἶχε δὲ συμφωνοῦντα αὐτῷ καὶ συντρέχοντα τὸν Ἀρτάβασδον τὸν τῶν Ἀρμενιακῶν στρατηγόν, ὃν καὶ γαμβρὸν μετὰ τὸ βασιλεῦσαι αὐτὸν εἰς Ἄνναν τὴν θυγατέρα αὐτοῦ πεποίηκεν, προβαλλόμενος αὐτὸν καὶ κουροπαλάτην. Μασαλμᾶς δὲ χειμάσας ἐν τῇ Ἀσίᾳ, ἐξεδέξατο τὰς τοῦ Λέοντος ὑποσχέσεις· μηδὲν δὲ παρὰ Λέοντος δεξάμενος, καὶ γνοὺς ὅτι ἐνεπαίχθη ὑπ' αὐτοῦ, ἐλθὼν εἰς τὴν Ἄβυδον ἀντεπέρασε λαὸν ἱκανὸν εἰς τὴν Θρᾴκην, καὶ ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἀπεκίνησεν. γράψας καὶ πρὸς Σουλεϊμὰν τὸν πρωτοσύμβουλον καταλαβεῖν μετὰ τοῦ προετοιμασθέντος στόλου. τῇ δὲ ιέ τοῦ Αὐγούστου μηνὸς παρεκάθισεν τῇ πόλει ὁ Μασαλμᾶς λυμηνάμενος καὶ τὰ Θρᾳκῷα κάστρα. περιχαρακώσαντες δὲ τὸ χερσαῖον τεῖχος ὤρυξαν φόσσαν μεγάλην, καὶ ἐπάνω αὐτῆς περιτείχισμα στηθαῖον διὰ ξηρολίθου ἐποίησαν. τῇ δὲ α τοῦ Σεπτεμβρίου μηνὸς τῆς α ἰνδικτιῶνος ἀνέλαβεν ὁ χριστομάχος Σουλεϊμὰν

1. τε add. ex A. 2. καὶ ἐκ τῶν τοῦ A, ἔκ τε vulg. τῶν add. ex A. 3. ὁ εἰρ. Λέων] ὁ εὐσεβὴς a. 4. τῷ Ἀρτεμίῳ] suprascr. in A, τοῦ Ἀρτεμίου. 12. γράψας πάλιν καὶ A e. 13. μετὰ τοῦ προετοιμασθέντος A, μετὰ προετοιμασθ. vulg. 14. μηνὸς add. ex A. 17. στηθαῖον A, στηθέων vulg. 18. ἐποίησαν om. A f.

arripiente, cum electus esset Artemius, et cum barbarorum incursionibus, tum iniustis Iustiniani caedibus, tum Philippici sacrilegis impietatibus cuncta sus deque per Romanam rem publicam iactarentur, memoratus iste Leo armis in Theodosium susceptis, Armenii partes strenue propugnabat. propositi vero armorumque socium, et in eadem pericula conspirantem nactus est Artabasdum Armenicorum ducem, quem Anna filia in matrimonium locata generum imperator factus ascivit, et curopalatis dignitate auxit. caeterum Masalmas in Asia hiematus, ibi Leonis promissorum solutionem expectabat, qui cum nihil a Leone accepisset, illusum se sentiens, Abydum profectus copiosum exercitum in partes Thraciae navibus transmisit, et in urbem imperii reginam arma movit, Sulimanem etiam consilii sui primicerium litteris monuit, ut cum classe instructa adveniret. die autem mensis Augusti decima quinta urbem obsidere coepit Masalmas, expugnatis direptisque Thraciae castris. porro terrestri muro circumquaque vallato ingentem fossam aperuerunt, et ad vallum fossae impositum ex lapidibus nullo caemento ad invicem iunctis murum, qui castris pro lorica esset, circumduxerunt. die vero prima mensis Septembris indictione prima, infen-

μετὰ τοῦ στόλου καὶ τῶν ἀμηραίων αὐτοῦ ἔχων παμμεγέθεις καὶ πολεμικὰς κατίνας καὶ δρόμωνας τὸν ἀριθμὸν ϡω', καὶ προσώρμισεν ἀπὸ τῆς Μαγναύρας ἕως τοῦ Κυκλοβίου. μετὰ δὲ δύο ἡμέρας νότου πνεύσαντος, καὶ ἀπάραντες ἐκεῖθεν παρέπλευσαν τὴν πόλιν. καὶ οἱ μὲν ἐπέρασαν εἰς τὰ Εὐτροπίου καὶ Ἀνθεμίου, οἱ δὲ εἰς τὰ τῆς Θρᾴκης μέρη ἀπὸ τοῦ καστελλίου τῶν Γαλάτων καὶ ἕως τοῦ κλειδίου προσώρμισαν. τῶν δὲ μεγάλων πλοίων βεβαρημένων ἐκ τοῦ φόρτου καὶ ἀγρευομένων νωτοφύλακες μέχρι τῶν εἴκοσι κατίνων ἀπέμειναν
D ἐχόντων ἀνὰ ἑκατὸν λωρικάτων πρὸς τὸ ταῦτα φυλάττειν. εὐδίας δὲ καταλαβούσης αὐτὰς ἐν τῷ ῥεύματι καὶ τοῦ στενοῦ μικρὸν πνεύσαντος ὤθησεν αὐτὰς ἐπὶ τὰ ἔξω. ὁ δὲ εὐσεβὴς βασιλεὺς παραχρῆμα ἐμπύρους ναῦς κατ' αὐτῶν ἐκπέμψας ἀπὸ τῆς ἀκροπόλεως, τῇ θείᾳ συμμαχίᾳ πυριαλώτους αὐτὰς ἐποίησεν· καὶ αἱ μὲν εἰς τὰ παράλια τείχη ἐμπυρειζόV. 26 μεναι ἀπερρίφησαν, αἱ δὲ εἰς τὸν βυθὸν αὖτανδροι κατεπονtίσθησαν· ἕτεραι δὲ μέχρι τῆς Ὀξείας καὶ Πλατείας νήσου λαυρίζουσαι ἀπηνέχθησαν. ἐντεῦθεν οὖν οἱ μὲν τῆς πόλεως θάρσος ἔλαβον, οἱ δὲ πολέμιοι μεγάλως κατέπτηξαν τὴν τοῦ

1. παμμεγέθεις ναῦς ἀριθμὸν ϡω' A. 2. κατίνας] mg. Par. κατήνας. 3. προσώρμισεν A, προσώρμισαν vulg. ἕως τῶν K. A. 6. Ἀνθεμίου A, Ἀνθιμ. vulg. 8. ἀργευομένων A, ἀργευόντων vulg. 9. νοτοφύλακες A. κατήνων A a, κτηνῶν f. 13. τὰς ἐμπύρους A. 16. κατεπόνθησαν A e. 18. οὖν add. ex A. 19. θράσος A.

sus itle Christi adversarius Suliman cum classe et ameraeis suis ad urbem appulit, advectis insolitae magnitudinis bellicis navibus, nec non dromonibus, mille et octingentis numero, et ad spatium littoris, quod Magnauram et Cyclobium interiacet, applicuit, post duos autem dies noto spirante ea statione solverunt, et ad urbem adnavigaverunt. et hi quidem Eutropii Anthemiique oras occupant, alii in Thraciae partes a Galatae castello ad portus ipsius seras devehuntur. onerariae tandem naves suo pondere depressae ac tardius latae cum classis extrema tenerent, ad viginti ex praecipuis numerum retro totum agmen steterunt, centum milites loricis instructos ad singularum defensionem ferentes. tranquillitate autem magna toti freto primum incumbente, leni mox venti flatu ex portus angustiis in extimum spatium delatae sunt, easdemque pietissimus imperator incendiariis navibus ex urbis extrema arce emissis, igne dei iuvantis opera iniecto, cunctas absumpsit, et hae quidem ad maritima urbis moenia conflagrantes disiectae, aliae pelagi profundo cum impositis hominibus absorptae, reliquae ad Oxeam Plateamque insulam altum mare tenentes deductae. hinc urbis civibus creverunt animi, hostes vero operosam potentemque

ὕγρου πυρὸς ἐγνωκότες δραστικωτάτην ἐνέργειαν. ἐβούλοντο P. 332
γὰρ τῇ αὐτῇ ἑσπέρᾳ εἰς τὰ παράλια προσορμίσαι τείχη, καὶ τοὺς αὐχένας εἰς τὰς ἐπάλξεις ἐπιθεῖναι· ἀλλὰ τὴν βουλὴν αὐτῶν διεσκέδασεν ὁ θεὸς διὰ τῶν πρεσβειῶν τῆς ἁγίας θεοτόκου. τῇ δὲ αὐτῇ νυκτὶ τὴν ἄλυσιν ἐκ τῶν Γαλάτου ὁ εὐσεβὴς βασιλεὺς μυστικῶς συνέστειλεν. οἱ δὲ ἐχθροὶ νομίσαντες, ὅτι βουλόμενος αὐτοὺς δελεάσαι ὁ βασιλεὺς ταύτην παρέστειλεν, οὐκ ἐτόλμησαν εἰσελθεῖν καὶ ὁρμίσαι ἔνδον τῶν Γαλάτου· ἀλλὰ διαπλεύσαντες ἐν τῷ κόλπῳ τοῦ Σωσθενίου ἐκεῖ κατησφαλίσαντο τὸ ἑαυτῶν πλοῖμον. τῇ δὲ ὀγδόῃ τοῦ B
Ὀκτωβρίου μηνὸς θνήσκει ὁ Σουλεϊμὰν ὁ ἀρχηγὸς αὐτῶν, καὶ ἀμηρεύει Οὔμαρ. χειμῶνος δὲ γενομένου βαρυτάτου ἐν τῇ Θρᾴκῃ, ὥστε τὴν γῆν ἐπὶ ἑκατὸν ἡμέρας μὴ φαίνεσθαι ἐκ τῆς κρυσταλλωθείσης χιόνος, πλῆθος ἵππων τε καὶ καμήλων καὶ λοιπῶν ζώων τῶν ἐχθρῶν τεθνήκασιν. τῷ δὲ ἐαρινῷ καιρῷ κατέλαβεν Σουφιὰμ μετὰ τοῦ ἐν Λιγύπτῳ κτισθέντος στόλου, ἔχων κατίνας σιτοφόρους τετρακοσίας καὶ δρόμωνας. καὶ μαθὼν τὴν τοῦ Ῥωμαϊκοῦ πυρὸς ἐνέργειαν, καὶ παραδραμὼν τὴν Βιθυνίαν, καὶ ἄντικρυς περάσας, εἰς τὸν τοῦ Καλοῦ ἀγροῦ λιμένα προσώρμισεν. μετ' οὐ πολὺ δὲ κατέλαβεν καὶ

4. τῆς παναγνου Φ. A. 5. Γαλάτου A, Γαλάτων vulg. 8. ὁρμίσαι A, ὁρμῆσαι vulg. τῶν add. ex A. 9. ἀναπλεύσαντες A. 10. ἑαυτῶν A, ἑαυτοῦ vulg. τῇ δὲ ὀγδόῃ] τῇ δὲ ε' A. 13. ἐκ τοῦ κρυσταλλωθέντος χ. A f. 14. ἵππων τε A, τε ἵπποων vulg. 17. κατήνας A, et sic ubique.

avidi ignis virtutem experti summo terrore perculsi. illa quippe ipsa die sub vesperam ad maritimos muros militares copias applicare, temonesque supra propugnacula imponere decreverant. sed istud eorum consilium sanctae dei genitricis interventu deus incassum et irritum declaravit. porro eadem nocte pius imperator catenam ferream Galatae portum occludentem silenter subduxit. hostes imperatorem animo eos circumveniendi removisse rati, ulterius progredi et ad Galatae portum appellere nequaquam ausi sunt, sed ad Sosthenii sinum recedentes, classem suam illic tuto collocarunt. die vero mensis Octobris octava illorum dux Suliman extinguitur, et amerae principatum Umarus obtinet. eo tempore tam aspera vis hiemis in Thraciam ingruit, ut prae nive gelu indurata centenis diebus videri terra non potuerit, ex quo ingens equorum, camelorum, reliquorumque animalium numerus hostibus periit. insequente vere Suphiam advenit conflatam in Aegypto classem adducens navium frumento convehendo idonearum ad quadringentas, et totidem celoces. is ignis Graeci virtute percepta, praeternavigata Bithynia, cum in adversam partem traiecisset, ad Boui agri portum applicuit. non diu post cum altera classe

C Ἴζὶδ μετὰ ἑτέρου στόλου κτισθέντος ἐν Ἀφρικῇ ἔχων καὶ αὐτὸς κατίνας τριακοσίας ἐξήκοντα ἁρμαμέντον τε καὶ δαπάνας. ὁμοίως καὶ αὐτὸς τὰ αὐτὰ μεμαθηκὼς περὶ τοῦ ὑγροῦ πυρὸς προσώρμισεν εἰς τὸν Σάτυρον καὶ Βρύαν καὶ ἕως Καρταλιμένος. οἱ δὲ τῶν δύο στόλων τούτων Αἰγύπτιοι καθ' ἑαυτοὺς βουλευσάμενοι νυκτὸς τοὺς τῶν κατίνων σανδάλους ἅραντες ἐν τῇ πόλει προσέφυγον τὸν βασιλέα εὐφημοῦντες, ὥστε ἀπὸ τῆς Ἱερείας ἕως τῆς πόλεως ὁλόξυλον φαίνεσθαι τὴν θάλασσαν. μαθὼν δὲ δι' αὐτῶν ὁ βασιλεὺς περὶ τῶν κρυπτομένων δύο στόλων ἐν τῷ κόλπῳ, σίφωνας πυρσοφόρους κατασκευάσας, εἰς δρόμωνάς τε καὶ διήρεις τούτους ἐμβαλών, κατὰ
D τῶν δύο στύλων ἐξέπεμψεν. τοῦ δὲ θεοῦ συνεργήσαντος διὰ τῶν πρεσβειῶν τῆς παναχράντου Θεοτόκου ἐπιτοπίως ἐβυθίσθησαν οἱ ἐχθροί· καὶ λαβόντες τὰ σκῦλα οἱ ἡμέτεροι καὶ τὰς δαπάνας αὐτῶν μετὰ χαρᾶς καὶ νίκης ὑπέστρεψαν. ἔτι δὲ πάλιν τοῦ Μερδασᾶν ἀπὸ Πυλῶν σὺν τῷ στρατῷ τῶν Ἀράβων ἕως Νικαίας καὶ Νικομηδείας διατρέχοντος, οἱ ἐν τῷ Λιβῷ καὶ Σόφωνι δίκην Μαρδαϊτῶν κρυπτόμενοι βασιλικοὶ ἄρχοντες, καὶ τὰ πεζικὰ ἐξάπινα τούτοις ἐπιρρίπτοντες καὶ κλασματίζοντες, ἐκεῖθεν ἀποδρᾶσαι ἐποίησαν· καὶ λοιπὸν

1. Ἴζὶδ A f, Ἴζὶβ vulg. 8. ἕως] μέχρι A. 9. ὁ βασιλεὺς add. ex A, item κρυπτομένων. 12. τοῦ δὲ θ. A, τοῦ θ. δὲ vulg. 13. τῶν add. ex A. παναχράντου add. ex A. 18. Σίφωνι A.

in Africa collecta, in qua naves onerariae trecentae sexaginta, cum armorum et commeatus numero Izib adfuit: qui cum eadem pariter de liquido igne referri audiisset, ad Satyrum et Bryam et ad Cartalimenem usque appulit. tum vero Aegyptii per utramque forte classem dispersi, consilio solerter inito, solutis onerariae cuiuslibet navis lintribus, profugerunt in urbem, imperatorem faustis vocibus prosequuti, adeo ut ab Hieria ad urbem unico ligni fragmento totum mare compactum videretur. imperator de utraque classe ab eis certior factus, siphones eiaculandis ignibus instructos, et in dromones biremesque impositos adversus eas emisit, deoque ipsius deiparae precibus opitulante locis, quibus ancoris fixi constiterant, hostes maris profundo absorpti sunt: quare nostri spoliis eorum commeatuque omni direpto cum laetitiae partaeque feliciter victoriae tripudiis in urbem redierunt. ad haec iterum Merdasan cum Arabum acie a Pylis Nicaeam usque et Nicomediam regionem omnem suis excursibus devastante, Libi Sophonisque nobiles quique et imperatorii proceres nec non pedestres aliae copiae Mardaitarum instar e latebris in eos irrumpentes in frusta concisos et damnis affectos fugam arripere coegerunt. ad ulteriorisitaque freti ripam nonnulla libertate concessa, naviculae

μικρᾶς ἀδείας τῆς περατικῆς παραλίας εὑρούσης ἐκ τῆς πό-
λεως ἐξερχόμενα χελάνδια πλεῖστα ἐκόμιζον δαπάνας· ὡσαύ- P. 333
τως δὲ καὶ τὰ ἁλιευτικὰ ἀγραύλια εἴς τε τὰς νήσους καὶ πα-
ράλια τείχη ἀγρεύειν ἰχθύας οὐκ ἐκωλύοντο. λιμοῦ δὲ μεγά-
λου γεγονότος ἐν τοῖς Ἄραψι, πάντα τὰ ἀποθνήσκοντα ζῶα
αὐτῶν κατήσθιον, ἵππους τε καὶ ὄνους καὶ καμήλους· φασὶ
δέ τινες ὅτι καὶ ἀνθρώπους τεθνεῶτας καὶ τὸν ἑαυτῶν κόπρον
εἰς τὰ κλίβανα βάλλοντες καὶ ζυμοῦντες ἤσθιον. ἐνέσκηψεν V. 265
δὲ εἰς αὐτοὺς καὶ λοιμικὴ νόσος καὶ ἀναρίθμητα πλήθη ἐξ
αὐτῶν ὤλεσεν. συνῆψε δὲ πρὸς αὐτοὺς πόλεμον τὸ τῶν
Βουλγάρων ἔθνος, καὶ ὡς φασιν οἱ ἀκριβῶς ἐπιστάμενοι,
εἴκοσι δύο χιλιάδας ἐξ αὐτῶν ἔσφαξαν· καὶ πολλὰ συνέβησαν
αὐτοῖς δεινὰ ἐν τῷ καιρῷ ἐκείνῳ, ὥστε ἐπιγνῶναι αὐτοὺς B
τῇ πείρᾳ ὅτι ὁ θεὸς καὶ ἡ παναγία παρθένος θεομήτωρ φρου-
ροῦσι τὴν πόλιν ταύτην, καὶ τὸ τῶν χριστιανῶν βασίλειον,
καὶ οὐκ ἔστιν ἐγκατάλειψις θεοῦ τελεία ἐν τοῖς ἐπικαλουμέ-
νοις αὐτὸν ἐν ἀληθείᾳ, εἰ καὶ πρὸς βραχὺ παιδευόμεθα διὰ
τὰς ἁμαρτίας ἡμῶν.

Ἀράβων ἀρχηγοῦ Οὐμάρου ἔτος α'. A.M. 6210

Τούτῳ τῷ ἔτει Σέργιος ὁ πρωτοσπαθάριος καὶ στρατηγὸς C

1. παράλου A. 3. ἀγριάρα A. παραπόλια A. 4. λιμοῦ δὲ μεγ. A, λιμ. τε vulg. 6. κατήσθιον A, ἤσθιον vulg. 7. ὅτι add. ex A. 8. ζυμοῦντες A, ζυμῶντες vulg. 9. δὲ add. ex A. 10. συνῆψε suprascr. συνῆξαν A. πόλεμον — — φασιν om. A f. 14. ἡ add. ex A. θεοτόκος καὶ θεομήτωρ A f. 20. ὁ add. ex A, item οἱ.

innumerae commeatum inde asportaturae confluxerunt, similiter et piscatoriae naves adiacentes insulas littoraque muros urbis alluentia peragrantes, piscibus capiendis nullo impediente vel resistente sese exercebant. ciborum vero penuria inter Arabes ingravescente, omnia sua animalia, quae morerentur, equos, asinos et camelos vorare ipsi coacti sunt; sunt etiam qui hominum cadavera suaque ipsorum stercora in clibanum missa et mola subacta deglutiisse dicant, ex quo pestilentiae lues in eos grassata numerum paene infinitum e medio sustulit. bellum quoque cum ipsis Bulgarorum natio commisit, quo, qui rem exacte norunt, viginti duo millia ex eis caesa referunt. plurimae denique ea tempestate clades et calamitates in eos incubuerunt, quibus experientia dignoscerent deum et sanctissimam virginem dei matrem urbem istam et Christianorum imperium protegere, neque omnino a deo deseri, qui eum invocant in veritate, brevi licet spatio pro admissis peccatis poenas sustineamus.

Arabum ducis Umari annus primus. A. C. 710

Hoc anno Sergius protospatharius et Siciliae dux urbem impe-

Σικελίας ἀκούσας ὅτι οἱ Σαρακηνοὶ παραχαθέζονται τὴν βασιλεύουσαν πόλιν ἔστεψεν ἐκεῖσε ἴδιον βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ ὀνόματι Βασίλειον Κωνσταντινουπολίτην υἱὸν Γρηγορίου τοῦ Ὀνομαγούλου, Τιβέριον αὐτὸν μετονομάσας. ἐποίησεν δὲ προβολὰς καὶ ἰδίους ἄρχοντας μετὰ βουλῆς τοῦ προλεχθέντος Σεργίου. ὁ δὲ βασιλεὺς τοῦτο ἀκούσας ἀποστέλλει Παῦλον τὸν ἴδιον αὐτοῦ χαρτουλάριον προβαλλόμενος αὐτὸν πατρίκιον καὶ στρατηγὸν Σικελίας, παραδεδωκὼς αὐτῷ
D *πρὸς σύναρσιν αὐτοῦ κελεύσεις πρὸς τοὺς ἄρχοντας τῶν δυτικῶν μερῶν καὶ σάκραν πρὸς τὸν λαόν. καὶ διὰ νυκτὸς εἰσελθόντες εἰς ἐξελαστικὸν δρόμωνα, ἐξῆλθον ἐπὶ τὰ μέρη Κυζίκου καὶ ἀπὸ τόπου εἰς τόπον, διά τε γῆς καὶ θαλάσσης τὴν πορείαν ποιησάμενοι, ἐξάπινα τὴν Σικελίαν καταλαμβάνουσιν. εἰσελθόντων δὲ αὐτῶν ἐν Συρακούσῃ ἤκουσεν Σέργιος καὶ ἐξέστη, καὶ τὴν ἑαυτοῦ ἐπιγνοὺς αἰτίαν προσέφυγεν εἰς τοὺς πλησιάζοντας τῇ Καλαβρίᾳ Λογγιβάρδους. τοῦ δὲ λαοῦ ἀθροισθέντος, καὶ τῆς*
P. 334 *σάκρας ἀναγνωσθείσης, καὶ δι' αὐτῆς πιστωσθέντες, ὅτι καὶ τὸ βασίλειον συνίσταται, καὶ ἡ πόλις εὐθυμοτέρα ἐστὶν περὶ τῶν ἐχθρῶν, καὶ τὰ περὶ τῶν δύο στόλων διηγησαμένου αὐ-*

1. παραχαθέζονται A, παραχαθίζονται vulg. 2. ἐκ τῶν ἀνθρώπων αὐτοῦ add. ex A. 4. Τιβ. αὐτὸν μετονομάσας A, Τιβ. ὀνομάσας vulg. 6. ταῦτα ἀκηκοὼς A. 7. τὸν οἰκεῖον αὐτοῦ A. 10. μερῶν om. A. 11. ἐπὶ A, εἰς vulg. καὶ add. ex A. 17. πεισθέντες a. ὅτι καὶ τὸ A, ὅτι τὸ vulg. 19. διηγησαμένων A.

rantem a Saracenis obsessam audiens, Basilium quendam Cpoli natum Gregorii Onomaguli filium Tiberium a se vocatum illic loci proprium imperatorem corona insignivit. is memorati Sergii consiliis officialium promotiones et curialium praefecturas instituit. imperator tyrannidis excitatae rumore percepto, Paulum proprium chartularium in patricium et Siciliae ducem promotum, datis etiam auxilio conquirendo ad occidentalium partium proceres litteris, et sacra ad exercitum scripta, illuc misit. noctis vero silentio dromonem remigio citius impellendum ingressi, in Cyzici oras primum eruperunt, mox e loco in locum varia littora legentes, qua terra, qua mari iter peragentes, praeter omnium expectationem in Siciliam deveniunt. ubi eos Syracusas attigisse audiit Sergius, obstupuit, propriaeque conscientiae crimine impulsus, ad vicinos Calabriae Longobardos confugit. exercitu mox congregato, sacraque imperatoris perlecta, cuncti de imperii incolumitate et perpetuo statu certiores redditi, urbem insuper adversus hostium impetum quam prius multo magis instructam, duarum etiam classium cladem inauditam ducis testimonio firmatam percipientes, Leonem quidem imperatorem felicibus votis extemplo cumula-

τοῖς, εὐθέως τὸν μὲν Λέοντα βασιλέα εὐφήμησαν, Βασίλειον δὲ τὸν Ὀνομάγουλον καὶ τοὺς παρ' αὐτοῦ προχειρισθέντας ἄρχοντας δισμίους τῷ στρατηγῷ παραδέδωκαν. αὐτὸς δὲ τὸν μὲν Βασίλειον σὺν τῷ μονοστρατήγῳ αὐτοῦ ἀπεκεφάλισεν, καὶ τὰς κεφαλὰς αὐτῶν φασκιώσας τῷ βασιλεῖ διὰ τῶν σπαθαρίων ἀπέστειλεν. τοὺς δὲ λοιποὺς τύψας καὶ κουρεύσας, τινὰς δὲ καὶ ῥινοκοπήσας ἐξώρισεν. ἐντεῦθεν οὖν μεγάλη κατάστασις ἐν τοῖς δυτικοῖς ἐγένετο. Σέργιος δὲ ὁ προλεχθεὶς λόγον ἀπαθείας τὸν στρατηγὸν αἰτησάμενος καὶ λαβών, ἐξῆλθε πρὸς αὐτόν· καὶ πάντα εἰρήνευσαν τὰ ἑσπέρια μέρη. Οὔμαρος δὲ κρατήσας τῶν Ἀράβων, ἐπέτρεψεν ἀνακάμψαι τὸν Μασαλμᾶν. ἀποκινησάντων δὲ τῶν Σαρακηνῶν τῇ ιε' τοῦ Αὐγούστου μηνὸς μετὰ πολλῆς αἰσχύνης, ἐν γὰρ τῷ ἐκπορίζειν τὸν στόλον αὐτῶν λαῖλαψ ἐκ θεοῦ διὰ τῶν πρεσβειῶν τῆς θεομήτορος ἐνσκήψας εἰς αὐτούς, τούτους διεσκόρπισεν· καὶ τοὺς μὲν ἐν Προκονήσῳ καὶ ταῖς λοιπαῖς νήσοις, τοὺς δὲ ἐν τοῖς ἀποστρόφοις καὶ ταῖς λοιπαῖς ἀκταῖς κατεπόντισεν. οἱ δὲ περιλειφθέντες παρήρχοντο Αἰγαῖον πέλαγος, V. 268

2. τοὺς παρ' αὐτοῦ προχ. A, τοὺς προχ. ὑπ' αὐτοῦ vulg. 5. φουσκίσας A, φουσκιάσας f, fort. φουρκίσας. 7. καὶ add. ex A. 11. ante Οὔμαρος in e f haec inserta leguntur: ὁ δὲ Μεσελμὲς ἀπάρας ἀπὸ τοῦ Βυζαντίου κατησχυμμένος κατέλαβε τὴν Δαμασκόν· εὗρε δὲ καὶ τὸν Μαροὲν τὸν αὐθένην αὐτοῦ καὶ Ἀμεριμνὴν τελευτήσαντος. ἀντ' αὐτοῦ δὲ ἐκράτησεν Οὔμαρος, καὶ πάλιν ἀπέστειλε τὸν Μεσελμὲ τοῦ πολιορκῆσαι τὸ Βυζάντιον διά τε γῆς καὶ θαλάσσης. οὗτος ὁ Οὔμαρος ἔσχατος υἱὸς τοῦ Ἀπτελαζῆζ. 11. δὲ A, οὖν vulg. 13. ἐν γὰρ τῷ A, ἐν τῷ γὰρ vulg. 14. αὐτῶν A, αὐτοῦ vulg. τῶν add. ex A. 18. Αἰγαῖον A, Αἴγειον vulg.

verunt, Basilium autem Onomagulum et aulicos ab eo constitutos vinculis mancipatos duci tradiderunt. ipse in Basilium et supremum sub eo exercitus ducem gladio animadvertit, et eorum capita fasciis circumvoluta spathariorum opera ad imperatorem transmisit. residuae rebellium turbae quosdam verberibus, alios capillorum detonsione, nonnullos narium amputatione mulctatos in exilium eiecit, ex quo ingens per universas occidentis provincias tranquillitas exorta. memoratus autem Sergius, petita et accepta incolumitatis fide, ad ducem se contulit, ac subinde cunctis occiduis partibus alta pax reddita. porro Umarus Arabum principatum adeptus Masalmam de reditu cogitare permisit. die igitur Augusti decima quinta Saraceni cum magno generis sui dedecore recesserunt. classe siquidem e littoribus nostris solvente, immissa dei nutu deique matris interventu procella naves hinc inde iactatas dispersit, et quasdam quidem ad Proconesum, alias ad varias insulas, quasdam per flexuosos sinus, alias de-

C καὶ ἄφνω ἐπῆλθεν αὐτοῖς θεομηνία φοβερά· χάλαζα γὰρ πύρινος κατελθοῦσα ἐπ' αὐτοὺς τὸ ὕδωρ τῆς θαλάσσης κατεχλάσαι πεποίηκεν, καὶ τῆς πίσσης λυθείσης, αὐτανδροι αἱ νῆες εἰς βυθὸν κατηνέχθησαν· δέκα δὲ μόναι καὶ αὗται προνοίᾳ θεοῦ περισωσθεῖσαι ἐξ αὐτῶν, πρὸς τὸ ἀπαγγεῖλαι ἡμῖν τε καὶ τοῖς Ἄραψι τὰ μεγαλεῖα τοῦ θεοῦ τὰ γεγονότα εἰς αὐτούς· ἃς καὶ περιτυχόντες οἱ τῶν ἡμετέρων τὰς μὲν πέντε πιάσαι ἠδυνήθησαν, αἱ δὲ ἄλλαι πέντε ἀπεσώθησαν εἰς Συρίαν τὴν τοῦ θεοῦ δυναστείαν ἀναγγέλλουσαι.

Τῷ δ' αὐτῷ ἔτει σεισμοῦ μεγάλου γενομένου ἐν Συρίᾳ, D ἐκώλυσεν Οὔμαρος τὸν οἶνον ἀπὸ τῶν πόλεων, καὶ μαγαρίζειν τοὺς Χριστιανοὺς ἠνάγκαζεν· καὶ τοὺς μὲν μαγαρίζοντας ἀτελεῖς ἐποίει, τοὺς δὲ μὴ καταδεχομένους ἀνῄρει, καὶ πολλοὺς μάρτυρας ἀπειργάσατο, καὶ μὴ παραδέχεσθαι μαρτυρίαν Χριστιανοῦ κατὰ Σαρακηνοῦ ἐθέσπισεν. ἐποίησε δὲ καὶ ἐπιστολὴν δογματικὴν πρὸς Λέοντα τὸν βασιλέα, οἰόμενος πείσειν αὐτὸν τοῦ μαγαρίσαι.

A.M. 6211 P. 335 Τούτῳ τῷ ἔτει ἐτέχθη τῷ δυσσεβεῖ βασιλεῖ Λέοντι ὁ δυσσεβέστερος αὐτοῦ υἱὸς Κωνσταντῖνος καὶ τοῦ Ἀντιχρίστου

1. φοβερὰ add. ex A. 4. αὗται A, αὐταὶ vulg. 5. περισωθεῖσαι A f, διασ. vulg. 7. πέντε add. ex A. 15. καὶ add. ex A. 18. ὁ add. ex A. 19. Κωνσιαντῖνος add. ex A.

nique ad diversa maris littora illisit ac submersit. in residuas Aegaeum mare praeternavigantes repentina de caelis ultio incubuit. ignita quippe grando in eas dilapsa maris aquam ebullire fecit, ex quo pice liquata naves cum ipsis vectoribus pelagi profundo absorptae sunt. solae decem ex eis, deo ita disponente, incolumes servatae sunt, quae nobis pariter atque Arabibus miracula circa eos potenti dei manu edita referrent. quae cum in nostrorum manus incidissent, quinque ex eis captae, quinque residuae dei virtutem annunciaturae in Syriam latae.

Hoc anno terrae motu per Syriam exorto, Umarus civitatibus vinum inhibuit, Christianosque ad fidem religionemque foeda desertione conspurcandam adegit. eos vero qui negato Christi nomine ad ritum alienum defecissent immunes a vectigalibus declaravit, qui piaculum non admitterent crudeliter necavit, ex quo plures effecti martyres, ne Christiani praeterea adversus Saracenum testimonium recipiatur lata lege sanxit. epistolam denique fidei suae expositionem manifestantem ad spurcos eius sensus virum deducere arbitratus ad Leonem imperatorem datam transmisit.

A C. 711 Hoc anno Leoni irreligioso imperatori filius impietate et irreligione superior, verus Antichristi praecursor, Constantinus natus est.

πρόδρομος. τῇ δὲ κέ τοῦ Ὀκτωβρίου μηνὸς Μαρία ἡ γυνὴ αὐτοῦ ἐστέφθη ἐν τῷ τρικλινίῳ τοῦ Αὐγουστέως, καὶ προῆλθεν ἐμπράκτως μόνη χωρὶς τοῦ ἀνδρὸς ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ εὐξαμένη πρὸ τῆς εἰσόδου τοῦ μεγάλου θυσιαστηρίου, μετῆλθεν εἰς τὸν μέγαν βαπτιστῆρα, προεισελθόντος τοῦ ἀνδρὸς αὐτῆς μετ' ὀλίγων οἰκειακῶν ἀνθρώπων αὐτοῦ, ἔνθα βαπτίσαντος Γερμανοῦ τοῦ ἀρχιερέως τὸν τῆς κακίας τε καὶ βασιλείας αὐτῶν διάδοχον Κωνσταντῖνον, δεινόν τι καὶ δυσῳδες ἐκ νηπιότητος αὐτοῦ προσεσήμανται τεκμήριον, ἀφοδεύσαντος αὐτοῦ ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ, ὡς φασιν οἱ ἀκριβεῖς αὐτόπται γεγονότες, ὥστε φάναι Γερμανὸν τὸν ἁγιώτατον πατριάρχην προφητικῶς, ὅτι μείστου κακοῦ Χριστιανοῖς καὶ τῇ ἐκκλησίᾳ δι' αὐτοῦ μέλλοντος γίνεσθαι τὸ σημεῖον τοῦτο πέφυκεν. τοῦτον οἱ προὔχοντες τῶν θεμάτων καὶ τῆς συγκλήτου βαπτισθέντα ἀνεδέξαντο. μετὰ δὲ τὴν θείαν λειτουργίαν ἐμπράκτως ἡ αὐγοῦστα Μαρία ἀνέκαμψε σὺν τῷ υἱῷ βεβαπτισμένῳ ὑπατείαν δοῦσα ἀπὸ τῆς ἐκκλησίας ἕως τῆς Χαλκῆς πύλης τοῦ παλατίου.

Τῷ δ' αὐτῷ ἔτει Νικήτας ὁ Ξυλινίτης γράφει πρὸς Ἀρτέμιον ἐν Θεσσαλονίκῃ, ὥστε ἀπελθεῖν αὐτὸν προς Τερβέλιον,

1. κέ A, καί vulg. 2. τρικλίνῳ A. 3. ἔμπρακτος A. 4. μεγάλου om. A. 5. προεισελθ. A, προσελθ. vulg. 8. τι A, τε vulg. 9. προεσήμ. A, προσήμ. vulg. 10. ἀκριβεῖς A f, ἀκριβῶς vulg. 12. προφητικῶς add. ex A. 16. ἔμπρακτος A. 17. βεβαπτισμένῳ A, βαπτιζομ. vulg. 20. Τέρβελιν A.

Octobris vero mensis die vigesimo quinto Maria eius uxor in Augustei triclinio coronae recepit consortium, et cum solemni comitatu sine viro ad magnam ecclesiam processum egit. votis ibi conceptis, ante ingressus ad magnum altare solemnia, ad magnum baptisterium, viro eius paucis domesticis stipato eodem loci se conferente, ipsa perrexit. ibique cum a Germano antistite imperii malitiaeque eorum heres Constantinus lustrali unda expiaretur, dirum ac foedum ab infantia sui indicium edidit, alvum nimirum in sacrum lavacrum egerens, ut ab oculatis testibus fide dignis perhibetur, ita ut sanctissimus patriarcha Germanus maximum malum Christianis ipsique ecclesiae per istum eventurum istud signum portendere vaticinatus sit. eum e sacro fonte thematum et senatus spectatissimi viri susceperunt. sacris peractis, augusta Maria totius aulae stipata comitatu, muneribus ab ecclesia ad Aeream usque palatii portam in populum sparsis, cum filio baptismate initiato revertit.

Eodem etiam anno Nicetas Xylonites, litteris ad Artemium Thessalonicam relegatum datis, ut ad Terbelium Bulgarorum socia

C ὅπως μετὰ συμμαχίας Βουλγαρικῆς ἔλθῃ κατὰ Λέοντος. ὁ δὲ ὑπακούσας ἀπῆλθεν, καὶ δίδωσιν αὐτῷ στρατὸν καὶ πεντήκοντα κεντηνάρια χρυσοῦ. καὶ ταῦτα λαβὼν ἐπὶ Κωνσταντινούπολιν ἔρχεται. τῆς δὲ πόλεως τοῦτον μὴ δεξαμένης, οἱ Βούλγαροι τοῦτον τῷ Λέοντι παρέδωκαν, καὶ φιλοφρονηθέντες ὑπ' αὐτοῦ ὑπέστρεψαν. ὁ δὲ βασιλεὺς τοῦτον σὺν τῷ Ξυλινίτῃ ἀνεῖλεν, δημεύσας καὶ τὴν τοῦ Ξυλινίτου οὐσίαν, μαγίστρου αὐτοῦ ὑπάρχοντος καὶ πολλὴν κεκτημένου· ὁμοίως δὲ Σισίννιον τὸν πατρίκιον, τὸ ἐπίκλην Ῥενδάκην, καὶ Θεόγνωστον πρωτοασηκρῆτιν, καὶ Νικήταν τὸν ἄνθρακα καὶ ἄρχοντα τοῦ τείχους οἱ Βούλγαροι ἀπεκεφάλισαν, ὡς συνόντα τῷ Ἀρ-
D τεμίῳ, ὁμοίως καὶ Ἰσόην πατρίκιον καὶ κόμητα Ὀψικίου, ὡς
V. 267 συνδρόμους καὶ φίλους αὐτοῦ, ἀπέκτεινεν· τοὺς δὲ λοιποὺς ῥινοτομήσας καὶ δημεύσας ἐξώρισεν.

A.M. 6212 Ἀράβων ἀρχηγοῦ Ἰζὶδ ἔτος α'.

Τούτῳ τῷ ἔτει ἰνδικτιῶνι γ', τῇ ἡμέρᾳ τοῦ πάσχα, ἐστέφθη Κωνσταντῖνος ὑπὸ Λέοντος τοῦ πατρὸς αὐτοῦ ἐν τῷ
P. 336 τριβουναλίῳ τῶν ἐννεακαίδεκα ἀκουβίτων τοῦ μακαρίου Γερμανοῦ πατριάρχου ποιήσαντος τὰς πρὸς συνήθειαν εὐχάς. τῷ δ' αὐτῷ ἔτει ἀπεβίω Οὔμαρος ὁ τῶν Ἀράβων ἀμηρεύσας ἔτη

9. τὸ ἐπ. A, τὸν ἐπ. vulg. καὶ Θεόγν. — — — τοῦ τείχους post Ὀψικίου — — inserunt A f. 11. τῷ add. ex A, item ὁμοίως. 12. Θεῦχτιστον A. 16. ἰνδικτιῶνος A. 17. αὐτοῦ add. ex A f. 18. ἀκουβήτων A. μακαρίου A, μακαρίτου vulg. 19. πρὸς συνήθειαν A, προσσυνήθεις vulg.

arma quaesiturus, et subinde adversus Leonem militaturus proficiscatur, monet. is consilium sequutus, pergit in Bulgariam, et exercitum aurique centenaria quinquaginta accipit. eo apparatu instructus Cpolim recta tendit. urbis civibus Artemium a se depellentibus et imperium eius respuentibus, Bulgari virum Leonis potestati permiserunt, quare acceptis ab eo muneribus domum redierunt. imperator vero Artemium et Xylonitem interfecit, bonaque Xylonitae, qui magister erat et locuples, publicavit, similiter Sisinnium patricium cognomento Rendacem et Theognostum protoasecretis et Nicetam anthracem et moenibus reparandis praefectum Artemii familiarem Bulgari capitis abscissione mulctarunt, ac pariter Isoem patricium et Opsicii comitem ut amicos adiutoresque eius Leo occidit, alios vero naribus praecisis bonisque publicatis in exilium eiecit.

A.C. 712 Arabum ducis Izid annus primus.

Hoc anno, indictione tertia, ipso paschatis die Constantinus a patre Leone in novemdecim accubitorum tribunali imperii coronam accepit, consuetas orationes beatae memoriae Germano patriarcha peragente. eodem anno Umarus Arabum ameras post principatus annos

δύο καὶ μηνὰς τέσσαρας, καὶ ἀμηρεύει Ἰζὶδ. τούτῳ φύεται ἐν Περσίδι τύραννος ὀνόματι καὶ αὐτὸς Ἰζὶδ Μουαλαβί· καὶ συναπῆλθον αὐτῷ πολλοὶ ἐκ τῆς Περσίδος· πέμψας δὲ Ἰζὶδ τὸν Μασαλμᾶν ἀνεῖλεν αὐτόν, καὶ τὴν Περσίδα ὑπέταξεν.

Τούτῳ τῷ ἔτει ἀνεφάνη τις Σύρος ψευδόχριστος, καὶ A.M. 6213
ἐπλάνησε τοὺς Ἑβραίους λέγων, ἑαυτὸν εἶναι τὸν Χριστὸν τὸν B
υἱὸν τοῦ θεοῦ.

Τούτῳ τῷ ἔτει ἠνάγκασεν ὁ βασιλεὺς τοὺς Ἑβραίους καὶ A.M. 6214
τοὺς Μοντανοὺς βαπτίζεσθαι. οἱ δὲ Ἰουδαῖοι ἀπροαιρέτως βαπτιζόμενοι, ἀπελούοντο τὸ βάπτισμα, καὶ ἐσθίοντες μετελάμβανον τὴν ἁγίαν δωρεάν, καὶ ἔχραινον τὴν πίστιν. οἱ δὲ Μοντανοὶ διεμαντεύσαντο ἑαυτοῖς, καὶ ὡρίσαντο ἡμέραν, καὶ εἰσελθόντες εἰς τοὺς ὡρισμένους οἴκους τῆς πλάνης αὐτῶν, κατέκαυσαν ἑαυτούς. C

Τούτῳ τῷ ἔτει Ἰουδαῖός τις ὁρμώμενος ἀπὸ Λαοδικείας A.M. 6215
τῆς παραλίου Φοινίκης, [γόης], ἐλθὼν πρὸς Ἰζὶδ ἐπηγγείλατο αὐτῷ ἔτη τεσσεράκοντα κρατήσειν τῆς τῶν Ἀράβων ἀρχῆς, εἰ τὰς ἐν ταῖς ἐκκλησίαις τῶν Χριστιανῶν ἐν πάσῃ τῇ ἀρχῇ αὐτοῦ τιμωμένας σεπτὰς εἰκόνας καθέλῃ. τούτῳ πεισθεὶς ὁ ἀνύητος Ἰζὶδ δόγμα καθολικὸν ἐψηφίσατο κατὰ τῶν ἁγίων

2. ὀνόματι add. ex A. 3. τῆς add. ex A. πέμψας δὲ A, καὶ π. vulg. 4. αὐτὸν om. A f. 5. ἀνεφάνη A, ἐφάνη vulg. 8. ἠνάγκασεν A, ἠνάγκαζεν vulg. 12. διαμαντεύσαντες — ὁρίσαντες — εἰσῆλθον — καὶ κατέκαυσαν A. 16. παράλου A. γόης om. A f. 17. τῆς add. ex A. 19. καθελεῖ A. τούτῳ A, τοῦτο vulg.

duos et menses quatuor extinctus est, cui Izid successit. at in eum surrexit tyrannus, qui etiam dictus est Izid Mualabi, cui multi ex Perside se adiunxerunt. at Izid Masalmam adversus eum misit, ipsoque interfecto, Persidem in ditionem suam redegit.

Hoc anno quidam Syrus emersit pseudochristus, qui Hebraeos se- A. C. 713
duxit, Christum dei filium se esse mentitus.

Hoc anno imperator Hebraeos et Montanistas ad baptismum sub- A. C. 714
eundum coegit. et Iudaei quidem praeter libertatem baptizati, baptismate tanquam contracta sorde se expiabant, et cibo communi iam sumpto sacri doni se consortes futuros exhibebant, atque adeo fidem contaminabant. Montanistae vero sibi ipsis finem vaticinati die constituta domos errori suo deputatas ingressi, vivos sese combussere.

Hoc anno Iudaeus quidam Laodicia maritimae Syriae ortus supre- A. C. 715
mus praestigiator habito cum Izide colloquio annis quadraginta Arabum principatu potiturum promisit, si modo venerandas imagines toto suo principatu e Christianorum ecclesiis eliminaret. is porro Izid vere insanus in sanctas et venerandas imagines generale decretum

καὶ σεπτῶν εἰκόνων· ἀλλὰ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ταῖς πρεσβείαις τῆς ἀφθόρου μητρὸς αὐτοῦ, καὶ πάντων τῶν ἁγίων τῷ αὐτῷ ἔτει τέθνηκεν Ἰζίδ, οὐδὲ ἀκουσθῆναι φθάσαντος τοῖς πολλοῖς τοῦ σατανικοῦ αὐτοῦ δόγματος. μεταλαβὼν δὲ ταύτης τῆς ἀθεμίτου καὶ πικρᾶς κακοδοξίας Λέων ὁ βασιλεὺς πολλῶν κακῶν αἴτιος ἡμῖν γέγονεν. εὑρὼν δὲ ὁμόφρονα [τῆς ἀπαιδευσίας] ταύτης Βησὴρ τινα τοὔνομα, γενόμενον μὲν ἀπὸ Χριστιανῶν ἐν Συρίᾳ, ἀποστάντα δὲ τῆς εἰς Χριστὸν πίστεως, καὶ ποιωθέντα τοῖς Ἀράβων δόγμασιν, οὐ πρὸ πολλοῦ δὲ χρόνου ἀπελευθερωθέντα τῆς ἐκείνων δουλείας, καὶ καταλαβόντα τὴν Ῥωμαίων πολιτείαν· διὰ ῥώμην δὲ σώματος καὶ ὁμόνοιαν τῆς κακοδοξίας ἐτιμήθη παρὰ τοῦ αὐτοῦ Λέοντος· ὅστις καὶ συνασπιστὴς τοῦ μεγάλου κακοῦ τούτου γέγονεν τῷ βασιλεῖ. συνεφρόνει δὲ κακῶς αὐτῷ καὶ ὁ πάσης ἀκαθαρσίας ἀνάπλεως καὶ συντρόφῳ ἀπαιδευσίᾳ συζῶν Νακωλείας ὁ ἐπίσκοπος.

A M. 6216 Ἀράβων ἀρχηγοῦ Ἰσὰμ ἔτος α'.

Τὰ περὶ τοῦ μακαρίου Στεφάνου πάπα Ῥώμης, ὅπως ἔφυγεν εἰς Φραγγικὴν καὶ ἐσώθη, λέξων ἔρχομαι.

P. 337 V. 268

B

1. καὶ σεπτῶν om. A f. 2. αὐτοῦ add. ex A. 3. τῆς ἀπαιδευσίας om. A f. Βασὴρ A. 8. αἰχμάλωτον ἐν Συρίᾳ A. 10. ἐκείνων A, αὐτῶν vulg. 13. δὲ κακῶς A, δὲ καὶ κακῶς vulg. 16. Νακολείας A. 18. ὅπως ἔφ. A f, ὅπως γε ἔφ. a, ὅπως σε ἔφ. vulg. 19. ἐν Φραγγικῇ A.

promulgavit. verum summa domini nostri Iesu Christi gratia, et intemeratae matris sanctorumque omnium meritis Izid extinctus est, nondum etiam satanico eius sancito ad plurium aures et notitiam publicato. at cum imperator Leo nefandae et insuavis huiusmodi pravitatis particeps existeret, multorum in nos malorum auctor fuit. inscitiae quoque suae consortem Beser quendam nomine christianae quondam fidei in Syria desertorem reperit. hic certe quae Christo praestatur credulitate prius abiurata, mox haustis animo Arabum opinionibus integre imbutus, non longo ante haec spatio eorum servitute liberatus, et in Romanam ditionem evadens, ob corporis robur et concordem in haeresibus admittendis sensum a Leone praecipuis honoribus acceptus fuerat, ac deinceps huius maximi mali fautor atque adiutor imperatori astitit, cui etiam male assensus est Nacoliae episcopus vir undequaque impuritate foetens, et imperitia tanquam perpetuae vitae socia usus.

A. C. 716 Arabum ducis Isam annus primus.

Beati Stephani papae Romani res gestas, ut nimirum in Francorum ditionem profugerit et ad eos pervenerit sequenti narratione exequar.

Οὗτος ὁ ἀοίδιμος Στέφανος πολλὰ κακὰ ὑπέστη ὑπὸ τοῦ Ἀστούλφου τοῦ ῥηγὸς τῶν Λογγιβάρδων. προσφυγὼν δὲ τοῖς Φράγγοις ἐπὶ Πιπίνου προοίκου καὶ ἐξάρχου τῆς διοικήσεως τῶν ὅλων πραγμάτων καὶ τοῦ τῶν Φράγγων ἔθνους· ἔθος γὰρ ἦν αὐτοῖς τὸν κύριον αὐτῶν, ἤτοι τὸν ῥῆγα, κατὰ γένος ἄρχειν, καὶ μηδὲν πράττειν ἢ διοικεῖν, πλὴν ἀλόγως ἐσθίειν καὶ πίνειν, οἴκοι τε διατρίβειν, καὶ κατὰ Μάϊον μῆνα πρώτῃ τοῦ μηνὸς προκαθέζεσθαι ἐπὶ παντὸς τοῦ ἔθνους, [καὶ προσκυνεῖν αὐτούς], καὶ προσκυνεῖσθαι ὑπ' αὐτῶν, καὶ δωροφορεῖσθαι τὰ κατὰ συνήθειαν, καὶ ἀντιδιδόναι αὐτοῖς, καὶ οὕτως ἕως τοῦ ἄλλου Μαΐου καθ' ἑαυτὸν διάγειν. ἔχει δὲ τὸν λεγόμενον πρόοικον γνώμῃ ἑαυτοῦ καὶ τοῦ ἔθνους διοικοῦντα πάντα τὰ πράγματα. ἐλέγοντο δὲ ἐκ τοῦ γένους ἐκείνου καταγόμενοι κριστάται, ὃ ἑρμηνεύεται τριχοραχάται· τρίχας γὰρ εἶχον κατὰ τῆς ῥάχης ἐκφυομένας, ὡς χοῖροι. ὁ μὲν οὖν Στέφανος τῇ ὠμότητι τοῦ Ἀστούλφου βιασθεὶς καὶ ἀβουλίᾳ, ἅμα δὲ καὶ ἐπιτραπεὶς παρ' αὐτοῦ ἀπελθεῖν εἰς Φραγγικήν, καὶ ποιῆσαι ὃ ἂν δύνηται, ἐλθὼν χειροτονεῖ τὸν Πιπῖνον ἄνδρα τὸ τηνικαῦτα λίαν εὐδόκιμον, προϊστάμενον ἅμα καὶ τῶν C

2. Ἀστούλφου A, Ἀσταλφοῦ vulg. h. l. et infra. 3. τῆς διοικήσεως add. ex A. 8. καὶ προσκυνεῖν αὐτοὺς om. A f. 13. πάντα τὰ πράγματα A, τ. πρ. π. vulg. καταγόμενοι A, λεγόμενοι vulg. 15. χοῖροι A, χοίρῳ vulg. 18. ὃ ἂν δύνηται A, ὃ ἐὰν δύναται vulg. ἐλθὼν χειρ. A, ἐλθὼν δὲ χειρ. vulg. Πιπίνιον A. 19. τὸ τηνικ. A, τὸν τηνικ. vulg.

Venerabilis iste Stephanus cum multa mala ab Astulpho Longobardorum rege pertulisset, apud Francos profugit ad Pipinum maiorem domus et exarchum omnium rerum totiusque Francorum gentis. ea vero consuetudo apud eos obtinebat, ut eorum dominus, rex videlicet, haereditatis iure principatum assequeretur, nec quid ageret aut moliretur, quam praeter modum et decus cibo potuique indulgeret et domi clausus moraretur, die autem prima mensis Maii ad totius gentis prospectum sederet in throno, et salutationes ab ipsis acciperet vicissim et redderet, et pro usitato more munera conferret, et alia invicem oblata referret, quibus demum peractis usque ad insequentem Maium domi inclusus se continebat. praefatum vero maiorem domus habet rex, qui arbitratu suo et totius gentis cuncta administret. qui autem ea stirpe oriebantur cristati, quos trichorachatas Graeci vertunt, audiebant, quod pilos ex dorsi medio velut porco ipsis enascerentur. Stephanus itaque consilii apud se inops et Astulphi crudelitate coactus, permissum etiam tendendi in Franciam et quod concederetur agendi, ab eo obtinuit. in Franciam adveniens

D πραγμάτων ἀπὸ τοῦ ῥηγός, καὶ προπολεμήσαντα τοὺς περαιω-
θέντας Ἄραβας ἀπὸ τῆς Ἀφρικῆς ἐπὶ τὴν Σπανίαν, τοὺς καὶ
κρατήσαντας ἕως τοῦ νῦν τῆς αὐτῆς Σπανίας, δοκιμάσαντας
δὲ καὶ κατὰ τῶν Φράγγων παραταξασθαι, οἷς ἀντιταξάμενος
σὺν τῷ πλήθει ὁ αὐτὸς Πιπῖνος, κτείνει μὲν καὶ αὐτὸν τὸν
ἔξαρχον τοῦ ἔθνους Ἀβδεραχμάν, συναναιρεῖ δὲ καὶ πλῆθος
οὐκ εὐαρίθμητον παρὰ τὸν Ἠριδανὸν ποταμόν, καὶ θαυμάζε-
ται καὶ φιλεῖται παρὰ τοῦ ἔθνους, οὐ μόνον διὰ τοῦτο, ἀλλὰ
καὶ δι' ἄλλα προτερήματα, καὶ προηγεῖται τοῦ ἔθνους πρῶ-
τος οὐ κατὰ γένος, λύσαντος αὐτὸν τῆς ἐπιωρκίας τῆς πρὸς
P. 338 τὸν ῥῆγα τοῦ αὐτοῦ Στεφάνου, καὶ ἀποκείραντος τὸν πρὸ
αὐτοῦ ῥῆγα καὶ ἐν μοναστηρίῳ μετὰ τιμῆς καὶ ἀναπαύσεως
περιορίσαντος. οὗτος ὁ Πιπῖνος δύο υἱοὺς ἔσχεν Κάρουλον
καὶ Καρουλόμαγνον τὸν ἀδελφὸν αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει ἀπεβίω Ἰζὶδ ὁ τῶν Ἀράβων ἀμηρεύ-
σας ἔτη τέσσαρα. καὶ ἀμηρεύει Ἰσὰμ ὁ τούτου ἀδελφός, καὶ
ἤρξατο κτίζειν κατὰ χώραν καὶ πόλιν παλάτια, καὶ κατασπο-
ρὰς ποιεῖν καὶ παραδείσους, καὶ ὕδατα ἐκβάλλειν. καὶ ἐπε-

2. *Ισπανίαν* ubique A. 5. *αὐτὸν τὸν* A, *τὸν αὐτὸν* vulg. 6. *Ἀβδεραχμὰν* A, *Ἀβδεραχὰμ* vulg. 7. *ποταμὸν* add. ex A. 8. *ἀλλὰ καὶ* A, *ἀλλὰ* vulg. 13. *Κάρουλον καὶ Καρουλόμ.* A, *Κάρουλλον καὶ Καρουλλόμ.* vulg 17. *παλάτια* A, *παλάτιον* vulg.

Pipinum virum sui saeculi celeberrimum, ac rebus administrandis ab ipso rege praefectum regem inauguravit. hic Arabes ex Africa in Hispaniam transfretatos, ac ipsius Hispaniae ad hunc usque diem dominatum assequutos, ac bellum quoque Francis inferre decernentes paulo ante debellaverat. instructa namque adversus eos acie, ipsum gentis huius principem Abderachman interficit Pipinus, et una simul exercitus non facile numerandi copias ingentes internecione delet ad Rhodanum, ex quo admiratio totiusque gentis affectus in eum convertuntur, ac non eius solum rei gestae gratia, sed ob alias insuper quibus praestabat dotes, primus extitit, qui regio non oriundus sanguine imperium in gentem illam obtinuit. cum interim ipse Stephanus eum a periurii in regem admissi metu absolvisset, regemque ipsum Pipini decessorem detonsis eius capillis in monasterium omni honore et quiete cumulatum relegasset. iste Pipinus filios duos habuit Carolum et Carolum magnum eius fratrem.

Eodem etiam anno Izid, qui Arabum ameram gessit, post principatus annos quatuor excessit e vita. successit ameras Isam frater eius, qui passim per provincias et urbes palatia construere, agros serere, hortos plantare, conquirere aquas et deducere coepit. is in Ro-

στράτευσε * χθῆ τὴν Ῥωμανίαν, καὶ πολλοὺς τῶν σὺν αὐτῷ ἀποβαλὼν ὑπέστρεψεν.

Στέφανος δὲ ὁ πάπας Ῥώμης προσέφυγεν εἰς τοὺς B Φράγγους.

Ῥώμης ἐπισκόπου Γρηγορίου ἔτος α'. A.M.6217

Τούτῳ τῷ ἔτει ἤρξατο ὁ δυσσεβὴς βασιλεὺς Λέων τῆς V.269 κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καθαιρέσεως λόγον ποιεῖσθαι· καὶ μαθὼν τοῦτο Γρηγόριος ὁ πάπας Ῥώμης τοὺς φόρους τῆς Ἰταλίας καὶ Ῥώμης ἐκώλυσεν, γράψας πρὸς Λέοντα ἐπιστολὴν δογματικήν, μὴ δεῖν βασιλέα περὶ πίστεως C λόγον ποιεῖσθαι, καὶ καινοτομεῖν τὰ ἀρχαῖα δόγματα τῆς ἐκκλησίας τὰ ὑπὸ τῶν ἁγίων πατέρων δογματισθέντα. τῷ δ' αὐτῷ ἔτει καὶ ὁ χείμαρρος πλημμυρήσας εἰσῆλθεν εἰς Ἔδεσσαν τὴν πόλιν, καὶ πολλοὺς ἠφάνισεν.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μασαλμᾶς τὴν Καισάρειαν A.M.6218 Καππαδοκίας, καὶ παρέλαβεν αὐτήν. καὶ γέγονεν θανατικὸν ἐν Συρίᾳ. καὶ αἱ κάμηλοι τοῦ πρωτοσυμβούλου ἐκάησαν εἰς τὸν ἅγιον Ἠλίαν. Μανίας δὲ ὁ υἱὸς Ἰσὰμ ἐπεστράτευσε τὴν Ῥωμανίαν· καὶ ἐμπεριπατήσας, ὑπέστρεψεν. ἐν αὐτῷ δὲ D τῷ ἔτει ἰνδικτιῶνι θ', ὥρᾳ θέρους, ἀκμὶς ὡς ἐκ καμίνου πυ-

1. χθῆ codd. omnes, nescio quo sensu. πολλοὺς A, πολλῆς vulg. 2. ἀποβαλὼν A, ἀποβάλλων vulg. 7. ποιεῖσθαι A, ποιῆσαι vulg. 9. τῆς add. ex A. 13. καὶ add. ex A. 17. εἰς τὸν A, εἰς τὸ vulg. 20. ὡς om. A.

maniam expeditione suscepta multis ex acie desideratis domum reversus est.

Porro Stephanus papa Romanus ad Francos confugit.

Romae episcopi Gregorii annus primus. A.C. 717

Hoc anno irreligiosus imperator Leo de proscribendis et deponendis sanctis et venerandis imaginibus primum tractatum habere coepit: comperto cuius proposito Gregorius papa Romanus, scripta prius ad ipsum Leonem decretali epistola, qua de fide quidquam statuere et antiqua ecclesiae sancita a sanctis patribus firmata innovare aut convellere non decere imperatorem commonet, Italiae tandem ac Romae tributa ad ipsum deferenda prohibuit. hoc etiam anno torrens in urbem Edessam exundans eam aquis opplevit, et delevit plurimos.

Hoc anno Masalmas Caesaream Cappadociae armis aggressus, eam A. C. 718 occupavit. pestis per Syriam grassata est. cameli Saracenorum protosymbuli ad sanctum Eliam igne perierunt. Mavias insuper filius Isam Romanam ditionem bello infestavit, et exercitu per eius provincias circumducto retro cessit. eodem autem anno, indictione nona,

ρὸς ἀνέβρασεν ἀναμέσον Θήρας καὶ Θηρασίας τῶν νήσων ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ἐπὶ ἡμέρας τινάς, καὶ κατὰ βραχὺ παχυνομένης καὶ ἀπολιθουμένης τῇ ἐξάψει τῆς πυρώδους ἐκκαύσεως, ὅλος ὁ καπνὸς πυροφανὴς ἐδείκνυτο. τῇ δὲ παχύτητι τῆς γεώδους οὐσίας, πετροκισσήρους μεγάλους ὡς λίθους τινὰς ἀναπέμψαι καθ' ὅλης τῆς μικρᾶς Ἀσίας καὶ Λέσβου καὶ Ἀβύδου καὶ τῆς πρὸς θάλασσαν Μακεδονίας, ὥς
P. 339 ἅπαν τὸ πρόσωπον τῆς θαλάσσης ταύτης κισσήρων ἐπιπολαζόντων γέμειν· μέσον δὲ τοῦ τηλικούτου πυρὸς νῆσος ἀκεγεωθεῖσα τῇ Ἱερᾷ λεγομένῃ νήσῳ συνήφθη, μήπω τὸ πρὶν οὖσα, ἀλλ' ὡς αἱ προρρηθεῖσαι νῆσοι, Θήρα καὶ Θηρασία ποτὲ ἐξεβράσθησαν, οὕτω καὶ αὕτη νῦν ἐπὶ τῶν χρόνων τοῦ θεομάχου Λέοντος· ὃς τὴν κατ' αὐτοῦ θείαν ὀργὴν ὑπὲρ ἑαυτοῦ λογισάμενος, ἀναιδέστερον κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἤγειρε πόλεμον, σύμμαχον ἔχων Βησὴρ τὸν ἀρνησίθεον, καὶ τῆς ἴσης ἀλογίας ἐφάμιλλον. ἄμφω γὰρ ἀπα-
B σης ἀπαιδευσίας ἦσαν ἔμπλεοι καὶ πάσης ἀμαθίας, ἐξ ἧς τὰ πολλὰ τῶν κακῶν ἔρχεται. οἱ δὲ κατὰ τὴν βασιλίδα πόλιν

1. τῶν νήσων ἐκ τοῦ βυθοῦ A, ἐκ τοῦ βυθοῦ τῶν νήσων vulg. 3. παχυνομένης καὶ ἀπολιθουμένης τῇ ἐξάψει τῆς πυρώδους ἐκκαύσεως A (partim e f), παχνωμένη καὶ ἀπολιθουμένη τῇ ἐκκαύσει τῆς πυρώδους φλογώσεως vulg. 4. προφανὴς b. 5. λίθους] λόφους A e f. 8. κισσ. καὶ ἐπιπωλαζόντων A. 11. ἀλλ' ὡς A, ἄλλως vulg. νῆσοι om. A. Θήρα καὶ Θ. A, Θ. τε καὶ Θ. vulg. 12. αὕτη] ταύτην e f. 14. ἑαυτοῦ A, αὐτοῦ vulg. 16. ἄμφω A, ἀμφοῖν vulg. 17. ἀμαθίας A f, ἀλογίας vulg.

messis colligendae tempestate, inter Theram et Therasiam insulas per aliquot dies vapor ex profundo maris, quasi ab ardente fornace, ebullivit, quo paulatim densato et in lapidem concreto igniti incendii ardore totus fumus igneus apparuit, et ob terrenae materiae crassitiem magni pumices lapidum instar per totam Asiam minorem, Lesbum et Abydum et maritimas Macedoniae regiones disiecti sunt, ita ut universa facies eius maris pumicibus innatantibus repleta fuerit, in medio autem ingentis illius ignis insula in terrae molem stipata Hierae insulae aggesta est, quae antea nusquam extiterat, sed quomodo olim Thera et Therasia, quas supra memoravimus, ebullierunt, sic tum isthaec aetate Leonis dei hostis manifesto revelati. hic accensam in se divinam iram sibi favere arbitratus, Beser dei desertorem oblatum sibi auxiliarium et paris inscitiae aemulum nactus, in sanctas et venerandas imagines bellum impudentissime movit. ambo quippe pleni erant imperitiae atque omnis insaniae, unde maxima malorum pars exoritur. quare populus urbis imperatricis ob novam istam do-

λαοὶ σφόδρα λυπούμενοι ἐπὶ ταῖς καιναῖς διδασκαλίαις αὐτῷ τε ἐμελέτων ἐπελθεῖν, καί τινας βασιλικοὺς ἀνθρώπους ἀνεῖλον καθελόντας τὴν τοῦ κυρίου εἰκόνα τὴν ἐπὶ τῆς μεγάλης Χαλκῆς πύλης, ὡς πολλοὺς αὐτῶν ὑπὲρ τῆς εὐσεβείας τιμωρηθῆναι μελῶν ἐκκοπαῖς καὶ μάστιξι καὶ ἐξορίαις καὶ ζημίαις, μάλιστα δὲ τοὺς εὐγενείᾳ καὶ λόγῳ διαφανεῖς· ὥστε καὶ τὰ παιδευτήρια σβεσθῆναι καὶ τὴν εὐσεβῆ παίδευσιν ἀπὸ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ μεγάλου καὶ μέχρι νῦν κρατήσασαν, C
ἧς καὶ μετὰ ἄλλων πολλῶν καλῶν καθαιρέτης ὁ σαρακηνόφρων οὗτος Λέων γέγονεν. ἐν τούτοις οὖν θείῳ κινούμενοι ζήλῳ στασιάζουσι κατ' αὐτοῦ μεγάλῃ ναυμαχίᾳ συμφωνήσαντες Ἑλλαδικοί τε καὶ οἱ τῶν Κυκλάδων νήσων Κοσμᾶν τινα συνε- V. 270
πόμενον ἔχοντες εἰς τὸ στεφθῆναι. Ἀγαλλιανὸς δὲ τουρμάρχης τῶν Ἑλλαδικῶν ἡγεῖτο τῆς στρατιᾶς, καὶ Στέφανος, οἳ καὶ προσπελάσαντες τῇ βασιλίδι πόλει ιῃ τοῦ Ἀπριλλίου μηνὸς τῆς ι' ἰνδικτιῶνος ἥττωνται συμβαλόντες τοῖς Βυζαντίοις, ἐμπρησθέντων αὐτῶν τῶν νεῶν τῷ σκευαστῷ πυρί. καὶ οἱ μὲν βυθίζονται περὶ τὸν λάκκον, ἐν οἷς καὶ Ἀγαλλιανὸς ἔνοπλον ἑαυτὸν ἐπόντωσεν· οἱ δὲ ζῶντες τῷ κρατοῦντι προσ- D

1. λαοὶ] ὄχλοι A. 3. μεγάλης add. ex A. 4. τῆς add. ex A. 6. εὐγενείᾳ A f, εὐσεβείᾳ vulg. 7. σβεσθῆναι A, σβησθῆναι vulg. 9. καλῶν om. A. 15. οἳ καὶ προσπελ. τῇ βασ. A, οἱ καὶ προπελ. βασιλ. vulg. Ἀπριλλίου A e f, Ὀκτωβρίου vulg.

ctrinam maximo dolore percitus, cum ipsum Leonem statuit invadere, tum multos ex imperatorio famulitio, qui magnae Aereae portae domini imaginem exturbaverant, neci dedit, quo factum est ut in multos pietatis ergo membrorum mutilatione, verberibus, exiliis, damnis illatis animadversum fuerit, imprimis autem in eos qui genere et doctrina clarebant, adeo ut scholae una cum sacra doctrina exciderint, quae a saeculo sancti Constantini magni usque ad ea tempora floruerant, cuius videlicet multarumque praestantissimarum rerum Leo iste Saracenicae pisciplinae consors oppugnator et grassator extitit manifestus. interea populi qui Graeciam et Cycladas insulas habitabant pio in deum moti affectu, conspiratione inter se facta, parataque maxima classe, adversus imperatorem rebellavere, Cosmam quendam, qui partes eorum sequebatur, imperio destinantes. aciem ducebant Agallianus Graecanicorum turmarcha et Stephanus. isti mensis Aprilis die decimo octavo indictione decima ad urbem imperatricem appellentes, commisso cum Byzantinis praelio, navibus arte facto igne combustis superantur, adeo ut alii circa profundum submersi sint, inter quos ipse Agallianus ut erat armatus se ipsum praecipitavit: superstitibus vero ad victorem imperatorem ultro se conferentibus, Cosmas

ρύονται, καὶ ἀποτέμνονται τὰς κεφαλὰς Κοσμᾶς τε καὶ Στέφανος· αὔξει τε τῇ κακίᾳ Λέων ὁ δυσσεβὴς καὶ οἱ τούτου σύμφρονες, τὸν κατὰ τῆς εὐσεβείας διωγμὸν ἐπιτείναντες. κατὰ δὲ τὴν θερινὴν τροπὴν ταύτης τῆς ἰ ἰνδικτιῶνος μετὰ τὴν τῶν ὁμοφύλων κακὴν νίκην, καὶ κατὰ τῆς Βιθυνῶν Νικαίας παρατάττεται τῶν Σαρακηνῶν δύο ἀμηραίων στῖφος ἄμερ ἐν χιλιάσι μονοζώνων δεκαπέντε προσδραμών, καὶ ἀπαρασκεύαστον κυκλώσας τὴν πόλιν, καὶ Μανῖας ἐπακολουθῶν
P. 340 ἐν ἄλλαις ὀκτὼ ἥμισυ μυριάσιν, οἳ μετὰ πολιορκίαν πολλὴν καὶ καθαίρεσιν τῶν τειχῶν μερικὴν τῷ τῶν τιμωμένων ἁγίων πατέρων αὐτόθι τεμένει, ταύτης μὲν οὐ περιεγένοντο διὰ τῶν εὐπροσδέκτων εὐχῶν πρὸς τὸν θεόν, ἔνθα καὶ σεβάσμιοι αὐτῶν χαρακτῆρες ἀνεστήλωντο μέχρι τοῦ νῦν ὑπὸ τῶν ὁμοφρόνων αὐτοῖς τιμώμενοι. Κωνσταντῖνος δέ τις στράτωρ τοῦ Ἀρταβάσδου ἰδὼν εἰκόνα τῆς θεοτόκου ἑστῶσαν, λαβὼν λίθον ἔρριψε κατ' αὐτῆς, καὶ συνέτριψεν αὐτήν, καὶ πεσοῦσαν κατεπάτησεν· καὶ θεωρεῖ ἐν ὁράματι τὴν δέσποιναν παρεστῶσαν αὐτῷ καὶ λέγουσαν· οἶδας ποῖον γενναῖον πρᾶγμα εἰρ-
B γάσω εἰς ἐμέ; ὄντως κατὰ τῆς ἑαυτοῦ κεφαλῆς τοῦτο πεποίη-

4. μετὰ A, κατὰ vulg. 5. τὴν ὁμόφυλον κακὴν νίκ. A. κατὰ τῆς A, κατὰ τὴν vulg. 7. προσδραμών A f, προδραμών vulg. 8. ἐπακολουθῶν A, παραχ. vulg. 9. μυριάσιν A, μυριάδαις vulg. ἐπιορκίαν A e. 12. εὐχῶν πρὸς τὸν θ. A b, αὐτῶν λιτῶν πρὸς θ. vulg. 14. αὐτοῖς] αὐτῶν A f. τοῦ add. ex A. 17. παρεστ. αὐτῷ κ. λεγ. A, παρ. κ. λ. αὐτῷ vulg.

et Stephanus capite plexi sunt, ex quo impii Leonis sectariorumque eius malitia oppido crevit, adeo ut susceptum adversus pietatem bellum latius promoverint. porro circa aestivum solstitium huius indictionis decimae post perniciosam illam de propriis civibus reportatam a Leone victoriam, duo ameraei Saracenicum exercitum adversus Nicaeam Bithyniensium urbem deduxere, amer videlicet cum quindecim millibus expeditorum militum praecurrens, urbem ex improviso et impraemunitam obsedit, Mavias autem cum octoginta quinque millibus subsequutus est. verum ii post longam obsidionem, murorumque ad sanctorum patrum ibidem cultorum aedem factam oppugnationem et deiectionem, urbe tamen minime potiti sunt, cum ob acceptas eorum apud deum preces, tum ob veneranda eorumdem lineamenta, quae ab sententiae illorum sequacibus ad hanc usque diem erecta et piis honoribus cumulata perseverant. porro cum quidam Constantinus Artabasdi strator imaginem deiparae erectam cernens, arreptum lapidem in ipsam proiecisset, eamque contritam et in humum lapsam pedibus conculcasset, dominam sibi astantem per visum conspexit, quae eum ita alloquuta est: vides quam egregium facinus

κας. τῇ δὲ ἐπαύριον προσβαλόντων τῶν Σαρακηνῶν τῷ τείχει, καὶ πολέμου κροτηθέντος, δραμὼν εἰς τὸ τεῖχος, ὡς γενναῖος στρατιώτης, ὁ ταλαίπωρος ἐκεῖνος βάλλεται ὑπὸ λίθου τοῦ ἐκ τοῦ μαγγανικοῦ πεμφθέντος, καὶ συνέτριψεν αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ἄξιον τῆς ἑαυτοῦ δυσσεβείας κομισάμενος ἀνταπόδομα. αἰχμαλωσίαν δὲ πλείστην καὶ λάφυρα συναγαγόντες ὑπέστρεψαν, δεικνύντος καὶ τοῦτο τοῦ Θεοῦ τῷ ἀσεβεῖ, ὅτι οὐ δι' εὐσέβειαν περιγέγονε τῶν ὁμοφύλων, ὡς ἐκεῖνος ηὔχει, ἀλλὰ διά τινα αἰτίαν θείαν καὶ ἀπόρ- C
ρητον κρίσιν, ἀποκρουομένης μὲν τὴν τοιαύτην Ἀραβικὴν ἰσχὺν τῆς τῶν ἁγίων πατέρων πόλεως ταῖς αὐτῶν πρεσβείαις, διὰ τῶν ἐν αὐτῇ τιμωμένων ἀκριβεστάτων αὐτῶν χαρακτήρων εἰς ἔλεγχον δὲ καὶ ἀναπολόγητον κρίσιν τοῦ τυράννου, καὶ βεβαίωσιν τῶν εὐσεβούντων. οὐ μόνον γὰρ περὶ τὴν σχετικὴν τῶν σεπτῶν εἰκόνων ὁ δυσσεβὴς ἐσφάλλετο προσκύνησιν, ἀλλὰ καὶ περὶ τῶν πρεσβειῶν τῆς πανάγνου Θεοτόκου καὶ πάντων τῶν ἁγίων· καὶ τὰ λείψανα αὐτῶν ὁ παμμίαρος, ὡς οἱ διδάσκαλοι αὐτοῦ Ἄραβες, ἐβδελύττετο. ἐκ τοῦδε τοίνυν τοῦ χρόνου ἀναιδῶς τῷ μακαρίῳ Γερμανῷ πατριάρχῃ D
Κωνσταντινουπόλεως προσεκρίβετο, μεμφόμενος πάντας τοὺς πρὸ αὐτοῦ βασιλεῖς καὶ ἀρχιερεῖς καὶ Χριστιανοὺς λαούς, ὡς

1. προσβαλόντων τῶν Σ. A, προσβάλλ. Σαρ. vulg. 8. περιγέγονε A, γέγονε vulg. 19. ἀναιδῶς add. ex Λ. 21. Χριστ. λαοὺς A, Χρ. καὶ λ. vulg.

in me commisisti? id certe in caput tuum recidet. postridie Saracenis murum oppugnantibus commissaque pugna, Constantinus militem fortem se praebens, cum ad murum accurrisset, lapide a tormento in eum immisso caput faciemque contritus, dignam impietate referens mercedem infelix interiit. Saraceni vero captivos innumeros et spolia diripientes, reversi sunt, in quo quidem deus impio imperatori ostendit, non ob contribulium suorum pietatem ac religionem, ut ipse gloriabatur, sed ob divinam quandam virtutem et secretum suum iudicium haec contigisse, cum nimirum sanctorum precibus, propter accuratas verasque eorum imagines illic ab oppidanis excultas, idque in tyranni confutationem et inexcusabile adversus eum iudicium, contra vero in piorum confirmationem, Arabicum istum impetum a sanctorum patrum urbe ipse depulit. enimvero impius ille non tantum in errore de respectiva venerandarum imaginum adoratione versatus est, sed etiam de sanctissimae deiparae sanctorumque omnium intercessionibus, eorumque reliquias homo sceleſtissimus, in Arabum praeceptorum suorum morem, abominatus est. ab eo itaque tempore inimicitias cum beato patriarcha Cpoleos Germano imprudenter suscepit,

εἰδωλολατρήσαντας ἐπὶ τῇ προσκυνήσει τῶν ἁγίων καὶ σεπτῶν
V. 271 εἰκόνων, μὴ χωροῦντος αὐτοῦ δι' ἀπιστίαν καὶ πολλὴν ἰδιωτείαν τὸν περὶ σχετικῆς προσκυνήσεως λόγον.

A.M. 6219 Τούτῳ τῷ ἔτει Μανῖας παρέλαβεν τὸ κάστρον Ἀτεοῦς, καὶ ὑπέστρεψεν.

A.M. 6220 Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ υἱὸς Χαγάνου τοῦ ἀν-
P. 341 νάστου Χαζαρίας τὴν Μηδίαν καὶ Ἀρμενίαν, καὶ εὑρὼν Γάραχον τὸν τῶν Ἀράβων στρατηγὸν κατὰ τὴν Ἀρμενίαν, ἀνεῖλεν αὐτὸν μετὰ τοῦ συνόντος αὐτῷ πλήθους· καὶ λῃσάμενος τὴν τῶν Ἀρμενίων χώραν καὶ τὴν Μήδων, ἀνέκαμψεν, φόβον μέγαν ἐμποιήσας τοῖς Ἄραψιν.

A.M. 6221 Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Μασαλμᾶς τὴν τῶν Τούρκων γῆν, καὶ συναφθέντες ἀλλήλοις εἰς πόλεμον, πίπτουσιν ἐξ ἀμφοτέρων μερῶν· καὶ δειλανδρήσας Μασαλμᾶς φυγῇ χρη-
B σάμενος διὰ τῶν ὀρέων Χαζαρίας ὑπέστρεψεν. τῷ δ' αὐτῷ ἔτει ἀπομανεὶς Λέων ὁ παράνομος βασιλεὺς κατὰ τῆς ὀρθῆς πίστεως, καὶ ἐνέγκας τὸν ἅγιον Γερμανόν, ἤρξατο αὐτὸν θωπευτικοῖς λόγοις δελεάζειν. ὁ δὲ μακάριος ἀρχιερεὺς λέγει πρὸς αὐτόν· τὴν μὲν καθαίρεσιν τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἀκούομεν ἔσεσθαι, ἀλλ' οὐκ ἐπὶ τῆς σῆς βασιλείας.

1. ἐπὶ add. ex A. 2. ἰδιωτείαν A, ἰδιωτίαν vulg. 4. Ἀστεοὺς A. 8. κατὰ A f, εἰς vulg. 9. λῃσάμενος A, λῃζόμενος vulg. 13. συναχθέντες A. 17. τὸν μακάριον Γ. A. θωπευτικοῖς A, θεοπνευστικοῖς vulg.

omnes decessores suos imperatores, praesules Christianosque populos, tanquam idololatras, ob sanctarum venerandarumque imaginum adorationem condemnans, cum ille prae nimia incredulitate atque rusticitate de respectivo earum cultu rationem ac sermonem minime capere valeret.

A. C. 719 Hoc anno Mavias castrum Ateus expugnavit, ac reversus est.

A. C. 720 Hoc anno filius Chagani Chazariae principis Mediam et Armeniam infestis armis vexavit, et Garachum Arabum ducem in Armenia obviam factum una cum adiuncto exercitu delevit, tum vero Armeniorum et Medorum provincias depopulatus, magno sui nominis terrore Arabibus relicto, domum rediit.

A. C. 721 Hoc anno Masalmas in Turcorum terras expeditionem suscepit, consertoque ad invicem praelio, plures ex utraque parte cecidere: quare Masalmas terrore prostratus fuga saluti consulit, et per Chazariae montes ad suos revertitur. hoc eodem anno nefarius imperator adversus rectam fidem insaniens, sanctum Germanum ad se accersitum blandis verbis cepit inescare. beatus itaque praesul sic eum alloquitur: sanctarum quidem imaginum futuram proscriptionem audimus, haud tamen te imperante. eo cuius aetate vel imperio res fo-

τούτου δὲ ἐπαναγκάσαντος εἰπεῖν ἐπὶ τίνος βασιλείας; ἔφη. ἐπὶ Κόνωνος. ὁ δὲ ἔφη· τὸ βαπτιστικόν μου ὄνομα ἐν ἀληθείᾳ Κόνων ἐστί. ὁ δὲ πατριάρχης ἔφη· μὴ γένοιτο, δέσποτα, διὰ τῆς σῆς βασιλείας τὸ κακὸν τοῦτο τελεσθῆναι· Ἀντίχριστον γάρ ἐστι πρόδρομος ὁ τοῦτο πληρῶν, καὶ τῆς ἐν σάρκου θείας οἰκονομίας ἀνατροπεύς. ἐπὶ τούτοις χαλεπήνας ὁ τύραννος ἐνεῖχεν τῷ μακαρίῳ, ὡς Ἡρώδης ποτὲ τῷ προδρόμῳ. ἀνέμνησεν δὲ αὐτὸν ὁ πατριάρχης καὶ τῶν πρὸ τῆς αὐτοκρατορίας αὐτοῦ συνθηκῶν, ὅπως αὐτῷ θεὸν ἐγγυητὴν δέδωκεν ἐν μηδενὶ σαλεῦσαι τὴν ἐκκλησίαν τοῦ θεοῦ τῶν αὐτῆς ἀποστολικῶν καὶ θεοπαραδότων θεσμῶν. ἀλλ' οὐδ' οὕτως ἠσχύνθη ὁ ἄθλιος. ἐπιτηρῶν δὲ καὶ καθυποβάλλων τινὰς ἠγωνίζετο λόγους, εἴ που τοῦτον εὕροι κατὰ τῆς βασιλείας αὐτοῦ ποιούμενον, ἵν' ὡς φρατριαστήν, καὶ οὐχ ὡς ὁμολογητὴν καθελεῖ τοῦ θρόνου, ἔχων εἰς τοῦτο σύμμαχον καὶ συμμέτοχον Ἀναστάσιον μαθητὴν καὶ σύγκελλον αὐτοῦ, συνταξάμενος αὐτῷ, ὡς τῆς ἀσεβείας ὁμόφρονι, καὶ τοῦ θρόνου μοιχὸν καὶ διάδοχον γενέσθαι· ὃν ὁ μακάριος οὐκ ἀγνοῶν οὕτω στρεβλῶς διακείμενον μιμούμενος τὸν ἑαυτοῦ δεσπότην, ὡς πρὸς ἄλλον Ἰσκαριώτην, σοφῶς καὶ πράως τὰ περὶ προδοσίας

2. ἐπὶ Κόνωνος A, Κόν. vulg. 3. δὲ add. ex A. 6. οἰκονομίας A, σαρκώσεως vulg. ἐπὶ τούτοις — — μακαρίῳ add. ex A. 8. καὶ add. ex A. 12. τινὰς om. a. 13. λόγους A f. εἴ που A, εἴ ποι vulg. 14. φατριαστὴν A. 17. μοιχὸν διάδοχον A.

ret exequenda sollicitius exquirente, respondit Germanus: Cononis tempore. dixit ille: atqui Cononis mihi nomen est in ipso baptismo vere inditum. subinfert patriarcha: absit, domine, ut te imperante malum istud perpetretur. Antichristi quippe praecursor est, qui sceleris ist ud adimplebit, et divinae incarnationis eversor et hostis. ob haec dicta tyrannus illi irascebatur, ut quondam Herodes praecursori. fidei vero cautionem ante susceptum imperium oblatam in memoriam patriarcha revocavit, ut nimirum deo in fideiussorem dato, nihil apostolicorum et traditorum a deo sancitorum, circa ipsam dei ecclesiam penitus se innovaturum promisisset. sed tantum abfuit ut coepti miserum Leonem puderet, ut praeterea in hoc incubuerit, patriarchae sermones captando, aliosque dolose miscendo, ut eum laesae maiestatis reum convinceret, quo eum tanquam seditiosum, non vero tanquam confessorem throno depulsaret. eam ad rem adiutorem atque participem nactus Anastasium Germani discipulum et syncellum, ut sensuum suorum aemulo ac per omnia conscio sedis adulterum ac successorem eum fore pollicitus est. hunc cum ita adversum se prave affectum beatus non ignoraret, dominum suum imitatus, tanquam alterum Iscariotam, aperte quidem,

ἀνεμίμνησκεν. ἐπεὶ δὲ ἀνεπιστρόφως αὐτὸν ἑώρα πλανώμενον, ἐπιστραφεὶς πρὸς αὐτὸν πατήσαντά ποτε τὰ ὀπίσθια τῆς στολῆς αὐτοῦ, εἰσιόντος αὐτοῦ πρὸς τὸν βασιλέα, ἔφη· μὴ σπεῦδε, φθάσεις γὰρ εἰσελθεῖν εἰς τὸ διῶπιν. ὁ δὲ ἐπὶ τα-
P. 342 ραχθεὶς τῷ λόγῳ σὺν ἄλλοις ἀκούσασιν, ἠγνόει τὴν πρόρρη-
σιν, ἥτις πέρας λαβοῦσα μετὰ ιε' ἔτη τῷ τρίτῳ ἔτει Κων-
V. 272 σταντίνου τοῦ διώκτου ἐνδικτιῶνι ιβ' πάντας ἔπεισεν ἐκ θείας χάριτος προφητευθῆναι. Κωνσταντῖνος γὰρ μετὰ τὴν τοῦ γαμβροῦ αὐτοῦ Ἀρταβάσδου ἀνασοβὴν τῆς βασιλείας ἐπικρατήσας, Ἀναστάσιον τοῦτον τύψας σὺν ἄλλοις ἐχθροῖς ἐν ἵππαι
Β διὰ τοῦ διῶπίου γυμνὸν μὲν ἐπ' ὄνου καθήμενον ἐξανάστροφα ἐπόμπευσεν, ὡς τοῖς ἐχθροῖς συνανασκάψαντα αὐτόν, καὶ τὸν Ἀρτάβασδον στέψαντα, ὡς δηλωθήσεται ἐν τῷ ἰδίῳ τόπῳ. καὶ ἐν μὲν τῷ Βυζαντίῳ πρόμαχος τῶν ὑπὲρ εὐσεβείας δογμά-
των ὁ ἱερὸς οὗτος καὶ θεσπέσιος ἤκμαζε Γερμανὸς θηριομα-
χῶν πρὸς τὸν φερώνυμον Λέοντα καὶ τοὺς αὐτοῦ συνασπι-
στάς, ἐν δὲ τῇ πρεσβυτέρᾳ Ῥώμῃ Γρηγόριος ὁ πανίερος ἀποστολικὸς ἀνὴρ καὶ Πέτρου τοῦ κορυφαίου σύνθρονος, λόγῳ καὶ πράξει διαλάμπων, ὃς ἀπέστησε Ῥώμην τε καὶ Ἰτα-

3. εἰσιόντος αὐτοῦ A, εἰσ. γὰρ αὐτοῦ vulg. 4. διῶπιον A. ἐπὶ add. ex A. 8. προφητευθῆναι τῷ ἀγνώμονι A. 11. καθήμενον A, καθούμενον vulg. 12. αὐτὸν κ. τ. Ἀ. στέψ. om. A. 14. inter δογμάτων et ἱερὸς lacuna intercidit in A, ὢν vel simile quid excidisse videtur. 16. θηριώνυμον A, fort. recte. 17. Γρηγ. A, ὁ Γρ. vulg. 19. ὃς A, ὡς vulg.

sed leniter ipsum de proditione commonuit. cum vero ab errore illum revocari non posse cerneret, quadam die eidem Anastasio Germani imperatorem adeuntis posteriorem vestis oram calcanti ipse patriarcha dixit: noli festinare, in circi etenim stadium citius quam voles ingredieris. at ille hisce verbis turbatus, nec alii praesagium intellexere, quod tamen quindecim post annos, tertio videlicet persecutoris Constantini, indictione duodecima, exitum tandem habuit, ac non sine divino impulsu prolatum fuisse constitit. etenim Constantinus Artabasdo genero expulso, cum solus imperio potitus esset, Anastasium una cum aliis suis inimicis verberibus caesum, deinde nudum asinoque facie retro versa insidentem per circi stadium palam circumduci iussit, utpote qui una cum inimicis suis se imperatoris munere abrogatum imperio eiecerat, atque Artabasdum coronaverat, quemadmodum inferius suo loco demonstrabitur. porro sacer ille ac divinus Germanus decretorum verae religionis defensor Byzantii floruit adversus Leonem ex re nomen habentem, eiusque satellites tanquam adversus feras depugnans, quemadmodum in veteri Roma vir undequaque sacer et apostolicus, Petri apostolorum coryphaei conses-

λίαν καὶ πάντα τὰ ἐσπέρια τῆς τε πολιτικῆς καὶ ἐκκλησιαστικῆς ὑπακοῆς Λέοντος καὶ τῆς ὑπ' αὐτὸν βασιλείας. ἐν δὲ τῇ κατὰ Συρίαν Δαμασκῷ Ἰωάννης ὁ Χρυσορρόας, πρεσβύτερος καὶ μοναχός, ὁ τοῦ Μανσούρ, διδάσκαλος ἄριστος, βίῳ καὶ λόγῳ προέλαμπεν. ἀλλὰ καὶ Γερμανὸν μὲν ὡς ὑπ' αὐτὸν ὄντα ἐκβάλλει τοῦ θρόνου· Γρηγόριος δὲ δι' ἐπιστολῶν ἀριδήλως αὐτὸν ἐλέγχει τῶν τοῖς πολλοῖς ἐγνωσμένων. καὶ Ἰωάννης σὺν τοῖς τῆς ἀνατολῆς ἐπισκόποις τοῖς ἀναθέμασι τὸν ἀσεβῆ καθυποβάλλει. τῇ δὲ ζ τοῦ Ἰανουαρίου μηνὸς τῆς ιγ' ἰνδικτιῶνος ἡμέρᾳ γ' τῆς ἑβδομάδος Λέων ὁ δυσσεβὴς σελέντιον κατὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων ἐκρότησεν ἐν τῷ τριβουναλίῳ τῶν ιθ' ἀκουβίτων, προσκαλεσάμενος καὶ τὸν ἁγιώτατον πατριάρχην Γερμανόν, οἰόμενος πείθειν αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ γενναῖος τοῦ Χριστοῦ δοῦλος μηδ' ὅλως πεισθεὶς τῇ μυσαρᾷ κακοβουλίᾳ αὐτοῦ, τὸν λόγον τῆς ἀληθείας ὀρθοτομήσας, ἀπετάξατο τὴν ἀρχιερωσύνην ἐπιδοὺς τὸ ὠμοφόριον, καὶ εἰπὼν μετὰ πολλοὺς διδασκαλικοὺς λόγους· ἐὰν ἐγώ εἰμι Ἰωνᾶς, βάλετέ με εἰς τὴν θάλασσαν. χωρὶς γὰρ οἰκουμενικῆς συνόδου καινοτομῆσαι πίστιν ἀδυνατῶ, ὦ βασιλεῦ. καὶ ἀπελθὼν ἐν τῷ λεγομένῳ Πλα-

1. τε add. ex A. 4. ἄριστος, βίῳ A, ἄρ. καὶ β. vulg. 5. ἀλλὰ καὶ A, ἀλλὰ vulg. 9. καθυποβάλλει A, ὑποβ. vulg. 12. προσκαλ. A, προκ. vulg. 20. ἀδυνατῶ A e f, ἀδύνατόν μοι vulg. Πλατωνίῳ A e f, Πλαταγίῳ vulg.

sor eruditione praeclarisque facinoribus clarebat Gregorius, qui Romam atque Italiam totumque occidentem a Leonis obedientia, tam civili, quam ecclesiastica, et ab eius imperio subtraxit. tum vero Damasci Syriae Ioannes Chrysorrhoas, Mansur filius, doctor egregius, sanctitate vitae aeque ac doctrina fulgebat. porro Germanum ut suae potestati subditum patriarchali solio deiecit. Gregorius autem epistolis, quas omnes norunt, ad eum datis, ipsi succensuit, ac denique Ioannes una cum totius orientis episcopis impium Leonem anathemate devinxit. caeterum die septima mensis Ianuarii, indictione decima tertia, feria hebdomadis tertia, irreligiosus Leo silentium contra sanctas venerandasque imagines in novemdecim accubitorum tribunalio celebravit, Germano sanctissimo patriarcha advocato, cui persuadendum arbitrabatur, ut suo de abolendis sacris imaginibus decreto tandem subscriberet. at fortis Christi servus abominando Leonis consilio nequaquam cedens, imo veritatis verbum recto sensu distribuens, episcopatu sese abdicavit, quin etiam pallium pontificium sponte deponens post satis longum merae doctrinae plenum sermonem demum dixit: si ego sum Ionas, in mare me proiicite; absque universalis etenim concilii auctoritate, imperator, circa fidem quidquam innovare

τωνίῳ εἰς τὸν γονικὸν αὐτοῦ οἶκον ἡσύχασεν, ἀρχιερατεύσας ἔτη ιθ', μῆνας ε', ἡμέρας ἑπτά. τῇ δὲ κβ' τοῦ αὐτοῦ Ἰανουαρίου μηνὸς χειροτονοῦσιν Ἀναστάσιον τὸν ψευδώνυμον μαθητὴν καὶ σύγκελλον τοῦ αὐτοῦ μακαρίου Γερμανοῦ συνδέ-
P. 343 μενον τῇ Λέοντος δυσσεβείᾳ διὰ φιλαρχίαν κοσμικὴν προχει- 5
ρισθεὶς Κωνσταντινουπόλεως ψευδεπίσκοπος. Γρηγόριος δὲ ὁ ἱερὸς πρόεδρος Ῥώμης, καθὼς καὶ προέφην, Ἀναστάσιον ἅμα τοῖς λιβέλλοις ἀπεκήρυξεν, ἐλέγξας τὸν Λέοντα δι' ἐπιστολῶν, ὡς ἀσεβοῦντα, καὶ τὴν Ῥώμην σὺν πάσῃ τῇ Ἰταλίᾳ τῆς βασιλείας αὐτοῦ ἀπέστησεν. ἐκμανεὶς οὖν ὁ τύραν- 10
νος διέτεινε τὸν κατὰ τῶν ἁγίων εἰκόνων διωγμόν, πολλαί τε κληρικοὶ καὶ μοναταὶ καὶ εὐλαβεῖς λαϊκοὶ ὑπερεκινδύνευσαν τοῦ ὀρθοῦ τῆς πίστεως λόγου, τὸν μαρτυρικὸν ἀναδησά-
B μενοι στέφανον.

A.M. 6222 Κωνσταντινουπόλεως ἐπισκόπου Ἀναστασίου ἔτος α'. 15
V. 273 Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν Μασαλμᾶς τῇ Ῥωμανίᾳ, καὶ ἐλθὼν εἰς Καππαδοκίαν παρέλαβεν δόλῳ τὸ Χαρσιανοῦ
C κάστρον.

A.M. 6223 Τούτῳ τῷ ἔτει ἐπεστράτευσεν ὁ Μασαλμᾶς τὴν Τουρκίαν, καὶ φθάσας τὰς Κασπίας πύλας φοβηθεὶς ὑπέστρεψεν. 20

1. τὸν add. ex A. 2. ἑπτά. τῇ δὲ κβ' A, γ'. τῇ δὲ ζ' vulg. 5. δυσσεβ. A, ἀσεβ. vulg. 7. καθὼς καὶ A, ὡς vulg. 9. τῇ add. ex A. 10. ἐκμανεὶς A, ἐμμ. vulg. 17. Χαρσιανον A f. 20. ἀνέστρ. A.

non valeo. tum vero in locum, qui Platanius dicitur, in paternam domum se recipiens, vitae reliquum summo silentio transegit. tenuit pontificatum annos quatuordecim, menses quinque, dies tres. die autem septima eiusdem mensis Ianuarii Anastasium falsi nominis virum, ipsius beati Germani discipulum et concellaneum in eius locum suffecerunt, qui videlicet dominii saecularis ambitione motus, cum Leonis impietati assentiret, falsus Cpoleos episcopus creatus est. caeterum Gregorius sacer Romae praesul, quemadmodum iam praemisi, Anastasium una cum libellis eius abiudicavit, Leonemque ipsum tanquam irreligiosum per epistolas redarguit, ac Romam cum universa Italia ad defectionem ab eius imperio concitavit, ex quo tyrannus maiori in dies furore percitus, persecutionem adversus sanctas imagines movit, adeo ut multi clerici et monachi et devoti laici, ob recta fidei decreta periclitati, martyrii corona fuerint redimiti.

A. C. 722 Cpoleos episcopi Anastasii annus primus.

Hoc anno Masalmas Romanam ditionem armis infestavit, et in Cappadociam profectus, Charsiani castrum sibi dolo subiecit.

A. C. 723 Hoc anno Masalmas in Turciam exercitum eduxit, et cum iam Caspias portas attigisset, metu correptus, retro cessit.

Τούτῳ τῷ ἔτει Λέων ὁ βασιλεὺς τὴν θυγατέρα Χαγάνου A.M. 6224
τοῦ τῶν Σκυθῶν δυνάστου τῷ υἱῷ Κωνσταντίνῳ ἐνυμφεύσατο,
ποιήσας αὐτὴν Χριστιανήν, καὶ ὀνομάσας αὐτὴν Εἰρήνην,
ἥτις ἐκμαθοῦσα τὰ ἱερὰ γράμματα διέπρεψεν ἐν εὐσεβείᾳ
ἐλέγχουσα τὴν τούτων δυσσέβειαν. Μανίας δὲ ὁ υἱὸς Ἰσὰμ
ἐπεστράτευσεν τὴν Ῥωμανίαν, καὶ ἐλθὼν ἕως Παφλαγονίας, D
ἀνέκαμψε μετὰ αἰχμαλωσίας πολλῆς. ὁ δὲ βασιλεὺς ἐμαί-
νετο κατὰ τοῦ πάπα καὶ τῆς ἀποστάσεως Ῥώμης καὶ Ἰτα-
λίας, καὶ ἐξοπλίσας στόλον μέγαν ἀπέστειλε κατ' αὐτῶν,
Μάνην τὸν στρατηγὸν τῶν Κιβυρραιωτῶν κεφαλὴν ποιήσας
εἰς αὐτούς. ἠσχύνθη δὲ ὁ μάταιος ναναγήσαντος τοῦ στόλου
εἰς τὸ Ἀδριατικὸν πέλαγος. τότε ὁ θεομάχος ἐπὶ πλεῖον
ἐκμανείς, Ἀραβικῷ τε φρονήματι κρατυνόμενος, φόρους κεφα-
λικοὺς τῷ τρίτῳ μέρει Καλαβρίας καὶ Σικελίας τοῦ λαοῦ ἐπέ-
θηκεν. τὰ δὲ λεγόμενα πατριμόνια τῶν ἁγίων καὶ κορυφαίων
ἀποστόλων τῶν ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ τιμωμένων ταῖς ἐκ-
κλησίαις ἔκπαλαι τελούμενα χρυσίου τάλαντα τρία ἥμισυ P. 344
τῷ δημοσίῳ λόγῳ τελεῖσθαι προσέταξεν, ἐποπτεύειν τε καὶ
ἀναγράφεσθαι τὰ τικτόμενα κελεύσας ἄρρενα βρέφη, ὡς Φα-
ραώ ποτε τὰ τῶν Ἑβραίων· ὅπερ οὐδ' αὐτοί ποτε οἱ διδά-

4. ἐκμαθοῦσα A, μαθ. vulg. διέπρεψεν A e f, διέπρεπεν vulg. 9. ἀπέστειλε A, ἐξώπλισε vulg. 10. τὸν add. ex A. κεφαλὴν A f, στρατηγὸν vulg. 13. ἐκμ. A, ἐμμ. vulg. κρατυνόμενος A, κρατούμενος vulg. 17. τελούμενα A, τιμώμενα vulg.

Hoc anno Leo imperator filiam Chagani Scytharum principis Con- A. C. 724
stantino filio suo uxorem duxit, cum Christianam prius eam fecisset appellassetque Irenen. haec sacris litteris erudita, pietate fuit illustris, et Leonis Constantinique impietatem arguebat. porro Mavias filius Isam bellum Romaniae intulit, penetrataque cum armato milite Paphlagonia, multa captivorum praeda ditatus, in patriam rediit. imperator autem contra papam Romaeque et Italiae desertores insaniens et plane furiis invectus, classem ingentem extructam adversus eos misit, et Manem Cibyrrhaeotarum ducem ei praefecit. summum tamen dedecus vanus ille princeps retulit, classe in mari Adriatico naufragium passa. ex quo in furorem actus dei ille hostis Arabico sensu imbutus, auctiora Siculis ac Calabris populis parte tertia tributa in singula hominum capita imposuit. patrimonia vero quae dicuntur sanctorum et coryphaeorum apostolorum, qui in veteri Roma coluntur, tria nimirum cum medio auri talenta eorum ecclesiis ab antiquo assignata et pensa, in publicum aerarium conferri iussit. inspici insuper atque describi masculos infantes, qui nascerentur, quem-

σκαλοι αὐτοῦ Ἄραβες ἐποίησαν εἰς τοὺς κατὰ τὴν ἑῴαν Χριστιανούς.

A.M. 6225 B Τούτῳ τῷ ἔτει ἐγένετο θανατικὸν ἐν Συρίᾳ, καὶ ἀπέθανον πολλοί.

A.M. 6226 Ῥώμης ἐπισκόπου Ζαχαρίᾳ ἔτος α'. Τούτῳ τῷ ἔτει ἐξωρίσθη Θεόδωρος ὁ τοῦ Μανσοὺρ εἰς τὰ κλίματα τῆς ἐρήμου· καὶ γέγονεν σημεῖον ἐν τῷ οὐρανῷ πυρῶδες καταυγάζον· καὶ Μανίας τὴν Ἀσίαν ἐληΐσατο.

A.M. 6227 V. 274 C Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλεϊμὰν ὁ τοῦ Ἰσὰμ τὴν τῶν Ἀρμενίων χώραν, καὶ οὐδὲν ἤνυσεν.

A.M. 6228 Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Μανίας τὴν Ῥωμανίαν, καὶ ἐπανελθὼν οὐ μετὰ πολλὰς ἡμέρας τοῦ ἵππου πεσὼν ἀπέψυξεν.

A.M. 6229 Τούτῳ τῷ ἔτει Σουλεϊμὰν υἱὸς ὁ Ἰσὰμ αἰχμαλωτεύσας πολλοὺς ἐξ Ἀσίας, συνηχμαλώτευσεν καί τινα Περγαμηνόν, ὃς ἔλεγεν ἑαυτὸν Τιβέριον υἱὸν εἶναι Ἰουστινιανοῦ. τοῦτον D Ἰσὰμ εἰς τιμὴν τοῦ ἰδίου παιδὸς καὶ τῶν βασιλέων ἐκφόβησιν μετὰ τῆς ἁρμοζούσης βασιλικῆς τιμῆς καὶ στρατευμάτων καὶ σκήπτρων καὶ βάνδων εἰς Ἱερουσαλὴμ ἐκπέμπει, καὶ ὅλην τὴν Συρίαν περιάγειν κελεύει μετὰ πολλῆς τιμῆς πρὸς θέαν πάντων καὶ κατάπληξιν.

9. ὁ τοῦ Ἰσὰμ om. f. 14. ὁ add. ex A. αἰχμαλωτεύσας A, αἰχμαλώτευσεν vulg. 16. υἱὸν εἶναι add. ex A.

admodum olim Pharao Hebraeorum pueros, mandavit, quod tamen neque ipsi eius doctores Arabes in Christianos orientales admiserunt.

A. C. 725 Hoc anno pestifera lue in Syriam grassante multi periere.

A. C. 726 Romae episcopi Zachariae annus primus.
Hoc anno Theodorus Mansuris filius ad deserti regionem relegatus est. signum quoque igneum splendidissimum in caelo visum. Mavias denique Asiam depraedatus est.

A. C. 727 Hoc anno Suliman filius Isam in Armeniorum provinciam arma movit, at re infecta reversus est.

A. C. 728 Hoc anno Mavias Romaniae bellum intulit, at post dies non multos redire coactus equo decidens animam efflavit.

A. C. 729 Hoc anno Suliman filius Isam plurimos ex Asia captivos abduxit. inter concaptivos quidam extitit Pergamenus genere, qui se Tiberium Iustiniani filium praedicabat. hunc Isam ad proprii filii honorem et imperatorum terrorem omni cultu regio instructum cum exercitu siguis et vexillis Hierosolymam misit, indeque universam Syriam maximo cum apparatu obire iussit, quod spectaculo et admirationi cunctis extitit.

Τούτῳ τῷ ἔτει ἐπεστράτευσε Σουλεϊμὰν τὴν Ῥωμανίαν A.M. 6230
ὁ υἱὸς Ἰσάμ· καὶ ἐπόρθησε τὸ λεγόμενον σιδηροῦν κάστρον, καὶ Εὐστάθιον τὸν υἱὸν Μαριακοῦ τοῦ πατρικίου αἰχμάλωτον ἔλαβεν.

Τούτῳ τῷ ἔτει μηνὶ Μαΐῳ ἰνδικτιῶνος ἡ ἐπεστράτευσεν A.M. 6231
Σουλεϊμὰν τὴν Ῥωμανίαν ἐν μυριάσιν θ', στρατηγοῖς δ', ὧν P. 345
Γάμερ ἡγεῖτο, λοχίζων ἐν μυρίοις μονοζώνοις τὰ τῆς Ἀσιατιδος γῆς μέρη, καὶ τούτου ἐχόμενοι Μελὶχ καὶ Βατὰλ ἐν δισμυρίοις ἱππεῦσι περὶ τὸν Ἀκροϊνόν· καὶ μετὰ τούτους Σουλεϊμὰν ἐν ἑξακισμυρίοις περὶ τὴν τῶν Καππαδοκῶν Τύαναν. ἀλλ' οἱ μὲν κατὰ τὴν Ἀσίαν καὶ Καππαδοκίαν πολλὴν ἅλωσιν ἀνδρῶν τε καὶ γυναικῶν καὶ κτηνῶν ποιησάμενοι ἀβλαβῶς ἀνέστρεψαν. οἱ δὲ περὶ τὸν Μελὶχ καὶ Βατὰλ ἐν B τῷ Ἀκροϊνῷ καταπολεμηθέντες ὑπὸ Λέοντος καὶ Κωνσταντίνου ἡττήθησαν. καὶ οἱ μὲν πλείονες ὅπλοις ὅλοντο σὺν τοῖς δυσὶν ἄρχουσιν· ὀκτακόσιοι δέ που μαχηταὶ ἐξ αὐτῶν πρὸς ἓξ χιλιάδας ἐνστάντες εἰς Σύνναδα καταφεύγουσι· καὶ διασωθέντες συνήφθησαν τῷ Σουλεϊμάν, καὶ ἀνέκαμψαν εἰς Συρίαν. τῷ δ' αὐτῷ ἔτει καὶ κατὰ τὴν Ἀφρι-

1. τούτῳ τῷ ἔτει — — — ἔλαβεν: haec ex Barberino restituta desunt in regio. (Not. Goari.) 5. μηνὶ M. ἰνδικτ. ἡ add. ex A. 6. στρατ. δ' A, στρ. τε δ' vulg. 9. μετὰ τούτους A, μετὰ τοῦτον vulg. 12. ἀνδρῶν τε καὶ γυν. καὶ κτηνῶν A, ἀνδρῶν καὶ κτ. καὶ γυν. vulg. 13. ἀβλαβῶς ἀνέστρεψαν A, ἀβλαβεῖς ὑπέστρ. vulg. 16. ἑξακόσιοι a, ὀκτακ. δὲ ὁπλομαχῆται A.

Hoc anno Suliman filius Isam Romanam ditionem armis aggressus, castrum cognomento ferreum depopulatus est, ac Eustathium Mariani patricii filium captivum abduxit. A. C. 730

Hoc anno mense Maio, indictione octava, Suliman eductis hominum nonaginta millibus in Romaniam copias effudit sub ducibus quatuor, quorum summus fuit Gamer, qui cum mille levis armaturae militibus ad Asiaticae provinciae varia loca in insidiis considebat, quibus socios se adiunxere Melich et Batal cum bis mille equitibus circa Acroinum, atque post eos ipse Suliman cum sex myriadibus circa Tyanam Cappadociae. et ii quidem, qui Asiam et Cappadociam excurrerunt, numerosa virorum iumentorum et mulierum multitudine collecta, illaesi domos repetierunt, qui vero Melich et Batal ad Acroinum sequuti, a Leone et Constantino oppugnati victoribus cessere. plures etenim cum memoratis ducibus duobus armis periere, octingenti vero supra sexies mille bellatores praecipui fortiter resistentes Synada confugerunt, quo profecti et Sulimani adiuncti, in A. C. 731

κὴν πολλοὶ παρ' αὐτῶν ὤλοντο σὺν τῷ στρατηγοῦντι ἀνόμασι Δαμασκηνῷ.

A.M. 6232 Τούτῳ τῷ ἔτει εἰκοστῷ τετάρτῳ τῆς βασιλείας Λέοντος τοῦ Συριάννου καὶ παρανομωτάτου Σύρου ἐκάησαν ἀγοραὶ ἐν Δαμασκῷ ὑπὸ Ἰσραηλιτῶν, καὶ ἐφονεύθησαν, καὶ εἰσῆλθεν ὁ χειμαρρος ἐν Ἐδέσσῃ μηνὶ Περιτίῳ κή. καὶ τῷ αὐτῷ ἔτει σεισμὸς γέγονεν μέγας καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει μηνὶ Ὀκτωβρίῳ εἰκοστῇ ἕκτῃ, ἰνδικτιῶνι ἐννάτῃ, ἡμέρᾳ τετάρτῃ, ὥρᾳ ὀγδόῃ, καὶ ἐπιώθησαν ἐκκλησίαι καὶ μοναστήρια, λαός τε πολὺς τέθνηκε. ἔπεσεν δὲ καὶ ὁ ἀνδριὰς ὁ ἑστὼς ἐπὶ τῆς Ἀτάλου πόρτης τοῦ μεγάλου Κωνσταντίνου ἅμα τῷ αὐτῷ Ἀτάλῳ, καὶ ἡ στήλη Ἀρκαδίου ἡ ἐπὶ τοῦ Ξηρολόφου κίονος V. 275 ἑστῶσα, καὶ ὁ ἀνδριὰς τοῦ μεγάλου Θεοδοσίου ὁ ἐπὶ τῆς Χρυσῆς πόρτης, τά τε χερσαῖα τῆς πόλεως τείχη καὶ πόλεις D καὶ χωρία ἐν τῇ Θράκῃ, καὶ ἡ Νικομήδεια ἐν Βιθυνίᾳ καὶ ἡ Πραίνετος καὶ ἡ Νίκαια, ἐν ᾗ μία ἐσώθη ἐκκλησία. ἀνέφυγε δὲ καὶ ἡ θάλασσα τῶν ἰδίων ὅρων ἔν τισι τόποις, καὶ ἐκράτησεν ὁ σεισμὸς μῆνας δώδεκα. ὁ οὖν βασιλεὺς ἰδὼν τὰ τείχη τῆς πόλεως πτωθέντα διελάλησε τῷ λαῷ λέγων, ὅτι ὑμεῖς οὐκ εὐπορεῖτε τὰ τείχη κτίσαι, ἀλλ' ἡμεῖς προσετάξα-

1. *ὀνόματι* om. f. 10. *ὁ ἑστὼς ἐπὶ τῆς Ἀτάλου* — — — — — — *καὶ ὁ ἀνδρίας* add. ex A. 16. *Πραίνετος* A. *ἐσώθη* A, *διεσώθη* vulg. 17. *καὶ* add. ex A. 18. *ἐκράτησεν* — — *βασιλεὺς* om. A. 19. *τῆς πόλεως* add. ex A. 20. *εὐπορεῖτε* A, *ἐκπονεῖτε* vulg. *προσετάξαμεν* A, *διετάξ.* vulg.

Syriam redierunt. eodem etiam anno multi per Africam ab eis caesi cum ipsius aciei duce, cui nomen fuit Damascenus.

A.C. 732 Hoc anno, qui Leonis tyranni et scelestissimi Isauri fuit vicesimus quartus, ab Hieracitis igne supposito Damasci tabernae combustae, criminisque poenas illi suspendio dederunt. mensis Peritii die vicesimo octavo Edessam civitatem torrens inundavit. eodem etiam anno terrae motus ingens et tremendus mensis Octobris die vicesimo sexto, indictione nona, feria quarta, hora diei octava Cpoli contigit, quo ecclesiae et monasteria corruerunt, et e populo plurimi ruinis obruti. magni quoque Constantini statua Atali portae imposita cecidit una cum ipso Atalo, et Arcadii columna, tum etiam Theodosii statua portae nomine Chrysae imposita, murique urbis continentem spectantes, urbes etiam aliae et pagi per Thraciam, ad haec Nicomedia in Bithynia, Praenetus et Nicaea, in qua ecclesia unica servata est, conciderunt. nonnullis in locis proprios limites mare deseruit, et menses duodecim motus ille terrae perseveravit. imperator itaque visa moenium urbis ruina edictum huiusmodi promulgavit in populum: muros urbis reparare vos non valetis, quare nostris administratoribus rem commisimus. ipsi collatitiam ab unoquoque

μεν τοῖς διοικηταῖς. καὶ ἀπαιτοῦσιν εἰς κανόνα κατὰ ὁλοκοτινιν τὸ μιλιαρίσιον. καὶ λαμβάνει αὐτὰ ἡ βασιλεία, καὶ κτίζει τὰ τείχη. ἐντεῦθεν οὖν ἐπεκράτησεν ἡ συνήθεια δίδειν τὰ δύο κέρατα τοῖς διοικηταῖς. ἔτος ἦν ἀπὸ κτίσεως κό- P. 346
σμου κατὰ Ῥωμαίους ϛομή ἀπὸ Ἀδάμ, κατὰ δὲ Αἰγυπτίους ἦγουν Ἀλεξανδρεῖς ϛολβ, ἀπὸ δὲ Φιλίππου τοῦ κατὰ Μακεδόνας αξγ. ἐβασίλευσεν οὖν Λέων ἀπὸ κε τοῦ Μαρτίου μηνὸς τῆς ιέ ἰνδικτιῶνος ἕως μηνὸς Ἰουνίου ιή τῆς Θ ἰνδικτιῶνος, βασιλεύσας ἔτη κδ, μῆνας β, ἡμέρας κέ. ὁμοίως καὶ Κωνσταντῖνος, ὁ υἱὸς αὐτοῦ καὶ τῆς ἀσεβείας αὐτοῦ καὶ βασιλείας διάδοχος, ἀπὸ τῆς αὐτῆς ιή τοῦ Ἰουνίου μηνὸς τῆς Θ ἰνδικτιῶνος ἕως τῆς ιδ τοῦ Σεπτεμβρίου μηνὸς τῆς ιδ ἰνδικτιῶνος, βασιλεύσας καὶ αὐτός, παραχωρήσει τοῦ Θεοῦ, ἔτη τριάκοντα τέσσαρα, μῆνας γ, ἡμέρας β. οὕτως οὖν, ὡς B
προέφημεν, τῷ αὐτῷ ἔτει τῆς Θ ἰνδικτιῶνος μηνὶ Ἰουνίῳ ὀκτωκαιδεκάτῃ τέθνηκε Λέων σὺν τῷ ψυχικῷ καὶ τὸν σωματικὸν θάνατον, καὶ αὐτοκρατορεῖ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ. καὶ ὅσα μὲν ἐπὶ Λέοντος τοῦ ἀσεβοῦς κακὰ Χριστιανοῖς συνέβη περί τε τὴν ὀρθόδοξον πίστιν καὶ περὶ τῶν πολιτικῶν διοικήσεων αἰσχροῦ κέρδους καὶ φιλαργυρίας ἐπινοίᾳ, κατά τε

1. ὁλοκοτίνην μιλιαρήσιον A. 4. τὰ δικέρατα A. 10. καὶ Κ. A, καὶ ὁ Κ. vulg. 13. παραχωρήσει τοῦ θεοῦ A, παραχωρήσαντος θεοῦ vulg. 14. οὕτως A, οὕτος vulg. 16. καὶ τὸν σωμ. A, τὸν σωμ. vulg. 19. τὴν ὀρθοδοξίαν τῆς πίστεως e f. 20. κατά τε Σικελίαν A.

collectam exigent, ex olocotino nimirum aureo milliarisium argenteum. imperium vero nostrum summam illam tollet, et una simul moenium instaurandorum onus. inde mos invaluit, ut ceratia duo administratoribus per singula capita conferantur. erat is annus a mundi conditu et aetate Adami 6248 iuxta Romanorum computum, iuxta Aegyptios, intellige Alexandrinos, 6232, a Philippo Macedone 1063. igitur a mensis Martii die vigesimo quinto decima quinta indictione ad mensis Iunii diem decimum octavum nona indictione Leo imperavit. tenuit autem imperium annos viginti quatuor menses duos dies viginti quinque. Constantinus pariter eius filius impietatis aeque ac imperii successor a praefato mensis Iunii die decimo octavo nona indictione ad mensis Septembris diem decimum quartum indictione decima quarta, deo permittente, potestatem obtinuit annos quatuor supra triginta menses tres dies duos. is ergo Leo, ut praemisimus, eodem anno eiusdem indictionis nonae mensis Iunii die decimo octavo simul cum animae mortem obiit corporis, cui in tyrannidis summa potestate occupanda filius Constantinus suffectus est. porro mala omnia quae sub impio Leone Christianis contigerunt, quod ad rectam fidei sententiam et civilium rerum administrationem spectat,

Συρίαν καὶ Καλαβρίαν καὶ Κρήτην, ἥ τε τῆς Ἰταλίας ἀπο-
στασία διὰ τὴν αὐτοῦ κακοδοξίαν, σεισμοί τε καὶ λιμοὶ καὶ
C λοιμοὶ καὶ ἐθνῶν ἐπαναστάσεις, ἵνα τὰ κατὰ μέρος σιγήσω,
ἐν τοῖς προλαβοῦσι δεδήλωται κεφαλαίοις. ἄξιον δὲ λοιπὸν
ἐφεξῆς καὶ τοῦ δυσσεβεστάτου καὶ παναθλίου παιδὸς αὐτοῦ
τὰς ἀθεμίτους διεξελθεῖν πράξεις, ἀνοσιουργοτέρας καὶ θεομι-
σήτους οὔσας, φιλαληθῶς δ' ὅμως, ὡς ἐφορῶντος καὶ ἐπι-
βλέποντος τοῦ παντεπόπτου θεοῦ, καὶ ἀπερίττως, εἰς ὠφέλειαν
τοῖς μετέπειτα καὶ τοῖς νῦν πλανωμένοις ἀθλίοις καὶ ἀτα-
θάλοις ἀνθραρίοις εἰς τὴν τοῦ παρανομωτάτου βδελυρὰν
D κακοδοξίαν, τὰ ἀπὸ τῆς δεκάτης λέγοντας ἰνδικτιῶνος ἔτους
πρώτου τῆς αὐτοῦ βασιλείας. αὐτὸς γὰρ ὁ πανώλης καὶ
ἐμβρόντητος αἱμοβόρος τε καὶ ἀγριώτατος θὴρ, τυραννικῶς
καὶ οὐκ ἐννόμως τῷ κράτει χρησάμενος, πρῶτον μὲν ἐκ τοῦ
θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἀχράντου
καὶ παναγίας μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων διΐσταται,
μαγείαις δὲ καὶ ἀσελγείαις καὶ αἱμοθυσίαις καβαλλίαις τε
κόπροις καὶ οὔροις ἀπατώμενος, μαλακίαις τε μὴν καὶ δαι-
μόνων ἐπικλήσεσι χαίρων, καὶ πᾶσιν ἁπλῶς ψυχοφθόροις

4. δὲ add. ex A. 7. καὶ ἐπιβλ. om. A. 8. παντεπόπτου A, παντόπτου vulg. 9. ἀθλίοις om. A. 12. τῆς αὐτοῦ βασ. om. A. 13. θὴρ add. ex A. 16. διΐσταται, μαγείαις δὲ καὶ A, διΐσταται μαγείαις, καὶ vulg. 17. αἱμοθυσίαις A f, αἱμοχυσίαις vulg.

quae videlicet excogitata in Syriam, Calabriam et Cretam turpis lucri et avaritiae arte. ad haec ex prava eius opinione orta Italiae defectio, terrae motus, annonae penuria, pestilentiae, provinciarum rebelliones, ut privatas quasque calamitates praeteream, superioribus capitibus enarrata sunt. nunc irreligiosissimi et infelicis undequaque filii eius nefaria gesta, sceleratiora multo deoque magis invisa decet recensere. ex veritatis tamen oraculis, ceu in dei cuncta inspicientis ac intime penetrantis conspectu positi, nulla vel rei superfluae accessione facta, quod nimirum quum posteris, tum misellis atque improbis homunciouibus secundum execrandam iniquissimi imperatoris sententiam errantibus prodesse queat, quae ab indictione decima et primo imperii eius anno deinceps gesta sunt fideliter, enarrabimus. ipse siquidem perditissimus ac mente plane stupefactus, sive potius sanguinaria ac crudelissima fera, tyranni, non legitimi imperatoris more imperium administrans, a deo imprimis et servatore nostro Iesu Christo, et ab immaculata et sanctissima eius matre, et a sanctis omnibus, mala praestigiarum arte affectata, impuritatibus, effuso victimarum cruore, equinis stercoribus et lotiis seductus, obscoenis tactibus, et daemonibus invocandis assuetus ab infantia, studiis deinceps omnibus, quae

ἐπιτηδεύμασιν ἐκ νεαρᾶς ἡλικίας συζήσας· ἐπεὶ δὲ τὴν πα- V. 276
τρικὴν ἀρχὴν σὺν τῇ κακίᾳ παρέλαβεν, τί δεῖ λέγειν, ὅσην ἐκ
προοιμίων ὁ παμμίαρος τὴν κακίαν ἐκίσσησεν, καὶ εἰς προϋ- P. 347
πτον αὐτὴν καὶ ἐναέριον ἀνερρίπισε φλόγα; οὐ μικρὰ γὰρ
ταύτην βλέποντας τοὺς Χριστιανοὺς κατέλαβεν ἀθυμία, ὥστε
πάντας ἐκ προοιμίων εὐθὺς δι' ἰταμότητα μισῆσαι αὐτόν, καὶ
Ἀρταβάσδῳ κουροπαλάτῃ καὶ κόμητι τοῦ Ὀψικίου προστεθῆ-
ναι γαμβρῷ τε αὐτοῦ ὄντι ἐπ' ἀδελφῇ Ἄννῃ, καὶ τὴν βασι-
λείαν αὐτῷ ὡς ὀρθοδόξῳ παραδοῦναι. τῷ δ' αὐτῷ ἔτει ἀνεῖ-
λεν Ἰσὰμ ὁ τῶν Ἀράβων ἀρχηγὸς τοὺς κατὰ πᾶσαν πόλιν τῆς
ὑπ' αὐτοῦ ἀρχῆς αἰχμαλώτους Χριστιανούς, ἐν οἷς καὶ Εὐ-
στάθιος ὁ μακάριος υἱὸς Μαρίνου τοῦ περιβλέπτου πατρικίου
πολλὰ βιασθείς, καὶ τὴν αὐτοῦ εἰληκρινῆ πίστιν μὴ ἀρνησάμε- B
νος, μάρτυς ἀληθὴς ἀνεδείχθη εἰς Χαρὰν πόλιν οὖσαν τῆς
Μεσοποταμίας ἐπίσημον, ἔνθα καὶ τὰ τίμια αὐτοῦ καὶ
ἅγια λείψανα ἰάσεις παντοίας ἐπιτελοῦσι θείᾳ χάριτι· καὶ
πολλοὶ ἕτεροι διὰ μαρτυρίου καὶ αἵματος ἐν Χριστῷ ἐτελειώ-
θησαν.

Ῥωμαίων βασιλέως Κωνσταντίνου ἔτος α'. A.M. 6233

Τούτῳ τῷ ἔτει ὁ διώκτης τῶν πατροπαραδότων θεσμῶν C

8. γαμβρῷ τε αὐτοῦ A, γαμβροῦ τε αὐτῷ vulg. 10. πᾶσαν πόλιν A, πόλ. πᾶσ. vulg. 11. καὶ add. ex A. 12. Μαριανοῦ A. 14. Χαρρὰν A.

animam perdunt et perniciem ingerunt, a primis annis innutritus fuit. postquam vero paternam potestatem eiusque simul impietatem haereditario iure adiit, quis explicare valeat, quas malitiae turbas ab ipsis primordiis scelestus ille ac piaculis omnibus infectus moverit, et quas per universum orbem, tanquam per aeris spatium, malorum evomuerit flammas? non levis etenim incendiorum huiusmodi spectatores tristitia et animorum consternatio incessit, adeo ut ab imperii statim principio propter innatam truculentiam omnes exosum habuerint, et in Artabasdum curopalatem et Opsicii comitem et ob locatam sororem Annam eius generum, ceu rectum de fide sensum iugiter retinentem, bene affecti imperium studuerint transferendum. caeterum eodem anno Isam Arabum princeps Christianos captivos per singulas ditionis suae urbes ad unum interfecit, inter quos beatus Eustathius Marini spectabilis patricii filius multa passus tormenta, nec sinceram suam fidem ob id eiurans, in Charan celebri Mesopotamiae urbe, verus atque illustris martyr eluxit, ubi venerandae sanctaeque eius reliquiae, gratia dei opitulante, omnis generis praebent medelam. sed et multi alii per martyrium effuso sanguine consummati sunt.

Romanorum imperatoris Constantini annus primus. A. C. 733

Hoc anno dei iudicio ita ordinante, et offensarum nostrarum mul-

Κωνσταντῖνος ἐβασίλευσεν θείοις κρίμασι καὶ πλήθει πταισμάτων ἡμῶν. τῷ οὖν Ἰουνίῳ μηνί, εἰκόστῃ ἑβδόμῃ τῆς ἐπέκεινα δεκάτης ἰνδικτιῶνος, ἐξελθὼν ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ τῶν Ἀράβων, ἦλθεν ἐν τῇ λεγομένῃ Κρασῷ. τοῦ δὲ Ἀρταβάσδου ἐν τῷ Δορυλαίῳ μετὰ τοῦ Ὀψικίου λαοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλοις. ἀποστείλας δὲ Κωνσταντῖνος πρὸς αὐτόν, ᾐτεῖτο τοὺς υἱοὺς αὐτοῦ πεμφθῆναι αὐτῷ, ὡς, D ἅτε ἀνεψιοὺς αὐτοῦ, ποθῶν ἰδεῖν αὐτούς. σκοπὸς δὲ ἦν αὐτῷ κατασχεῖν αὐτοὺς καὶ φρουρῆσαι. ὁ δὲ τὸν δόλον νοήσας καὶ ἀπογνοὺς ἑαυτοῦ γιγνώσκων τε τὴν ἄμετρον πονηρίαν αὐτοῦ, διαλαλήσας τε τῷ λαῷ καὶ πείσας, ὥρμησε κατ' αὐτοῦ σὺν παντὶ τῷ πλήθει, καὶ τὸν μὲν πατρίκιον Βησὴρ τὸν σαρακηνόφρονα προϋπαντήσαντα ῥωμφαίᾳ ἀνεῖλεν· ὁ δὲ Κωνσταντῖνος παρίππιν εὑρὼν ἐστρωμένον καὶ ἐπιβὰς αὐτοῦ, ἔφυγεν εἰς τὸ Ἀμώριον, καὶ προσδραμὼν τῷ θέματι τῶν P. 348 ἀνατολικῶν στρατηγουμένῳ τότε ὑπὸ τοῦ Λογγίνου περισώζεται ὑπ' αὐτῶν, δεξιοῦταί τε τούτους μεγάλαις ὑποσχέσεσιν καὶ πρὸς Σισιννάκιον ἀποστέλλει εὐθὺς στρατηγὸν ὄντα τὸ τηνικαῦτα τοῦ θέματος τῶν Θρᾳκησίων, καὶ πείθει αὐτοὺς συμμαχῆσαι αὐτῷ. ἐντεῦθεν οὖν μάχαι δεινόταται καὶ ἀν-

9. τὸν add. ex A. 13. ῥομφ. A. 14. εἰς αὐτὸ A e, ἐπ' αὐτὸ f. 16. Λαγκίνου A. 18. τὸ τηνικ. A, τοῦ την. vulg. 19. τοῦ add. ex A.

titudine poenas provocante, patriorum institutorum persecutor Constantinus imperium accepit. mensis itaque Iunii die vicesimo septimo ad insequentem indictionem decimam pertinente, adversus Arabes circa Opsicii regionem expeditione suscepta, ad urbem, quae Crasus dicitur, venit. cum vero Artabasdus Opsicii militum manu comitatus Dorylaei versaretur, mutuam de se sibi invicem suspicionem ingerebant. Constantinus autem missis ad Artabasdum litteris, filios eius, ceu nepotes ex sorore, et quasi videndi eos avidus, ad se transmitti postulavit. id autem eius animo inerat consilium, ut pueros retineret et servaret sub custodia. ille dolum subodoratus, et de rebus suis desperans, ceu inexplicabilem eius nequitiam expertus, exercitum alloquitur, et ad res novandas inducit, ac mox cum copiis omnibus adversus eum suscipit profectionem, primoque belli impetu Beser Saracenica doctrina infectum sibi obviam factum ferro obtruncavit. Constantinus autem veredarium sella instructum ac forte repertum conscendit, et in Amorium se fuga surripit, tum vero ad orientalium thema, cui tunc Longinus praeerat, se recipiens, de salute securitatem accipit, ac vicissim magnis pollicitationibus eos demeretur. inde continuo ad Sisinnacium, eiusdem Thracensium thematis ducem, mittit, qui secum eos militare suaderet. hinc imperii in se ipsum armati saevissimae

θοπλισμοὶ γίγνονται τοῖς ὑπηκόοις, ἑκατέρων βασιλέων ἀναγορευομένων. Ἀρτάβασδος δὲ γράφει πρὸς Θεοφάνην τὸν πατρίκιον καὶ μάγιστρον ἐκ προσώπου ὄντα ἐν τῇ πόλει διὰ Θαλασσίου σιλεντιαρίου τὰ πραχθέντα. ὁ δὲ προσκείμενος V. 277
Ἀρταβάσδῳ, σωρεύσας τὸν λαὸν ἐν τοῖς κατηχουμένοις τῆς μεγά- B
λης ἐκκλησίας, καὶ διὰ τῶν γραμμάτων καὶ τοῦ λεχθέντος Θαλασσίου πείθει πάντας, ὡς ὁ βασιλεὺς τέθνηκεν, Ἀρτάβασδος δὲ ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς. τότε πᾶς ὁ λαὸς σὺν Ἀναστασίῳ τῷ ψευδωνύμῳ πατριάρχῃ ἀναθέματι καὶ ἀνασκαφῇ ἔβαλλον αὐτόν, ὡς ἀλάστορα καὶ ἄθεον, καὶ ἀστείως τὴν αὐτοῦ ἐδέξαντο σφαγήν, ὡς μεγίστου κακοῦ λυτρωθέντες, Ἀρτάβασδον δὲ ἀνεκήρυττον βασιλέα, ὡς ὀρθόδοξον καὶ θείων δογμάτων ὑπέρμαχον. εὐθέως οὖν ἀποστέλλει ὁ Μονούτης ἐν τοῖς Θρᾳκῴοις μέρεσι πρὸς Νικηφόρον τὸν ἴδιον υἱὸν στρα- C
τηγοῦντα τῆς Θρᾴκης τοῦ συνελάσαι τὸ ἐκεῖσε στρατόπεδον πρὸς φυλακὴν τῆς πόλεως. κλείσας οὖν τὰς τῶν τειχέων πύλας καὶ βίγλας θέμενος, τοὺς φίλους τε Κωνσταντίνου χειρωσάμενος, τύψας καὶ κουρεύσας, εἰς φυλακὰς ἀπέθετο. τοῦ δὲ Ἀρταβάσδου μετὰ τοῦ Ὀψικίου λαοῦ ἐν τῇ πόλει εἰσελθόντος, κατέλαβεν καὶ Κωνσταντῖνος ἐν τῇ Χρυσοπόλει μετὰ τῶν δύο

1. ἑκατέρων A, τῶν ἑκ. vulg. 2. τὸν add. ex A. 6. δὲ Ἀθανασίου A f. 9. τῷ add. ex A. 10. ἀντίθεον A. 11. τὴν add. ex A, item paulo post δὲ.

pugnae civiumque ad invicem conflictus, imperatoribus duobus renunciatis et ex aequo de potestate contendentibus. interim Artabasdus Theophani patricio et magistro, qui imperatoris vices in urbe gerebat, omnia quae gesta fuerant, per Thalassium silentiarium denunciat. is Artabasdo bene affectus, ad magnae ecclesiae catechumena populo collecto tum litteris tum praedicti Thalassii testimonio, imperatorem fato functum et Artabasdum a thematibus imperatorem salutatum suadet. confestim populus universus Anastasio falsi nominis patriarcha duce diris et maledictis, ceu naturae monstrum et a deo alienum, Constantinum insequitur, caedem eius quasi ingenti malo liberati gratanter excipit, et Artabasdum, velut orthodoxum et sacrorum dogmatum defensorem, imperatorem proclamat. his ita gestis Monutes Nicephorum filium Thraciae ducem, ut eius provinciae exercitum ad urbem custodiendam adduceret, misit, tum moenium portis subinde firmiter obseratis, dispositisque ad ea vigiliis, mox Constantini amicos comprehendens verberibus et capillorum detonsione castigatos in carceres detrusit. Artabasdo vero cum Opsicii copiis urbem iam ingresso, Constantinus thematibus duobus, Thracensium, dico, et orientalium, stipatus Chrysopolim advenit cumque nil

θεμάτων, θραχηείων τε, φημί, καὶ ἀνατολικῶν, καὶ μηδὲν ἰσχύσας ὑπέστρεψεν, καὶ ἐχείμασεν εἰς τὸ Ἀμώριον. ὁ δὲ Ἀρτάβασδος κατὰ πᾶσαν τὴν πόλιν τὰς ἱερὰς εἰκόνας ἀνεστήλωσεν. οἱ δὲ Ἄραβες αἰσθόμενοι τὴν τούτων κατ' ἀλλήλων
D μάχην, πολλὴν αἰχμαλωσίαν ἐποιήσαντο εἰς Ῥωμανίαν, τοῦ Σουλεϊμὰν στρατηγοῦντος αὐτοῖς. Ἀναστάσιος δὲ ὁ ψευδώνυμος πατριάρχης κρατήσας τὰ τίμια καὶ ζωοποιὰ ξύλα ὥρμει τῷ λαῷ, ὅτι μὰ τὸν προσηλωθέντα ἐν αὐτοῖς, οὕτως μοι εἶπεν Κωνσταντῖνος ὁ βασιλεύς, ὅτι μὴ λογίσῃ υἱὸν θεοῦ εἶναι ὃν ἔτεκεν ἡ Μαρία, τὸν λεγόμενον Χριστόν, εἰ μὴ ψιλὸν ἄνθρωπον. ἡ γὰρ Μαρία αὐτὸν ἔτεκεν, ὡς ἔτεκεν ἐμὲ ἡ μήτηρ μου ἡ Μαρία. καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνέκραξαν αὐτόν.

A.M. 6234 Ἀντιοχείας ἐπισκόπου Στεφάνου ἔτος α'.

P. 349 Τούτῳ τῷ ἔτει τέθνηκεν Ἰσὰμ ὁ τῶν Ἀράβων ἀρχηγός. οὗτος τὴν ἁγιωτάτην ἐκκλησίαν τῆς Ἀντιοχείας ἐπὶ μ' χρόνους χηρεύουσαν, κωλυόντων τῶν Ἀράβων γενέσθαι πατριάρ-
B χην ἐν αὐτῇ, ἔχων τινὰ προσφιλῆ μονάζοντα Σύρον, ὀνόματι Στέφανον, ἀγροικότερον μέν, εὐλαβῆ δέ, τοὺς κατὰ τὴν ἑῴαν Χριστιανούς, εἴπερ θέλοιεν συγχωρηθῆναι αὐτοῖς πατριάρχην *, ψηφίσασθαι αὐτὸν Στέφανον. οἱ δὲ θεόθεν τοῦτο νομίσαν-

4. κατάλληλον A. 19. τὴν add. ex A. 21. αὐτὸν Στ. — — — γενέσθαι om. e f.

proficeret, retro cedere coactus, ad Amorium hiberna duxit. interim Artabasdus sacras imagines per singulas civitates erexit. occasione vero duorum principum de rerum summa ad invicem contendentium, Arabes, Sulimane duce, infinitam captivorum praedam e Romanorum terris abduxerunt. caeterum Anastasius falso nomine patriarcha, veneranda ac vivifica crucis ligna manibus tenens, interposito iusiurando coram plebe disseruit: per eum, qui lignis istis suffixus est, ita mihi dixit imperator, ne dei filium, quem genuit Maria, quique Christus dicitur, uspiam reputaveris, quam simplicem ac nudum hominem. eum etenim in lucem Maria protulit, in eum modum, quo me mater mea Maria genuit. his auditis populus universus eum imperio abdicatum pronunciavit.

A.C. 734 Antiochiae episcopi Stephani annus primus.

Hoc anno Isam Arabum dux mortuus est. is sanctam Antiochiae ecclesiam pastore iam annos 40 viduatam, Arabibus nimirum patriarcham eligi prohibentibus, in priorem statum reposuit. quempiam etenim monastici instituti Syrum, nomine Stephanum, sibi familiarem, rusticum quidem, at pietate clarum, Christianis in oriente positis, si modo hunc admitterent, patriarcham eligendi liberam fecit potestatem. illi divinitus hoc fieri arbitrati, ipsum Stephanum in Antiochen-

τες γενέσθαι χειροτονοῦσιν αὐτὸν ἐν τῷ θρόνῳ Θεουπόλεως. κἀκεῖθεν ἕως τοῦ νῦν διέδραμεν τὸ ἀκώλυτον.

Τούτῳ τῷ ἔτει ἐπεκράτησεν Οὐαλὶδ υἱὸς Ἰσὰμ τῆς Ἀράβων ἀρχῆς· πρὸς ὃν Κωνσταντῖνος Ἀνδρέαν σπαθάριον, Ἀρτάβασδος δὲ Γρηγόριον λογοθέτην ἐξέπεμψαν, τὰ πρὸς συμμαχίαν ζητοῦντες ἀμφότεροι· ἀβροχίας δὲ πολλῆς γενο- C μένης καὶ σεισμοῦ κατὰ τόπους, ὡς ἐνωθῆναι ὄρη πρὸς ἄλληλα κατὰ τὴν ἔρημον Σαβᾶ, καὶ κώμας ὑπὸ γῆν καταπτω- V. 278 σθῆναι. τῷ δ' αὐτῷ ἔτει Κοσμᾶς ὁ πατριάρχης Ἀλεξανδρείας ὠρθοδόξησε σὺν τῇ πόλει αὐτοῦ ἐκ τῆς τῶν μονοθελητῶν κακοδοξίας, κρατησάσης ἀπὸ Κύρου τοῦ ἐπὶ Ἡρακλείου ἐπισκόπου Ἀλεξανδρείας. ἐπεστράτευσε δὲ Γάμερ τὴν Ῥωμανίαν μετὰ πλήθους Ἀράβων, καὶ πολλοὺς αἰχμαλωτεύσας, ὑπέστρεψεν. ἐφάνη δὲ σημεῖον ἐν τῷ οὐρανῷ κατὰ βορρᾶν μηνὶ Ἰουνίῳ. Οὐαλὶδ δὲ Πέτρον τὸν ἁγιώτατον μητροπολίτην Δα- μασκοῦ γλωττοτομηθῆναι ἐκέλευσε, ὡς ἀναφανδὸν ἐλέγχοντα D τὴν τῶν Ἀράβων καὶ Μανιχαίων δυσσέβειαν. ἐξώρισεν δὲ αὐτὸν κατὰ τὴν εὐδαίμονα Ἀραβίαν, ἔνθα καὶ τελειοῦται μαρτυρήσας ὑπὲρ Χριστοῦ, καὶ τρανῶς ἐκφωνήσας τὴν θείαν λειτουργίαν, ὡς οἱ διηγησάμενοί φασιν ἰδίαις ἀκοαῖς τοῦτο

2. τοῦ om. A. 8. καταποθῆναι A. 10. αὐτοῦ A e f, αὐτῇ vulg. 12. Ἄμερ A. 14. ἐν τῷ οὐρανῷ add. ex A. 20. τοῦτο add. ex A.

sium Theupoleos sede episcopum collocant, atque ita ad hodiernum usque diem eligendo patriarchae nullum impedimentum a Saracenis affertur.

Hoc anno Valid filius Isam Arabum principatu potitus est, ad quem Constantinus Andream spatharium, Artabasdus vero Gregorium logothetam, ambo suppetias sibi dari postulantes, miserunt. diuturna vero imbris penuria et terrae motus varia loca adeo concusserunt, ut in deserto Saba montium cacumina ad invicem colliderentur, et pagi terra absorberentur. eodem etiam anno Cosmas Alexandriae patriarcha cum ipsa civitate, monotheletarum pravitate a Cyri, qui sub Heraclio vixit, temporibus eam civitatem obtinente, abiurata, et errore cognito ad orthodoxam ecclesiam rediit. porro Gamer Saracenorum copiis comitatus in Romaniam impressionem fecit, et collecta ingenti captivorum praeda, in patriam remeavit. mense Iunio signum ad septentrionalem caeli partem apparuit. porro Valid Petro sanctissimo Damasci metropolitae, ceu Arabum et Manichaeorum impietatem palam arguenti, linguam praescindi iussit, et in felicem Arabiam exulem deportari. ibi pro Christo martyrium passus, distinctisque apertae loquelae verbis sacrum celebrans, ut qui retulerunt proprio auditu se percepisse confirmant, morte consummatur. eius aemulus et eiusdem

πεπληροφορεῖσθαι. τούτου ζηλωτὴς καὶ ὁμώνυμος Πέτρος, ὁ κατὰ τὸν Μαϊουμᾶν ἐν τοῖς αὐτοῖς ἀνεδείχθη χρόνοις, μάρτυς ὑπὲρ Χριστοῦ αὐτομόλως. νόσῳ γὰρ συσχεθείς, προσεκαλέσατο τοὺς τῶν Ἀράβων ἄρχοντας, ἅτε συνήθεις αὐτῷ ὄντας, χαρτουλαρίῳ τελοῦντι τῶν δημοσίων φόρων, καί φησι πρὸς αὐτούς· τὸν μὲν ὑπὲρ τῆς ἐπισκέψεως μισθὸν παρὰ
P. 350 θεοῦ λάβοιτε, κἂν ἄπιστοι τυγχάνητε φίλοι. τῆς διαθήκης δέ μου μάρτυρας ὑμᾶς εἶναι βούλομαι τοιαύτης οὔσης· πᾶς ὁ μὴ πιστεύων εἰς πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὸ ὁμοούσιον καὶ ζωαρχικὴν ἐν μονάδι τριάδα, πεπήρωται τὴν ψυχήν, καὶ τῆς αἰωνίου κολάσεώς ἐστιν ἄξιος. τοιοῦτός ἐστιν καὶ ὁ Μουαμὲδ ὁ ψευδοπροφήτης ὑμῶν καὶ τοῦ Ἀντιχρίστου πρόδρομος· ἀπόστητε οὖν, εἰ ἐμοὶ πείθεσθε μαρτυρομένῳ σήμερον ὑμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν, τῆς ἐκείνου μυθολογίας. εὐνοῶ γὰρ ὑμῖν σήμερον, ἵνα μὴ σὺν ἐκείνῳ κολασθῆ-
Bτε. ταῦτα καὶ ἄλλα πλεῖστα θεολογοῦντος αὐτοῦ ἀκούσαντες θάμβει τε καὶ μανίᾳ συσχεθέντες, μακροθυμεῖν ἔδοξαν, ὡς ἐκ τῆς νόσου παραφρονοῦντα τοῦτον οἰόμενοι· μετὰ δὲ τὸ διαγενέσθαι αὐτὸν ἐκ τῆς νόσου, ἤρξατο μεγαλοφωνότερον ἀνα-

1. καὶ ὁμών. A, καὶ ὁ ὁμ. vulg. 2. αὐτοῖς] αὐτόθι A f. 3. αὐτόμολος A. 5. χαρτουλαρίῳ τελ. A, χαρτουλαρίων τε τελ. vulg. 7. εἰ καὶ — τυγχάνετε A. τῆς add. ex A. 12. καὶ prius add. ex A. 14. σήμ. ὑμῖν A, ὑμ. σήμ. vulg. 18. παραφρονοῦντα — — — νόσου om. A. 19. μεγαλοφ. A, μεγαφ. vulg.

nominis consors Petrus apud Maiumam insigne pro Christo martyrium sub haec tempora sponte tulit. morbo quippe detentus, Arabum proceres, ceu ex chartularii publicorum vectigalium munere ipsis notus, sibi familiares ad privatum colloquium invitavit. tum is ad illos, vestrae huius, inquit, ad me visitandum profectionis mercedem a deo recipiatis precor; licet enim fidei luce privati, amici tamen estis censendi. testamenti itaque mei, quod huiusmodi est, volo vos esse testes: qui non credit in patrem, filium et spiritum sanctum, consubstantialem et vivificam in unitate naturae personarum trinitatem, is animae oculis occaecatus est, et aeterno supplicio dignus. Muamed falsus vester vates et Antichristi praecursor eiusmodi exsitit. quamobrem si mihi nunc caelum et terram coram vobis obtestanti aliquatenus fidem adhibetis, fabulosam et deliram eius doctrinam eiurate. hoc necessitudinis erga vos meae praesens argumentum benevolum hoc admittite consilium, ne parem cum eo cruciatum sustineatis. Arabes sacros istos et pares alios sermones explicantem audientes, et una simul stupore et insania correpti, virum bene valere iusserunt, tanquam in mentis delirium eum lapsum arbitrati. is ubi vires ex

κράζειν· ἀνάθεμα Μουαμὲδ καὶ τῇ μυθογραφίᾳ αὐτοῦ, καὶ πᾶσι τοῖς πιστεύουσιν αὐτῇ. τότε τὴν διὰ ξίφους τιμωρίαν ὑποστάς, μάρτυς ἀνεδείχθη. τοῦτον ἐγκωμίοις λόγων τετίμηκεν ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ καλῶς ἐπικληθεὶς Χρυσορρόας διὰ τὴν ἐπανθοῦσαν αὐτῷ τοῦ πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν, ὃν Κωνσταντῖνος ὁ δυσσεβὴς βασι- C
λεὺς ἐτησίῳ καθυπέβαλεν ἀναθέματι διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτῷ ὀρθοδοξίαν, καὶ ἀντὶ τοῦ παππικοῦ ὀνόματος αὐτοῦ Μανσούρ, ὃ ἑρμηνεύεται λελυτρωμένος, Μανζηρὸν Ἰουδαϊκῷ φρονήματι μετονομάσας τὸν νέον τῆς ἐκκλησίας διδάσκαλον.

Τῷ δ' αὐτῷ ἔτει μηνὶ Μαΐῳ Ἀρταβασδος ἐπὶ τὰ μέρη τοῦ Ὀψικίου ἐξελθών, τὴν Ἀσίαν στρατολογήσας κατέλαβεν, ἐκπορθῶν αὐτήν. Κωνσταντῖνος δὲ τοῦτο μαθών, ἐκίνησεν κατ' αὐτοῦ. καταλαβὼν δὲ αὐτὸν εἰς τὰ μέρη τῆς Σάρδης ἀπὸ τοῦ Κελβιανοῦ ἀνερχόμενον καὶ συμβαλὼν μετ' αὐτοῦ πόλεμον, τρέπει αὐτὸν καὶ καταδιώκει μέχρι Κυζίκου. ὁ δὲ D
τὴν Κύζικον καταλαβών, καὶ εἰς δρόμωνα εἰσελθών, διασώζεται ἐν τῇ πόλει. μηνὶ δὲ Αὐγούστῳ τῆς αὐτῆς ἰα' ἰνδι- V. 279
κτιῶνος Νικήτας ὁ μονοστράτηγος υἱὸς Ἀρταβάσδου συμβαλὼν

1. καὶ τῇ A, ἐκ τῇ vulg. 5. ἐπανθοῦσαν[οὖσαν A. τοῦ πνεύματος — — — — ὑπερβ. ἐν αὐτῷ om. a. 10. ἐκκλησίας A, ἡλικίας vulg. 15. αὐτὸν add. ex A. 16. καὶ συμβ. A, συμβ. vulg.

infirmitate recepit, valida voce publice vociferari: anathema Muamed et fabulosae eius doctrinae credentibusque in eum omnibus. extemplo gladii poenae suppositus, martyr declaratur. eum orationum suarum encomiis sanctus pater noster Ioannes, ob eloquii sanctitatisque velut aureo fulgore radiantem spiritualem gratiam Chrysorrhoas recte cognominatus, celebravit. Ioannem etiam istum Constantinus impius imperator execrationibus annuatim renovatis ob eminentem illius in recta fide doctrinam subiicere solebat, et Mansur aviti nominis, quod vertitur redemptus, vice, Manzerum novum ecclesiae doctorem sensu plane Iudaico vocitabat.

Eiusdem etiam anni mense Maio ad Opsicii regionem profectus Artabasdus, Asiam, dum iter ageret, sub potestatem redegit, et provinciam depopulatus est. eo comperto Constantinus copias in eum eduxit. ubi Sardium attigit fines a Celbiano redeuntem offendit, et manibus cum eo consertis, in fugam vertit, et ad Cyzicum usque insequitur. ille Cyzicum ingressus, dromonem subinde conscendit, et in urbem salvum se recipit. mense autem Augusto eiusdem undecimae indictionis Artabasdi filius supremus copiarum eius ductor ad Modrinen cum Constantino bello congressus fugam arripit, Tiridates

Κωνσταντίνῳ εἰς πόλεμον πρὸς τῇ Μοδρινῇ φεύγει τραπείς, καὶ τὸν μὲν πατρίκιον Τηριδάτην τὸν Ἀρμένιον στρατιώτην γενναῖον ὑπάρχοντα καὶ ἐξάδελφον Ἀρταβάσδου σὺν ἄλλοις ἐπιλέκτοις ἄρχουσιν ἀνεῖλεν. ἑκατέρων δὲ τῶν μερῶν πτῶσις οὐ μικρὰ γέγονεν Ἀρμενίων τε καὶ Ἀρμενιακῶν μαχησαμένων πρὸς ἀνατολικοὺς καὶ Θρᾳκησίους τοὺς ὑπερμάχους τοῦ Κωνσταντίνου. ὁ δὲ ἀρχέκακος διάβολος τοιαύτην κατὰ τῶν Χριστιανῶν ἤγειρεν μανίαν κατὰ τοὺς χρόνους τούτους καὶ

P. 351 *ἀλληλοσφαγίας, ὥστε τέκνα κατὰ γονέων καὶ ἀδελφοὺς κατὰ ἀδελφῶν συγκινεῖσθαι ἀφειδῶς εἰς σφαγήν, καὶ ἀνηλεῶς ἐμπυρίζειν τὰς ἀλλήλοις ὑπαρχούσας στάσεις τε καὶ οἰκίας.*

A.M. 6235 *Ἀράβων ἀρχηγοῦ Οὐαλὶδ ἔτος α'.*

Τούτῳ τῷ ἔτει κατὰ βορρᾶν ἐφάνη σημεῖον, καὶ κίων

B *κατῆλθεν εἰς τόπους. γέγονε δὲ καὶ σεισμὸς εἰς τὰς Κασπίας πύλας· καὶ ἀνηρέθη Οὐαλὶδ ὑπὸ τῶν Ἀράβων μηνὶ Ἀπριλλίῳ ις', ἡμέρᾳ ε', ἄρξας ἔτος α', καὶ κρατεῖ τῆς ἀρχῆς Ἰζὶδ ὁ Λειψός. οὗτος χρήματα πολλὰ σκορπίσας ἐκράτησε τὴν Δαμασκόν, καὶ δεξιὰς ἔλαβεν τοῦ ἄρχειν ἐκ τῶν κατὰ τὴν Δαμασκὸν καὶ Περσίδα καὶ Αἴγυπτον Ἀράβων. Μαρουὰν υἱὸς Μουαμὲδ τὴν Ἀρμενίαν διέπων ἀκούσας ταῦτα, καταλαμβάνει τὴν Μεσοποταμίαν, ὑπερμαχῶν τῷ δοκεῖν τῶν τέ-*

2. τῶν Ἀρμενίων A. 4. ἀνεῖλεν A, ἀνεῖλον vulg. δὲ add. ex A. 9. ἀλληλοφαγίας a. 11. τε add. ex A. 18. ἐκ τῶν mg. Par., ἐκ τοῦ vulg.

patricius Armenius miles generosus, Artabasdi consobrinus, cum selectis aliis proceribus cadit, Armeniorum et Armeniacorum adversus orientales et Thracenses Constantini ius defendentes depugnantium caedes utrimque haud minima facta. calamitatis omnis auctor diabolus talem inter Christianos dementationem et caedes reciprocas sub haec tempora excitavit, ut filii adversus parentes, et fratres in fratres necem nullo sanguinis aut indulgentiae discrimine irruerent, suasque invicem ipsorum domus atque facultates citra illati damni sensum flammis perderent.

A. C. 735 Arabum ducis Valid annus primus.

Hoc anno in boreali caeli parte signum apparuit, pulvisque imbris instar in diversa loca decidit. ad Caspias etiam portas terrae motus contigit. mensis Aprilis die decimo sexto, hebdomadis feria quinta, Valid Arabum factione sublatus post imperii annum unicum, cui filius Izid cognomento Leipsus, id est diminutus, successit. is maxima pecuniarum vi erogata, Damascum obtinuit, atque ab Arabibus, qui Damascum, Persidem et Aegyptum incolebant, dextras in imperii confirmationem accepit. Marvam autem filius Muamed, Armeniae rector, his auditis Mesopotamiam occupat, filios Valid, ut videbatur, in tute-

κνων Οὐαλίδ, καὶ ἐναντιούμενος τῷ Ἰζίδ. καὶ μετὰ μῆνας ε' θνήσκει ὁ Ἰζίδ καταλείψας Ἀβραΐμ τὸν ἑαυτοῦ ἀδελφὸν ἐπὶ C τῆς Δαμασκοῦ διάδοχον. τούτῳ παραταξάμενος Μαρουὰμ ἔχων τοὺς τῆς Μεσοποταμίας ἔρχεται εἰς Ἔδεσσαν, κἀκεῖθεν εἰς τὰ μέρη Δαμασκοῦ καὶ Ἀντιλιβάνου, εἰς κάμπον λεγόμενον Γαρίς. κἀκεῖ συμβαλὼν τῷ Σουλεϊμάν, [θνήσκει] παρὰ τῷ ποταμῷ Λιτᾷ, τοῦτ' ἔστι Κακῷ, τρέπει αὐτόν, καὶ ἀναιρεῖ χιλιάδας κ', καὶ μόνος Σουλεϊμὰν μετ' ὀλίγων φυγὰς κατὰ τὴν Δαμασκὸν διασώζεται. εἰσελθὼν δὲ ἐν αὐτῇ ἀνεῖλεν τοὺς υἱοὺς Οὐαλίδ, ὧν ὑπερμαχεῖν ἐδόκει Μαρουάμ, καὶ ἐξῆλθεν τῆς Δαμασκοῦ, χρήματα σφετερισάμενος ἱκανά. καταλαβὼν δὲ καὶ Μαρουὰμ τὴν Δαμασκόν, ἀνεῖλεν πολλοὺς τῶν ὑπερεχόντων καὶ τοὺς συνεργήσαντας τῷ φόνῳ τοῦ Οὐαλὶδ καὶ D τῶν τέκνων αὐτοῦ, καὶ ἄλλους ἠκρωτηρίασεν. τὰ δὲ χρήματα καὶ τοὺς θησαυροὺς ἅπαντας μετέστησεν εἰς Χαρρὰν τὴν πόλιν Μεσοποταμίας.

Τῷ δὲ Σεπτεμβρίῳ μηνὶ δεκάτῃ καὶ δευτέρᾳ ἰνδικτιῶνι κατελθὼν Κωνσταντῖνος ἐπὶ τὰ μέρη Χαλκηδόνος, ἀντεπέρασεν ἐν τοῖς Θρᾳκῴοις μέρεσιν, Σισιννίου τοῦ στρατηγοῦ τῶν Θρᾳκησίων διὰ τῆς Ἀβύδου περάσαντος, καὶ τῷ χερσαίῳ τεί-

4. κἀθεῖθεν A, ἐκεῖθεν vulg. 5. εἰς τόπον λεγ. A e. 6. θνήσκει — — — Σουλεϊμὰν om. A, θνήσκει omnino expungendum videtur. 8. μετ' ὀλίγον A. 13. τοῦ Ἀλὶδ vulg. 14. καὶ ἄλλους A, καὶ τοὺς ἄλλ. vulg. 20. τείχει A, τείχη vulg.

lam accepturus, et Izid adversarium se oppositurus. post menses vero quinque moritur Izid, fratre suo Abraim Damasci successore relicto, adversus quem Marvam exercitum ex Mesopotamiae Arabibus instruens Edessam venit, indeque versus Damascum et Antilibanum in campum, qui dicitur Garis, praelioque ibi ad fluvium Litam, id est Malum, inito cum Sulimane, ipsum fugat, et ex eius copiis hominum viginti millia delet, adeo ut Suliman cum paucis ac ferme solus Damascum fugam arripuerit. is urbem ingressus filios Valid, quorum partes tueri Marvam videbatur, e medio sustulit, et magna pecuniarum vi sibi addicta loco excedit. Marvam demum Damascum perveniens, multos ex proceribus eosque etiamnum qui Valid et liberorum eius mortis se praebuerant auctores interfecit, reliquos membris mutilatos vivere permisit, pecuniam autem omnesque thesauros Charram Mesopotamiae urbem transportavit.

Mense vero Septembri duodecima indictione Constantinus Chalcedonem versus profectus, traiecto freto, in Thraciam perrexit, Sisinnio Thracensium duce ad Abydum transfretante, ac subinde Byzantii muros, qui continentem spectant, obsidente. is ubi Charsii portam

χει παρακαθίσαντος. καὶ ἐλθὼν ἐπὶ τὴν Χαρσίου πόρτα διέδραμεν ἕως τῆς Χρυσῆς πόρτης ἑαυτὸν τοῖς ὄχλοις ἐπιδεικνύων, καὶ πάλιν ὑπέστρεψεν, καὶ ἠπλίκευσεν εἰς τὸν ἅγιον
P. 351 Μάμαντα. οἱ δὲ τῆς πόλεως ἤρξαντο στενοῦσθαι εἰς τὰς δαπάνας, καὶ ἀποστείλας Ἀθανάσιον τὸν ἀσηκρήτις καὶ Ἀρτα-
V. 280 βασδον τὸν δομέστικον αὐτοῦ πρὸς τὸ κομίσαι δαπάνας διὰ σκαφῶν εὗρεν τούτους ὁ στόλος τῶν Κιβυρραιωτῶν ἔξω τῆς Ἀβύδου, καὶ τούτους κατασχὼν πρὸς τὸν βασιλέα ἀνήγαγε, καὶ τὸν μὲν σῖτον τοῖς ἰδίοις λαοῖς ἐδωρήσατο, Ἀθανάσιον δὲ καὶ Ἀρτάβασδον παραυτὰ ἐτύφλωσεν. μετὰ ταῦτα ἐθεσ-
μασεν Ἀρτάβασδος ἀνοῖξαι τὰς τοῦ χερσαίου τείχους πόρτας, καὶ συμβαλεῖν πόλεμον μετὰ τοῦ Κωνσταντίνου. καὶ γενομένης συμβολῆς, ἐτράπησαν οἱ τοῦ Ἀρταβάσδου, καὶ πολλοὶ
B ἀπέθανον, ἐν οἷς καὶ ὁ Μονούτης· κατασκευάσας δὲ Ἀρτάβασδος καϊκαβοπυρφόρους ἀπέστειλεν εἰς τὸν ἅγιον Μάμαντα κατὰ τοῦ στόλου τῶν Κιβυρραιωτῶν, καὶ ἀπήλασεν αὐτούς. ἐγένετο δὲ λιμὸς ἰσχυρὸς ἐν τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων δώδεκα, τοῦ δὲ ὀσπρίου ἐννεακαίδεκα, τοῦ δὲ κέγχρου καὶ τοῦ λουπίνου νομισμάτων ὀκτώ, τὸ δὲ ἔλαιον πέντε λίτρας τοῦ νομίσματος, καὶ ὁ ξέστης

1. πόριαν A, πόρτην vulg. 7. Κυβερεωτῶν A. 14. ὁ add. ex A. 15. καϊκαβοπορφύρους A. 16. ἀπήλασεν A, ἐξήλασαν vulg. 17. ἐγέν. δὲ A, καὶ ἐγ. δὲ vulg. 18. νομισμάτων A, νομίσματα vulg. utrobique. τοῦ δὲ ὀσπρίου νομ. ἐννεακ. add. ex A.

hostis impietatem exasperatam, et adversum ecclesias tyrannidem eiusdem armatam, ceu quondam diaboli malitiam per piscatorum et hominum imperitorum infirmitatem prostravit, omnino expurgaret. a commisso vero sibi imperio diebus quadraginta, filio annum duodecimum numerante, nonnulli senatorum ac procerum Nicephorum excaesarem in medium exponere et imperatorem constituere consilium inierunt. sed coniuratione comperta, Gregorius publici cursus logotheta, Bardas nuper Armeniacorum dux, Constantinus vicarii spatharius et excubitorum domesticus, Theophylactus Rangabe filius et Duodecim insularum drungarius, et alii plurimi comprehensi, quos verberibus caesos et capillis tonsos in diversa loca relegavit Irene, caesares autem et nobilissimos viri sui fratres capitibus rasos sacerdotio inauguratos in Christi natalium festo sacramenta populo impertiri praecepit, quo ipsa publice regioque apparatu una cum filio procedens, sublatum a viro stemma gemmis et lapidibus distinctum ecclesiae restituit simul et obtulit. Elpidium autem Siciliae, quam prius administraverat, ducem praefecit, et mense Februario in provinciam dimisit, mensisque Aprilis subinde die decimo quinto Elpidium eundem tanquam in

ἀπέδοσαν αὐτὸν οἱ Σικελοί. ἡ δὲ τὴν γυναῖκα αὐτοῦ δείρασα καὶ κουρεύσασα σὺν τοῖς υἱοῖς τῷ πραιτωρίῳ παρέπεμψεν φυλάττεσθαι. τῷ δὲ Ἰουνίῳ μηνὶ ἀπέστειλεν πάντα τὰ περατικὰ θέματα εἰς τὰς κλεισούρας φυλάττειν καὶ ἐπιτηρεῖν τὴν ἔξοδον τῶν Ἀράβων, ἐπιστήσασα αὐτοῖς κεφαλὴν Ἰωάννην τὸν
D σακελλάριον εὐνοῦχον ὄντα καὶ οἰκειακὸν αὐτῆς. ὁ δὲ Μαδὶ ἀπέστειλεν Κεβὴρ μετὰ δυνάμεως πολλῆς, καὶ συναντῶσιν ἀλλήλοις ἐν τόπῳ λεγομένῳ Μήλῳ. καὶ κροτηθέντος πολέμου, ἡττῶνται οἱ Ἄραβες, καὶ κτείνονται ἐξ αὐτῶν πολλοί, καὶ ὑπέστρεψαν μετ' αἰσχύνης. ἤρξαντο δὲ οἱ εὐσεβεῖς παρ-
5 ρησιάζεσθαι, καὶ ὁ λόγος τοῦ θεοῦ πλατύνεσθαι, καὶ οἱ θέλοντες σωθῆναι ἀποτάσσεσθαι, καὶ ἡ δοξολογία τοῦ θεοῦ ὑψοῦσθαι, καὶ τὰ μοναστήρια ἀναρρύεσθαι, καὶ πᾶν ἀγαθὸν φανεροῦσθαι. ἐν γοῦν τούτῳ τῷ χρόνῳ ἐν τοῖς Μακροῖς τεί-
P. 384 χεσι τῆς Θράκης ἄνθρωπός τις ὀρύττων εὗρεν λάρνακα, καὶ
5 τοῦτον ἀποκαθάρας καὶ ἀποσκεπάσας, εὗρεν ἄνδρα κείμενον, καὶ γράμματα κεκολαμμένα ἐν τῷ λάρνακι περιέχοντα τάδε· Χριστὸς μέλλει γεννᾶσθαι ἐκ Μαρίας τῆς παρθένου, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων, ὦ ἥλιε, πάλιν με ὄψει.
20

2. *υἱοῖς* A, *υἱοῖς αὐτοῦ* vulg. 5. *τὸν* add. ex A. 8. *Μήλῳ* A. 11. *καὶ οἱ θέλοντες — — — φανεροῦσθαι* om. A e f. 20. *ὄψει* A, *ὄψεις* vulg.

caesarum mentem inclinantem accusatum, misso Theophilo spathario, quantocius rapi et ad se adduci iussit. sed cum Theophilus in provinciam appulisset, Siculi ducem ei tradere recusarunt. quare coniugem eius caesam et capite tonsam una cum filiis sub custodia detinendam in praetorium transmisit. porro Iunio mense clusuris custodiendis, et cohibendis Arabum excursibus copias omnes transfretanas expedivit, Ioanne sacellario eunucho proprio domestico eisdem in caput et praefectum assignato. ex adverso Madi militiam hostilem Ceber duce comparavit et instruxit. occurrunt itaque invicem oppositae sibi acies ad locum, cui nomen Melus, et inito certamine vincuntur Arabes, et plurimis eorum caesis, cum ignominia reversi sunt. tunc temporis deo quique devoti liberius eum colere, verbum dei propagari, qui salutem quaererent, haeresibus nuncium mittere, dei laudes efferri, asseri in libertatem monasteria, bonum omne denique reparari. sub hoc quoque tempus quidam ad Longos Thraciae muros fodiens tumulum offendit, quo terra et pulvere mundato atque recluso, virum intus iacentem litterasque urnae insculptas in hanc sententiam invenit: Christus ex Maria virgine nascetur, et credo in eum. sub Constantino et Irene, o sol, iterum me videbis.

Τούτῳ τῷ ἔτει ἀπέστειλεν Εἰρήνη Κωνσταντῖνον σακελλά- A.M. 6274
ριον καὶ Μάμαλον πριμικήριον πρὸς Κάρουλον ῥῆγα τῶν
Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα, Ἐρυθρὼ λεγομένην,
νυμφεύσηται τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς. καὶ γε- B
νομένης συμφωνίας καὶ ὅρκων ἀναμεταξὺ ἀλλήλων, κατέλιπεν
Ἐλισσαῖον τὸν εὐνοῦχον καὶ νοτάριον πρὸς τὸ διδάξαι αὐτὴν
τάτε τῶν Γραικῶν γράμματα καὶ τὴν γλῶσσαν, καὶ παιδεῦ-
σαι αὐτὴν τὰ ἤθη τῆς Ῥωμαίων βασιλείας. ἐξοπλίσασα δὲ
στόλον πολὺν καὶ λαὸν ἐπίλεκτον ἐκ τῶν θεμάτων, καὶ ἄρχον-
τας ἱκανοὺς προεβάλετο Θεόδωρον πατρίκιον καὶ εὐνοῦχον,
ἄνδρα δραστήριον, καὶ ἀπέλυσεν ἐν Σικελίᾳ κατὰ τοῦ Ἐλπι-
δίου. πολλῶν δὲ πολέμων γεγονότων ἐνίκησαν οἱ περὶ Θεό-
δωρον. ἰδὼν δὲ Ἐλπίδιος καὶ φοβηθείς, λαβὼν ὅσα εἶχεν C
χρήματα καὶ Νικηφόρον τὸν Δοῦκα ἐπέρασεν εἰς Ἀφρικήν·
καὶ λαβὼν λόγον ἀπαθείας προσερρύη τοῖς Ἄραψι, ὃν δε-
ξάμενοι ὡς βασιλέα Ῥωμαίων κατεῖχον, στέψαντες αὐτὸν εἰς
μάτην, καὶ περιθέντες τζαγγίον καὶ στέφανον. τοῦ δὲ λαοῦ
τῶν Ῥωμαίων ἀσχολουμένου ἐν τούτοις, ἐξέρχεται Ἀαρὼν
υἱὸς Μαδὶ μετὰ δυνάμεως καὶ ἐξοπλίσεως ὑπερβαλλούσης
ἀπό τε Μαυροφόρων καὶ πάσης τῆς Συρίας καὶ Μεσοποτα-

1. *Κωνστάν. τὸν Σακ.* A. 2. *τὸν πριμμ.* — *τὸν ῥῆγα* A.
7. *τῶν γυναικῶν γρ.* f. 9. *ἐκ τ. θέμ.* add. ex A. 10. *προε-*
βάλετο A, *προεβάλλ.* vulg. 17. *ὡς* add. ex A.

Hoc anno Irene Constantinum sacellarium, et Mamalum primice- A.C. 774
rium ad Carolum Francorum regem delegavit, filiae eius Erythrus nomine filio suo Constantino coniugis petendae gratia. pactisque conventis et iureiurando ab utraque parte firmatis, Elisaeum eunuchum et notarium, qui Graecorum litteras et linguam receptosque per imperium Romanum mores eam edoceret, reliquit. imperatrix interea classe ingenti comparata militumque selectorum et procerum idoneorum et in bello exercitatorum exercitu imposito, Theodorum patricium virum, eunuchum quidem, sed in bellis agendis strenuum, in Siciliam adversus Elpidium misit. multis autem praeliis ibi fortiter commissis, integra tandem victoria in Theodori partes cessit. quo conspecto consternatus timore Elpidius, sublatis cum Nicephoro Duca, quas habebat divitiis, secessit in Africam, et securitatis fide accepta, ad Arabes defecit; eum mox susceptum, imperii corona redimitum, et calceamentis eiusdem dignitatis symbolo ornatum, et imperatorem renunciatum, incassum apud se detinuerunt. exercitu Romano in his occupato, Aaron filius Madi expeditionem suscepit viribus atque apparatu maximam, copiis ex Maurophoris, universaque Syria, Mesopotamia et deserto collectis: relictoque Bunuso, qui Nacoliam obside-

μίας καὶ τῆς ἐρήμου, καὶ ἔρχεται ἕως Χρυσοπόλεως, καταλιπὼν τὸν Βουνουσὸν πολιορκεῖν τὴν Νακώλειαν καὶ φυλάττειν τὰ ὑπ' αὐτοῦ. ἀπέστειλεν δὲ καὶ τὸν Βουρνιχὲ εἰς Δείν
D μετὰ τριάκοντα χιλιάδων, ὃς καὶ πολεμήσας τὸν Λαχανοδράκοντα σὺν τῷ θέματι τῶν Θρᾳκησίων, ἐν τόπῳ λεγομένῳ Δαρηνῷ, καὶ αὐτῶν τριάκοντα χιλιάδων ὄντων δεκαπέντε χι-
V. 306 λιάδες ἀπέκτεινεν. ἡ δὲ βασίλισσα πέμψασα Ἀντώνιον τὸν μέστικον σὺν τοῖς τάγμασιν ἐκράτησε τὴν Βανῆν, καὶ ἐκκλεισεν αὐτούς. προσέφυγεν δὲ αὐτοῖς Τατζάτιος ὁ τῶν Βουκελλαρίων στρατηγὸς μίσει τῷ πρὸς Σταυράκιον τὸν πατρίκιον καὶ λογοθέτην τοῦ δρόμου, τὸν εὐνοῦχον, πρωτεύοντα πάντων τῶν τηνικαῦτα ὄντων καὶ τὰ πάντα διοικοῦντα. καὶ δοὺς αὐτοῖς βουλήν, ᾐτήσαντο εἰρήνην. ἐξελθόντων δὲ ἐπὶ τοῦτο Σταυρακίου καὶ Πέτρου μαγίστρου καὶ Ἀντωνίου δομεστίκου, οὐκ ἠρι-
P. 385 βολόγησαν τὸν λόγον [λαβεῖν καὶ τέκνα τῶν πρωτευόντων]· ἀλλ' ἀσκόπως ἐξελθόντες ἐκρατήθησαν ὑπ' αὐτῶν καὶ ἐπεδέθησαν, καὶ ἐβιάσθησαν ἀμφότερα τὰ μέρη τοῦ ποιῆσαι εἰρήνην· καὶ ἐδωρήσαντο ἀλλήλους ἥ τε Λύγουστα καὶ ὁ Ἀαρὼν ξένια πολλά, στοιχήσαντες καὶ κατὰ καιρὸν τελεῖν αὐτοῖς· καὶ γενομένης εἰρήνης ἀνεχώρησαν ἀφέντες καὶ τὸ κάστρον

3. *Βουρχὲ* A. 7. *ἀπέκτεινεν* A, *ἀπέκτειναν* vulg. 9. *Ταζάτιος*, nomen add. ex A. 13. *ᾐτήσατο* A. 14. *ἠκροβολόγησαν τὸν λόγον* A, *ἠκροβολογήσαντο λόγον* vulg. 15. *λαβεῖν καὶ τ. τ. πρωτευόντων* om. A f. 18. *ἐδωρήσαντο* A, *ἐποιήσαντο* vulg. 20. *ἀφέντες* A, *ἀφῆσαν δὲ* vulg.

ret, seque a tergo tutaretur, Chrysopolim usque profectus est. praeterea Burniche cum hominum triginta millibus in Asiam misit, qui cum Lachanodracone et Thracensium themate ad locum, quem Darenum dicunt, manibus consertis, ex acie hominum millibus triginta composita, ad millia quindecim amisit. quare imperatrix Antonio domestico eum copiis misso Banem tenuit, ipsosque interclusit. dux porro Bucellariorum Tatzatius desertor fidei ad eos transiit, concepto nimirum odio adversus Stauracium patricium et publici cursus logothetam, eunuchum, qui tum inter omnes primas occupabat et rerum summam administrabat. tale vero suggessit consilium, ut pacem peterent. quamobrem in medium progressi Stauracius, Petrus magister et Antonius domesticus, non satis caute cum illis egerunt, ut aliorum fidem sibi obstringerent, et optimatum filios in obsides sibi dari providerent. temere itaque convenientes ab adversa parte retenti, vinculis compediti sunt, atque ita utrique pacem vi adacti composuerunt: cumque se mutuis muneribus Augusta et Aaron excepissent, id maxime pacti sunt, ut in annos singulos ipsis tributum solveret. pace

Νακωλείας. ἐπῆρεν δὲ καὶ ὁ Τατζάτις τὴν γυναῖκα ἑαυτοῦ καὶ πᾶσαν τὴν ὑπόστασιν.

Τούτῳ τῷ ἔτει εἰρηνεύσασα Εἰρήνη μετὰ τῶν Ἀράβων A.M. 6275
καὶ ἄδειαν εὑροῦσα, ἀποστέλλει Σταυράκιον τὸν πατρίκιον καὶ B
λογοθέτην τοῦ ὀξέος δρόμου μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβίνων ἐθνῶν. καὶ κατελθὼν ἐπὶ Θεσσαλονίκην καὶ Ἑλλάδα, ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ. εἰσῆλθεν δὲ καὶ ἐν Πελοποννήσῳ, καὶ πολλὴν αἰχμαλωσίαν καὶ λάφυρα ἤγαγεν τῇ τῶν Ῥωμαίων βασιλείᾳ.

Τούτῳ τῷ ἔτει μηνὶ Ἰανουαρίῳ ἰνδικτιῶνος ζ κατέλαβεν A.M. 6276
Σταυράκιος ὁ προρρηθεὶς ἐκ τῶν Σκλαβίνων, καὶ ἐθριάμβευσε C
τὰ ἐπινίκια ἐπὶ ἱπποδρομίας. τῷ δὲ Μαΐῳ μηνὶ τῆς αὐτῆς ζ ἰνδικτιῶνος ἐξῆλθεν ἡ βασιλισσα Εἰρήνη σὺν τῷ υἱῷ αὐτῆς μετὰ δυνάμεως πολλῆς ἐπὶ τὴν Θράκην, ἐπιφερομένη ὄργανα καὶ μουσικά, καὶ ἀπῆλθεν ἕως Βερροίας, καὶ ταύτην οἰκοδομηθῆναι κελεύσασα, ἐπωνόμασεν αὐτὴν Εἰρηνούπολιν. κατῆλθεν δὲ ἕως Φιλιππουπόλεως μετὰ πάσης ἀπαθείας, καὶ ὑπέστρεψεν ἐν εἰρήνῃ, κτίσασα καὶ τὴν Ἀγχίαλον. τῷ δ' αὐτῷ ἔτει καὶ ὁ τῶν Ἀράβων ἀρχηγὸς Μαδί, ὁ καὶ Μουαμέδ, τέθνηκεν, καὶ ἐκράτησεν Μωσῆς ὁ υἱὸς αὐτοῦ. τῇ δὲ

1. ἑαυτοῦ A, αὐτοῦ vulg. 2. τὴν add. ex A. 5. ὀξέος A, ὀξέου vulg. 10. Ἰαν. ἰνδ. ζ A, Ἰαν. ζ vulg. 14. μετὰ A, καὶ vulg. 16. ἐπωνόμασεν A, ἐπωνόμασαν vulg. 19. καὶ prius add. ex A.

igitur firmata ab invicem discesserunt. Arabes Nacoliam reliquerunt. Tatzates autem uxorem et facultates inde tulit.

Hoc anno Irene pace cum Arabibus confecta, a bellorum cura A. C. 775
vacans, Stauracium patricium et celeris cursus logothetam cum numeroso exercitu adversus Sclavinorum nationes misit, qui, cum Thessalonicam et Graeciam adiisset, regionem omnem imperio subiecit et tributum pendere coegit. quin etiam Peloponnesum penetrans captivorum ingentem turbam et spolia in Romanam ditionem retulit.

Hoc anno mense Ianuario indictione septima Stauracius, quem A. C. 776
memoravi, ex Sclavina expeditione regressus, victoriae solemnia ducto per circum triumpho peregit. mense vero Maio eiusdem indictionis septimae imperatrix Irene una cum filio et valido copiarum comitatu in Thraciam profecta est, organa reliquaque musica instrumenta secum deferens, et Berrhoeam usque contendit, eamque mox reparari iussam Irenopolim appellavit. postmodum Philippopolim usque citra periculi timorem perrexit, et cum pace Cpolim reversa est, eo in itinere Anchialo restaurari iussa. eodem pariter anno Madi, Arabum dux, qui etiam Muamed, obiit, et filius eius Moses principatum obtinuit. mensis autem Augusti die tricesimo primo eadem indictione 7

D λαί τοῦ Αὐγούστου μηνὸς τῆς αὐτῆς ζ ἐνδικτιῶνος Παῦλος ὁ ὅσιος καὶ ἁγιώτατος πατριάρχης ἀσθενήσας, κατέλιπεν τὸν θρόνον, καὶ κατελθὼν ἐν τῇ μονῇ τοῦ Φλώρου, εἶλεν τὸ μοναδικὸν σχῆμα, χωρὶς εἰδήσεως τῆς βασιλίσσης. μαθοῦσα δὲ τοῦτο ἡ βασίλισσα παραγίνεται πρὸς αὐτὸν σὺν τῷ υἱῷ λυπουμένη καὶ καταβοῶσα αὐτοῦ· ὅτι διὰ τί τοῦτο ἐποίησας; ὁ δὲ μετὰ θρήνων πολλῶν ἔφη πρὸς αὐτήν· εἶδε μηδὲ πρότερον ἐκάθισα ἐν τῷ τῆς ἱεροσύνης θρόνῳ τῆς ἐκκλησίας τοῦ θεοῦ τυραννουμένης καὶ ἐσχισμένης οὔσης ἐκ τῶν λοιπῶν καθολικῶν θρόνων καὶ ἀναθεματιζομένης. ἡ δὲ προσκαλεσαμένη τούς τε πατρικίους καὶ τοὺς τῆς συγκλήτου λογάδας, ἀπέστει-
P. 386 λεν πρὸς αὐτὸν ἀκοῦσαι τὰ παρ' αὐτοῦ λεγόμενα. ὁ δὲ εἶπεν πρὸς αὐτούς· ἐὰν μὴ σύνοδος οἰκουμενικὴ γένηται, καὶ τὸ σφάλμα τὸ ὂν ἐν τῇ μέσῃ ὑμῶν διορθωθῇ, οὐκ ἔχετε σωτηρίαν. οἱ δὲ εἶπον αὐτῷ· καὶ ἵνα τί, ὑπέγραψας ἐν τῷ χα-
V. 307 ροτονεῖσθαί σε τοῦ μὴ προσκυνεῖν εἰκόνας; ὁ δὲ ἔφη· διὰ τοῦτο θρηνῶ καὶ πρὸς τὴν μετάνοιαν κατέφυγον, δεόμενος τοῦ θεοῦ, ὅπως μὴ ὡς ἱερέα με κολάσῃ σιγήσαντα ἕως τοῦ νῦν, καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας ὑμῶν. ἐν τούτοις ἐκοιμήθη ἐν εἰρήνῃ καταλιπὼν θρῆνον πολύν

4. βασιλίσσης A, βασιλείας vulg. 7. πρότερον A, ποτὲ ὃν vulg. 9. καθολικῶν add. ex A. 11. τε add. ex A. 14. εἰς τὴν μέσην A. 19. τῷ φ. τ. μ. ὑ. om. f.

Paulus, vir religiosus et patriarcha sanctissimus, in morbum incidens throno nuncium remisit, et ad Flori monasterium se conferens, ibi imperatrice propositi eius inscia, monasticum habitum assumpsit. rei gestae notitiam ut habuit imperatrix, confestim eum cum filio convenit, ac querulis vocibus insectata, quid hoc, inquit, fecisti? ille lacrymis perfusus responsum ad eam dedit: utinam ecclesia dei tyrannice administrata et a reliquis thronis ea de causa rescissa dirisque et execrationibus devota, in sacerdotii throno Cpoleos nunquam ego sedissem. illa patricios et senatus spectatissimos quosque ad se primum accitos ad eum postmodum destinavit, quae ipse narraret ore proprio audituros. qui ad ipsos: nisi synodum, inquit, universalem coegeritis, et obtinentem apud vos correxeritis errorem, nulla vobis superest salus. responderunt ipsi: cur ergo patriarcha designatus inter ordinationis solemnia imagines te nunquam adoraturum subscripsisti? tum ille: haec, ait, lacrymarum mearum causa est; illud me ad poenitentiam amplexandam impulit, deum deprecantem, ne me velati pontificem hucusque mutum redditum, nec veritatem (solo insanise vestrae metu detentum) palam enunciantem corripiat. inter has voces Paulus in pace obdormivit, magno de se tam imperatrici, quam cae-

τῇ τε βασιλείᾳ καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις τῆς πολιτείας. σεβάσμιος γὰρ ἦν ὁ ἀνὴρ καὶ ἐλεήμων ὑπὲρ μέτρον καὶ πάσης αἰδοῦς ἄξιος, καὶ πίστιν πολλὴν ἐκέκτητο ἥ τε πολιτεία καὶ ἡ βασιλεία πρὸς αὐτόν. ἔκ τοτε λοιπὸν ἤρξατο λαλεῖσθαι καὶ ἀμφιβάλλεσθαι ὁ περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων λόγος παρρησίᾳ ὑπὸ πάντων. B

Ἀράβων ἀρχηγοῦ Μωσῆ, Κωνσταντινουπόλεως ἐπισκόπου Ταρασίου ἔτος α'. A.M. 6277

Τούτῳ τῷ ἔτει συναγαγοῦσα ἡ βασίλισσα Εἰρήνη πάντα τὸν λαὸν εἰς τὴν Μαγναῦραν ἔφη πρὸς αὐτούς· γινώσκετε, ἀδελφοί, τί πεποίηκεν ὁ Παῦλος πατριάρχης· καὶ εἰ μὲν ἔζη, οὐκ ἂν κατεδεξάμεθα τοῦτον ἀφεῖναι τὸν τῆς ἀρχιερωσύνης θρόνον, εἰ καὶ μοναδικὸν σχῆμα περιεβάλλετο. ἐπεὶ δὲ ὡς τῷ θεῷ ἀρεστὸν ἦν, τοῦ βίου μετέστη, φροντίσωμεν ἀνθρώπου, ὅς τις δύναται ποιμᾶναι ἡμᾶς, καὶ τὴν ἐκκλησίαν τοῦ θεοῦ ἐπιστηρίξαι λόγοις διδασκαλικοῖς. πάντες δὲ ὁμοφώνως εἶπον μὴ εἶναι ἄλλον, εἰ μὴ Ταράσιον τὸν ἀσηκρῆτις. ἡ δὲ ἔφη πρὸς αὐτούς· καὶ ἡμεῖς τὸν αὐτὸν ψηφιζόμεθα, ἀλλ' ἀπειθεῖ. καὶ εἰπάτω δι' ἣν αἰτίαν οὐ δέχεται τὴν ψῆφον τῆς βασιλείας καὶ παντὸς τοῦ λαοῦ. ὁ δὲ ἀπελογήσατο τῷ λαῷ C D

1. τε add. ex A. 2. καὶ ἐλ. — — αἰδοῦς om. A. 4. καὶ ἡ A, ἥ τε vulg. 5. ἀμφιβ. ὁ περὶ A, ἀμφ. [ὅπως] ὁ π. vulg. 12. ἀφεῖναι A, ἀφῆσαι vulg. 14. ἀνθρώπου A, ἄνθρωπον vulg. 15. ποιμᾶναι om. A f. 16. διδασκαλίας f. 17. τὸν add. ex A. 19. εἰπάτω A, εἶπη vulg.

teris in republica pietate conspicuis viris luctu relicto. venerabilis quippe vir extitit, et misericordiae operibus impendendis bene affectus omnique omnino dignus reverentia, maximamque ei fidem cum imperatrix, tum respublica habebat. caeterum ab hoc tempore colloquia atque dissertationes de sacris imaginibus libere ab omnibus haberi coeperunt.

Arabum ducis Mosis Cpoleos episcopi Tarasii annus primus. A.C. 777

Hoc anno imperatrix Irene populum universum ad Magnauram congregatum in hunc modum alloquuta est: quid patriarcha Paulus egerit, fratres, novistis. at si diutius vixisset, non eum sane manastico licet habitu indutum praesulatus thronum deserere permisissemus. verum quoniam ita deo placitum fuit, ut vita decederet, nunc hominem diligentius perquiramus, qui nos pastorali curâ regere, et ecclesiam dei verborum doctrina confirmare valeat. una voce omnes, alium a Tarasio, qui tunc asecretis erat, se nescire responderunt. imperatrix iterum ad populum: eundem patriarcham, inquit, decernimus, verum onus recusat. causam tamen, propter quam imperii populique non admittit electionem, ipse palam exponat. ille defensionem suam coram

λέγων· οἱ τῆς ἀμωμήτου πίστεως ἡμῶν· τῶν Χριστιανῶν
φύλακες καὶ ζηλωταὶ τῶν εἰς δόξαν θεοῦ γινομένων πάντα
βασιλεῖς ἡμῶν, πάντων τῶν εἰς ἀρέσκειαν αὐτοῦ καὶ συμφέ-
ρον ἡμῶν τὴν φροντίδα ποιούμενοι, μάλιστα δὲ τῶν ἐκκλησια-
στικῶν καὶ νῦν ἐπιμελῶς διαμεριμνήσαντες, καὶ διανοηθέντες
τοῦ ἀρχιερέα προχειρισθῆναι ἐν ταύτῃ τῇ βασιλίδι αὐτῶν
P. 387 πόλει ἐπὶ τὸν εὐσεβῆ αὐτῶν νοῦν με ἀνέλαβον, καὶ φανερὰς
μοι τὸ βεβουλευμένον αὐτοῖς ἐξεῖπεῖν ἐκέλευσαν. ἐμοῦ δὲ
πρὸς τοῦτο ἀνάξιον ἐμαυτὸν ἀποφηναμένου, καὶ μηδεμίᾳ
συγκατάθεσιν ποιησαμένου εἰς τὸ ζυγὸν τοῦ φορτίου μὴ δυ-
νάμενόν με βαστάσαι ἢ ὑπενεγκεῖν, ἐκέλευσάν με προαγωγὴ
κατὰ πρόσωπον ὑμῶν· διότι καὶ σύμψηφοι γεγόνατε τῇ βου-
λῇ ταύτῃ. καὶ νῦν, ὦ ἄνδρες φοβούμενοι τὸν θεόν, καὶ ἔχον-
τες αὐτὸν ἀεὶ ἐν ταῖς καρδίαις ὑμῶν, οἱ τῇ Χριστοῦ κλήσει,
τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ὀνομαζόμενοι, Χριστιανοὶ λίαν,
ἀκούσατε βραχὺν λόγον ἀπολογίας παρὰ τῆς ἡμετέρας εὐτε-
B λείας καὶ οὐθενόκτητος. ἐγὼ μὲν εἴ τι τοῖς εὐσεβέσιν ἡμῶν
βασιλεῦσιν καὶ κατὰ πάντα ὀρθοδόξοις ἀπελογησάμην, καὶ ἐνώ-
πιον ὑμῶν προσαπολογοῦμαι, φόβῳ συνέχομαι συγκατατίθεσθαι
V. 308 ἐπὶ τῇ ψήφῳ ταύτῃ, καὶ εὐλαβοῦμαι ἀπὸ προσώπου τοῦ θεοῦ

4. τὴν φροντίδα ποιούμ. om. a. 8. αὐτοῖς] ἐξ αὐτῆς A. 9. ἐμαυτὸν A, αὐτὸν vulg. καὶ add. ex A. 11. με prius om. A. 14. τῇ Χριστοῦ A, τοῦ θεοῦ vulg. 18. καὶ κατὰ πάντα ὀρθ. A, κατὰ πάντα οὖσιν ὀρθ. vulg. 19. προσαπολ. A, ἀπολ. vulg.

populo instituens, in haec verba dixit: inculpatae fidei nostrae, id est Christianae, defensores, eorumque omnium, quae ad dei gloriam pertinent, vindices acerrimi imperatores nostri, dum res omnes, quas numini gratas, vel nobis utiles fore sciunt, maxime vero quae spectant ad ecclesiam, procurant, idque nunc summo studio agentes, ut pontifex in sua urbe imperante creetur, me pio animo concepere, meumque super ea re consilium, ut ipsis palam significaretur, iussere. cum vere hoc munere prorsus indignum me profiterer, nec ullum super ea re consensum praestarem, utpote qui tanti oneris iugum portare ac sufferre minime valerem, iusserunt, ut in conspectum vestrum omnium prodirem, quod nimirum consilium istiusmodi suffragio vestro universi comprobaveritis. quamobrem, viri qui deum timetis atque eum semper prae cordibus vestris geritis, qui dei appellatione, dei, inquam, veri nostri nomine, Christianos intelligo, insigniti estis, brevissimum sermonem, quem pro me, qua animi angustia et vilitate instructus sum a natura, dicere institui, attente audiatis velim. quaecumque enim prius religiosis et undequaque orthodoxis imperatoribus pro me dixi, omnia ad vos referam impraesentiarum. me in hanc

προσδραμεῖν οὕτως, καὶ ὡς ἔτυχεν ἀπερισκέπτως, ἵνα μὴ ὑποπέσω φοβερῷ κατακρίματι. εἰ γὰρ ὁ θείων φωνῶν ἀκροασάμενος οὐρανόν τε ἐσχηκὼς παιδευτήριον, καὶ παραδείσου θεωρὸς γενόμενος, ἀκούσας τε ἄρρητα ῥήματα, καὶ βαστάσας τὸ ὄνομα τοῦ θεοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων, Παῦλος ὁ θεῖος ἀπόστολος Κορινθίοις γράφων ἔλεγεν· μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι, πῶς ἐγὼ ὁ τῷ κόσμῳ συναναστρεφόμενος, καὶ μετὰ λαϊκῶν ἠριθμημένος, καὶ στρατευόμενος ἐν βασιλικαῖς ὑπηρεσίαις, οὕτως χωρὶς ἀνακρίσεως καὶ περισκέψεως δύναμαι εἰσπηδῆσαι εἰς τὸ τῆς ἱερωσύνης μέγεθος; φοβερὸν τὸ ἐγχείρημα πρὸς τὴν ἐμὴν σμικρότητα· θρασὺ τὸ ἐπιτήδευμα. ἡ δὲ αἰτία τοῦ φόβου καὶ τῆς ἐμῆς παραιτήσεώς ἐστιν αὕτη. ὁρῶ καὶ βλέπω τὴν ἐπὶ τὴν πέτραν Χριστὸν τὸν θεὸν ἡμῶν τεθεμελιωμένην ἐκκλησίαν αὐτοῦ, διεσχισμένην νῦν καὶ διῃρημένην, καὶ ἡμᾶς ἄλλοτε ἄλλως λαλοῦντας, καὶ τοὺς τῆς ἀνατολῆς ὁμοπίστους ἡμῶν Χριστιανοὺς ἑτέρως καὶ συμφωνοῦντας αὐτοῖς τοὺς τῆς δύσεως· ἀλλοτριουμένους δὲ ἡμᾶς ἐκείνων ἁπάντων, καὶ καθ' ἑκάστην ὑπ' αὐτῶν ἀναθεματιζομένους· δεινόν ἐστι τὸ ἀνάθεμα· πόρρω τοῦ θεοῦ βάλλει, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐκδιώκει ἀπάγον εἰς τὸ σκότος τὸ ἐξώτερον. οὐκ οἶδεν ὁ τῆς

15. ἄλλως] ἄλλο A. 17. ἀλλοτριουμένους A a, ἀλλοτριωμένους vulg. 18. ἐκ. ὑπ' A, ἐκ. δὲ ὑπ' vulg.

electionem consentire timor praepedit, delque conspectum vereor, ut sic temere atque inconsulte in hanc concurram, ne horrendae damnationi obnoxius fiam. si enim vir ille, qui dei voce pro magistro, et caelo pro schola usus est, spectator ille paradisi, secretorum verborum auditor, qui dei nomen ad gentes palam et reges intulit, Paulus, divinus apostolus, Corinthiis scribens, dixit, ne cum aliis praedicavero, ipse reprobus efficiar, qui fiet unquam, ut ego mundo innutritus et plebi annumeratus, qui etiam in imperii negotiis et militia merui, ita possim absque examine et attenta discussione ad pontificatus fastigium me extollere? is sane conatus, ceu meam superans infirmitatem, mihi periculosus, audax omnino facinus, cui vires meas impares experior. timoris autem et excusationis, quam praetexo, causa est istiusmodi. video certe et attendo ecclesiam, quae supra petram Christum, deum nostrum, fundata est, nunc misere discissam et per membra divisam, nos vero longe diversa inter nos asserentes, caeteros vero orientis Christianos, qui eandem fidem profitentur, diversa item a nobis sentientes et cum occidentalibus convenientes, adeo ut nos ita ab iis omnibus alienati, a singulis seorsim per dies singulos anathemate perstringamur. dira prorsus res est anathema, quod sci-

ἐκκλησίας ὅρος καὶ νόμος ἔριν καὶ φιλονεικίαν, ἀλλ' ὅσπερ οἶδεν ἓν βάπτισμα, μίαν πίστιν, οὕτω καὶ συμφωνίαν μίαν ἐπὶ παντὸς πράγματος ἐκκλησιαστικοῦ. οὐδὲν γάρ ἐστιν ἀπόδεκτον καὶ εὐάρεστον ἐνώπιον τοῦ θεοῦ, ὡς τὸ ἐνωθῆναι
P. 388 ἡμᾶς καὶ γενέσθαι μίαν καθολικὴν ἐκκλησίαν, καθὰ καὶ ἐν τῷ συμβόλῳ τῆς εἰλικρινοῦς ἡμῶν πίστεως ὁμολογοῦμεν, καὶ αἰτοῦμεν, ἀδελφοί· οἶμαι δὲ καὶ ὑμεῖς, ἐπειδὴ γινώσκω τὸν φόβον τοῦ θεοῦ ἔχειν ὑμᾶς, παρὰ τῶν εὐσεβεστάτων καὶ ὀρθοδόξων βασιλέων ἡμῶν σύνοδον οἰκουμενικὴν συναθροισθῆναι, ἵνα γενώμεθα οἱ τοῦ ἑνὸς θεοῦ ἓν, καὶ οἱ τῆς τριάδος ἡνωμένοι καὶ ὁμόψυχοι καὶ ὁμότιμοι, οἱ τῆς κεφαλῆς ἡμῶν Χριστοῦ σῶμα ἓν συναρμολογούμενον καὶ συμβιβαζόμενον, ὑπὸ τοῦ ἁγίου πνεύματος, οὐ κατ' ἀλλήλων, ἀλλὰ σὺν ἀλλήλοις, ὑπὲρ τῆς ἀληθείας τὸ αὐτὸ φρονοῦντες καὶ λέγοντες, καὶ μὴ ᾖ ἔρις
B καὶ διχοστασία ἐν ἡμῖν, ὅπως ἡ εἰρήνη τοῦ θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσῃ πάντας ἡμᾶς· καὶ εἰ μὲν κελεύουσι οἱ τῆς ὀρθοδοξίας πρόμαχοι βασιλεῖς ἡμῶν ἐπὶ τῇ ἐμῇ αἰτήσει ἐπινεῦσαι, συγκατατίθημι κἀγώ, καὶ τὴν κέλευσιν αὐτῶν ἐκπληρῶ, καὶ ὑμῶν τὴν ψῆφον ἀσπάζομαι· εἰ δὲ μήγε, ἀδυνάτως ἔχω τοῦτο ποιῆσαι, ἵνα μὴ ὑποβληθῶ τῷ ἀναθέματι, καὶ εὑρεθῶ καταδεδικασμένος ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν

1. καὶ φιλ. A, ἢ φιλ. vulg. 5. μίαν καὶ καθ. A. 15. διχοτομία A. ἢ ὑπ. A, ὑπ. vulg.

licet hominem a deo longius fugat, et in tenebras exteriores abdicens, a regno caelorum expellit. ecclesiae lex et institutum nec lites nec contentionem novit, sed quemadmodum unum baptisma unamque fidem confiteri amat, ita et concordiam atque consensum in caeteris rebus ecclesiasticis exposcit. nihil enim deo tam gratum acceptumque est, quam si uniti in unam et catholicam ecclesiam conveniamus, quemadmodum in sincerae fidei nostrae symbolo profitemur, et precamur, fratres. et ob id a piissimis imperatoribus petimus, (quod etiam vos, quorum timor erga deum mihi notus, facere arbitror) ut concilium oecumenicum celebretur, ut videlicet nos, qui unius dei sumus, unum etiam fiamus, qui triuitati uniti atque unanimes cultusque eiusdem, qui unius capitis Christi scilicet nostri unum corpus probe connexum atque cohaerens, qui spiritui sancto non oppositi, sed consentanei, qui veritatis eadem prorsus sentientes atque praedicantes: et e contrario nulla prorsus contentio atque dissensio inter nos intercedat, ut dei pax, quae omnem intellectum exsuperat, nos omnes custodiat. quod si imperatores nostri rectae fidei propugnatores, ut haec petitio mea impleatur, iusserint, ego quoque consentio, eorumque mandata exsequar, vestramque electionem lubens amplectar, sin minus, id prae-

Ἰησοῦ Χριστοῦ καὶ κριτοῦ τῆς δικαιοσύνης, ἔνθα οὔτε βασιλεύς, οὔτε ἱερεύς, οὔτε ἄρχοντες, οὔτε πλῆθος ἀνθρώπων δύναταί με ἐξελέσθαι. καὶ εἴ τί ἐστιν ἀρεστὸν ὑμῖν, ἀδελφοί, δότε τῆς ἐμῆς ἀπολογίας, φράσατε δὲ μᾶλλον, αἰτήσεως C ἀπόκρισιν. καὶ ἀσμένως ἠκροάσαντο πάντες τῶν λαληθέντων, συμφωνήσαντες τοῦ γενέσθαι σύνοδον. ὁ δὲ Ταράσιος πάλιν πρὸς τὸν λαὸν διαλεγόμενος, ἔφη· ὅτι Λέων ὁ βασιλεὺς κατέστρεψεν τὰς εἰκόνας, καὶ ἡ σύνοδος ὅτε ἐγένετο κατεστραμμένας αὐτὰς εὗρεν· καὶ διότι διὰ βασιλικῆς χει- V. 309 ρὸς κατεστράφησαν, πάλιν ζήτησιν ἔχει τὸ κεφάλαιον, ὅτι ἀρχαίαν συνήθειαν παραδεδομένην ἐν τῇ ἐκκλησίᾳ κατετόλμησαν, ὡς ἔδοξεν αὐτοῖς, ἀφανίσαι· ἀλλ' ἡ ἀλήθεια τοῦ θεοῦ οὐ δέδεται, ἀποστολικῶς εἰπεῖν. τῇ δὲ κε' τοῦ Δεκεμβρίου μηνὸς τῆς αὐτῆς ἡ ἰνδικτιῶνος ἐχειροτονήθη ὁ ὅσιος πατὴρ ἡμῶν Ταράσιος πατριάρχης Κωνσταντινουπόλεως, καὶ ἀπο- D στειλας ἐν Ῥώμῃ τὰ συνοδικὰ αὐτοῦ καὶ τὸν λίβελλον τῆς πίστεως αὐτοῦ, ἀπεδέχθη παρὰ τοῦ πάπα Ἀδριανοῦ. ἀποστείλωσα δὲ καὶ ἡ βασιλισσα πρὸς τὸν αὐτὸν πάπαν, ᾔτήσατο πεμφθῆναι γράμματά τε αὐτοῦ, καὶ ἀνθρώπους πρὸς τὸ εὑρεθῆναι ἐν τῇ συνόδῳ. καὶ ἀπέστειλεν Πέτρον, τὸν οἰκο-

1. Ἰησ. Χρ. om. A. 3. με om. A. 4. φράσαι A a e. αἰτήσεως A, αἰτήσεων vulg. 9. διότι] δι' ὧν A f, διό a. 12. ὡς ἔδ. A, καὶ ἔδ. vulg. 18. δὲ καὶ ἡ A, δὲ ἡ vulg.

stare nequaquam mihi possibile est, ne anathemati subiiciar, damnatusque evadam in die domini nostri Iesu Christi iustissimi iudicis, quo iudicio neque imperator, neque pontifex, neque principes, neque hominum numerus me exsolvere haud poterunt. caeterum, fratres, si quid ex iis quae dixi gratum vobis fuerit, huic meae apologiae, vel, ut melius dicam, petitioni responsum date. orationem huiusmodi lubenter excipientes cuncti concilium cogendum una voce sanxerunt. quare Tarasius sermonem iterum ad populum convertens, imperator Leo, dixit, imagines evertit, conciliumque subinde celebratum eas invenit eversas. at quia sola imperatoris potestate sublatae sunt, totius rei summa et caput iterum circa hanc quaestionem versatur, quod nimirum antiquam consuetudinem in ecclesia traditam, ipsi, prout libitum sibi fuit, abolere ausi sunt; sed dei veritas, ut hoc secundum apostolum eloquar, non est alligata. caeterum mensis Decembris die quinto supra vicesimum et eadem indictione octava religiosus pater noster Tarasius Cpoleos patriarcha renunciatus est, missisque confestim synodicis suis litteris, et libello fidei suae teste, ab Adriano papa in ecclesiae communionem admissus: imperatrix etiam ad eundem papam misit, qui suo nomine ab eo peterent, ut datis litteris

νόμον τῆς ἐκκλησίας αὐτοῦ, καὶ τὸν ἡγούμενον τοῦ ἁγίου Σάββα, ἄνδρας τιμίους καὶ πάσῃ ἀρετῇ κεκοσμημένους. ἐπέλυσε δὲ καὶ ἐν Ἀλεξανδρείᾳ καὶ Ἀντιοχείᾳ ἥ τε βασίλισσα καὶ ὁ πατριάρχης· ἀκμὴν γὰρ ἦ πρὸς τοὺς Ἄραβας εἰρήνη
P. 389 οὐκ ἦν διαλυθεῖσα. καὶ ἦνεγκαν ἐκ μὲν τῆς Ἀντιοχείας Ἰωάννην τὸν μέγαν καὶ περιβόητον ἔργῳ καὶ λόγῳ ἁγιωσύνης μετέχοντα καὶ σύγκελλον τοῦ πατριάρχου Ἀντιοχείας γενόμενα, καὶ Θωμᾶν Ἀλεξανδρείας ἄνδρα ζηλωτὴν καὶ εὐσεβέστατον, ὅστις καὶ ἀρχιεπίσκοπος τῆς ἐν τῷ Ἰλλυρικῷ μεγαλοπόλεως Θεσσαλονίκης γενόμενος διέπρεψεν.

A.M. 6278 Ἀράβων ἀρχηγοῦ Ἀαρὼν ἔτος α'.

Τούτῳ τῷ ἔτει Μωσῆς ὁ τῶν Ἀράβων ἀρχηγὸς τέθνηκεν, καὶ ἐκράτησεν Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ ἀντ' αὐτοῦ τὴν ἀρχήν· ὃς καὶ πολλὰ κακὰ τοῖς Χριστιανοῖς ἐνεδείξατο. τῷ δ' αὐτῷ ἔτει ἀποστείλαντες οἱ βασιλεῖς προσεκαλέσαντο πάντας τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ἐπισκόπους, καταλαβόντα καὶ τῶν ἀπὸ τῆς Ῥώμης πεμφθέντων ὑπὸ τοῦ πάπα Ἀδριανοῦ γραμμάτων τε καὶ ἀνδρῶν, ὡς προέφημεν, καὶ τῶν Ἀντιοχείας καὶ Ἀλεξανδρείας. καὶ τῇ ιζ τοῦ Αὐγούστου μηνὸς τῆς θ' ἰνδικτιῶνος προκαθίσαντες ἐν τῷ ναῷ τῶν ἁγίων
C ἀποστόλων ἐν τῇ βασιλίδι πόλει, ἤρξαντο τὰς ἁγίας γραφὰς

2. ἀπίστειλεν A. 5. λυθεῖσα A. 9. τῆς add. ex A. μεγάλης πόλεως A. 15. πάντας om. A. 19. ιζ] ζ A.

homines, qui concilio adessent, delegaret. papa vero Petrum, ecclesiae suae oeconomum, et monasterii sancti Sabae praepositum, viros honore praecipuos et omni virtutum cultu ornatos, destinavit. Alexandriae quoque et Antiochiae praesules imperatrix et patriarcha nunciis suis advocavere: nondum enim pax cum Arabibus icta exspiraverat. et Antiochia quidem Ioannem illum magnum, virtute et doctrina celebrem, non levibus sanctitatis indiciis fulgentem, patriarchae Antiocheni quondam syncellum, et Thomam Alexandrinum, virum religiosum et pietate insignem, qui prius in Illyrico magnae civitatis Thessalonicae archiepiscopus claruerat, ex illis locis adduxerunt.

A.C. 778 Arabum ducis Aaron annus primus.

Hoc anno Mose Arabum duce defuncto, Aaron frater in eius locum suffectus imperium obtinuit, qui multa mala in Christianos exercuit. eodem anno imperatores miserunt, qui universos suae ditionis episcopos in unum convocarent, ad quos ab Adriano papa missi cum litteris homines, quos memoravimus, una cum Antiochiae et Alexandriae patriarchis accesserunt. tum vero mensis Augusti die decimo septimo, nona indictione, in imperatricis urbis sanctorum apostolorum templo praesidentes sacras scripturas investigare, propositis ad inve-

ὑπαναγινώσκειν, καὶ ἀντιβάλλειν πρὸς ἀλλήλας, τῶν βασιλέων ἐν τοῖς κατηχουμένοις ὁρώντων. ὁ δὲ λαὸς τῶν σχολαρίων τε καὶ ἐξκουβιτόρων καὶ τῶν λοιπῶν ταγμάτων ὑποβληθεὶς ἐκ τῶν οἰκείων ἀρχόντων, ἔχοντες καὶ τὴν διδασκαλίαν τοῦ πονηροῦ αὐτῶν διδασκάλου, γυμνώσαντες τὰ ξίφη, ἐπῆλθον αὐτοῖς, ἀπειλοῦντες θανατοῦν τόν τε ἀρχιερέα καὶ τοὺς ὀρθοδόξους ἐπισκόπους τε καὶ ἡγουμένους. τῆς δὲ βασιλίσσης διὰ τῶν παρεστώτων αὐτῇ οἰκειακῶν ἀνθρώπων ἀναστέλλειν αὐτοὺς πειρωμένης, οὐκ ἐπείσθησαν, ἀλλὰ μᾶλλον προσπίμασαν. ἐγερθέντος δὲ τοῦ πατριάρχου καὶ ἐν τῷ βήματι εἰσελθόντος μετὰ τῶν ὀρθοδόξων ἐπισκόπων καὶ μοναχῶν, οἱ τοῦ πονηροῦ φρονήματος αὐτῶν ὄντες ἐπίσκοποι ἐξῆλθον πρὸς αὐτοὺς βοῶντες τό, νενικήκαμεν· καὶ τοῦ θεοῦ χάριτι οὐδένα ἠδίκησαν οἱ μανιώδεις ἐκεῖνοι καὶ ἀπάνθρωποι, καὶ οὕτω διαλυθείσης τῆς συνόδου ἀπῆλθον ἕκαστος εἰς τὰ ἴδια.

Τούτῳ τῷ ἔτει ἀποστείλασα ἡ βασίλισσα Σταυράκιον τὸν πατρίκιον καὶ λογοθέτην τοῦ δρόμου ἐν τῇ Θράκῃ τῷ Σεπτεμβρίῳ μηνί, ἀρχῇ τῆς ι' ἰνδικτιῶνος πρὸς τὰ περατικὰ θέματα ἐκεῖσε τηνικαῦτα ὄντα, ἔπεισεν αὐτοὺς συνεργῆσαι αὐτῇ, καὶ ἐξεῶσαι τῆς πόλεως τὸν δυσσεβῆ λαόν, ὃν ὁ ἀλάστωρ Κων-

A.M. 6279
V. 310

1. ἀντιβάλλειν πρὸς ἀλλήλας A f, ἀμφιβ. πρ. ἀλλήλους vulg. 3. καὶ τῶν λοιπῶν ταγμάτων add. ex A. 7. βασιλίσσης A, βασιλείας vulg. 8. ἀνασείλειν A, ἀνατέλλειν vulg. 13. τῇ χάρ. A. 14. οἱ μαν. ἐκ. κ. ἀπ. om. A. 16. τὸν add. ex A. 17. τοῦ δρόμου om. A.

cem dubiis difficultates examinare, imperatoribus e catechumenis spectantibus, coeperunt. scholariorum porro et excubiterum copiae perversi magistri sui doctrina imbuti, et a propriis rectoribus incitati, nudatis gladiis impetum in eos fecere, mortemque tam ipsi patriarchae, quam orthodoxis episcopis et monasteriorum praepositis inferre minati sunt. imperio vero per aulicos alios proceres, qui aderant, tumultum eorum reprimere conante, milites nequaquam paruere, quia potius convitia in eos coniecere. exsurgente demum patriarcha, et in sacrum altaris tribunal cum orthodoxis episcopis atque etiam monachis ingresso, adversae factionis episcopi, nefariae sententiae doctores, in eos elatis vocibus insilierunt iactantes: vicimus. ac dei gratia nemini damnum insanientes et inhumani illi intulerunt. ita synodo soluta singuli quique domos suas repetierunt.

Hoc anno mense Septembri, ineunte indictione 10, imperatrix misso Stauracio patricio et publici cursus logotheta in Thraciam ad transfretana themata illic considentia, ut sibi operam accommodarent, impiis copiis, quas perditus Constantinus armis instruxerat et disciplina sua imbuerat, urbe expellendis, persuasit. simulata igitur in

A.C. 779

P. 390 σταντῖνος ἐστράτευσέν τε καὶ ἐπαίδευσεν. καὶ πλησμὸν ὡς φοσσατεύειν μέλλει ἐπὶ τὰ ἀνατολικὰ μέρη, ὡς τῶν Ἀράβων ἐξελθόντων, ἐξῆλθε πᾶσα ἡ βασιλικὴ ὑπουργία καὶ ἡ πᾶσα τις ἕως τῶν Μαλαγίνων. καὶ εἰσελθόντες οἱ τῶν ἔξω δρομέων, ἐκράτησαν τὴν πόλιν. ἀποστείλασα δὲ πρὸς αὐτοὺς ἡ λοῖ αὐτοῖς, ὅτι πέμψατέ μοι τὰ ἅρματα ὑμῶν, χρείαν ἔτι οὐκ ἔχω. οἱ δὲ ὑπὸ θεοῦ ματαιωθέντες, ἔδωκαν αὐτά. καὶ βαλοῦσα τὰς φαμιλίας αὐτῶν ἐν πλοίοις, ἐξώρισεν αὐτὰ τῆς πόλεως, πελεύσασα ἐν τῇ ἰδίᾳ χώρᾳ ἕκαστον ἀπελθεῖν, ἐν ᾗ ἐγεννήθη. καὶ ποιήσασα στρατὸν ἴδιον καὶ ἄρχοντας αὐ-
B θηνίους αὐτῇ, τῷ Μαΐῳ μηνὶ πάλιν ἀποστείλασα κατὰ παντὸς τόπου προσεκαλέσατο τοὺς ἐπισκόπους παραγενέσθαι ἐν τῇ Νικαίων πόλει τῆς Βιθυνίας, πρὸς τὸ ἐκεῖ γενέσθαι τὴν σύνοδον. καὶ διὰ τοῦ καλοκαιρίου ὅλου συνήχθησαν πάντες ἐν Νικαίᾳ. τῆς δὲ Ῥώμης καὶ ἀνατολικοὺς ἐκ προσώπου οὐκ ἦν ἀπολύσασα, ἀλλ' εἶχεν αὐτούς. τῇ δὲ Θ' τοῦ Σεπτεμβρίου μηνὸς τῆς ια' ἰνδικτιῶνος ἡμέρᾳ κυριακῇ, ἔκλειψις γέγονεν ἡλίου, ὥρᾳ ε' τῆς ἡμέρας, τῆς θείας λειτουργίας ἐπιλουμένης, μεγίστη.

A.M.6280 Τούτῳ τῷ ἔτει ἐξῆλθεν Ταράσιος ὁ ἁγιώτατος ἀρχιε-
C σκοπος Κωνσταντινουπόλεως ἐν τῇ Νικαίων πόλει· καὶ ἐπε-

2. ὡς φοσσατ. μέλλει A, φωσατ. μέλλειν vulg. τῶν add. ex A. 3. βασιλικὴ add. ex A. πόρτη A. 6. πέμψατέ μοι A, πεμψάμενοι vulg. 20. ἀρχιεπ. A, ἐπισκ. vulg.

partes orientales, quasi Arabibus illuc irrumpentibus, profectione, omnis imperatorius apparatus et comitatus usque ad Malagina processit. itaque copiae istae foris advenientes urbem ingressae, eam in potestatem suam misere. tum vero imperatrix adversantibus copiis per nuncios significat: armis depositis et ad me remissis, opera vestra me non indigere noveritis. illi velut a deo sensibus alienati, arma deposuere. tum impositis in naves eorum familiis, urbe extorres, singulos in provinciam, ex qua in lucem editus prodierat, se recipere iussit. parato demum alio satellitum exercitu et electis ducibus, qui sibi morem gererent, ipsa iterum mense Maio per omnes imperii regiones misit, qui universos episcopos Nicaeam, Bithyniae urbem, ut in ea concilium haberetur, convocarent. tota itaque aestiva tempestate Nicaeam episcopi omnes convenere, neque vero eos, qui Romanae sedis et orientalium thronorum personam referebant, dimiserat, quia immo adhuc tenebat penes se. caeterum mensis Septembris die nono, indictione undecima, die dominico, hora diei quinta, celebratis missarum solemnibus, ingens solis defectio extitit.

A. C. 780 Hoc anno sanctissimus Cpoleos episcopus Tarasius Nicaeam urbem

τήθη ἡ ἁγία καὶ οἰκουμενικὴ ζ' σύνοδος τῶν ἐπισκόπων· καὶ ἀπέλαβεν ἡ καθολικὴ ἐκκλησία τὸν ἀρχαῖον κόσμον αὐτῆς, οὐδὲν καινὸν δογματίσασα, ἀλλὰ τὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων δόγματα ἀσάλευτα φυλάξασα, καὶ τὴν νέαν αἵρεσιν ἀποκηρύξασα, τούς τε τρεῖς ψευδωνύμους πατριάρχας ἀναθεματίσασα Ἀναστάσιόν φημί, Κωνσταντῖνον καὶ Νικήταν καὶ πάντας τοὺς ὁμόφρονας αὐτῶν. ἐγένετο δὲ καὶ πρώτη συνέλευσις καὶ καθέδρα τῶν ἐπισκόπων ἐν τῇ καθολικῇ ἁγίᾳ Σοφίᾳ τῆς Νικαίας μηνὶ Ὀκτωβρίῳ ια'. καὶ τῷ Νοεμβρίῳ μηνὶ εἰσῆλθον πάντες ἐν τῇ βασιλευούσῃ πόλει· καὶ προκαθίσαν- D τες οἱ βασιλεῖς σὺν τοῖς ἐπισκόποις ἐν τῇ Μαγναύρᾳ ὑπανεγνώσθη ὁ τόμος, καὶ ὑπέγραψεν ὅ τε βασιλεὺς καὶ ἡ μήτηρ αὐτοῦ, κυρώσαντες τὴν εὐσέβειαν καὶ τὰ τῶν ἁγίων πατέρων ἀρχαῖα δόγματα, καὶ φιλοτιμησάμενοι τοὺς ἱερεῖς ἀπέλυσαν. καὶ εἰρήνευσεν ἡ τοῦ θεοῦ ἐκκλησία, εἰ καὶ ὁ ἐχθρὸς τὰ ἑαυτοῦ ζιζάνια ἐν τοῖς ἰδίοις ἐργάταις σπείρειν οὐ παύεται· ἀλλ' ἡ τοῦ θεοῦ ἐκκλησία πάντοτε πολεμουμένη νικᾷ.

Τούτῳ τῷ ἔτει ἐξῆλθεν κοῦρσον τῶν Ἀράβων κατὰ Ῥω- A.M. 6281 μανίας μηνὶ Σεπτεμβρίῳ, καὶ εἰσῆλθεν εἰς τὸ τῶν ἀνατολι- P. 391 κῶν θέμα, εἰς τόπον λεγόμενον Κοπιδνάδον. καὶ συναχθέντες οἱ τῶν Ῥωμαίων στρατηγοὶ ἐπολέμησαν μετ' αὐτῶν, καὶ

3. τὰ add. ex A.

se contulit. tum vero sancta et universalis septima episcoporum synodus celebrata est, et ecclesia catholica, nulla nova prolata doctrina, quin immo sanctorum patrum assertionibus immotis stantibus, proscriptaque haeresi recens intrusa, antiquum suum splendorem recepit. ad haec falsi nominis patriarchas tres, Anastasium dico, Constantinum et Nicetam, sectatoresque eorum universos anathemate percussit. primus autem episcoporum conventus et consessus in communi et primate Sapientiae ecclesia Nicaeae habitus est mensis Octobris die undecimo, mense vero Novembri imperatricem urbem cuncti ingressi sunt. imperatoribus demum una cum episcopis ad Magnauram praesessum obtinentibus, decreti tomus lectus est, cui imperator et mater eius sanctorum patrum antiqua sancita confirmaturi subscripserunt, ac tandem honoribus et donis sacerdotes cumulatos dimiserunt. ita ecclesia dei pacem recepit, per proprios licet operarios zizania superseminare non desistat inimicus: verum ecclesia dei etiam iugiter oppugnata triumphat.

Hoc anno mense Septembri acies Arabum ad praedandum com- A. C. 781 paratae in Romaniam irruptionem fecerunt, et in orientalium thema, ad locum, cui nomen Copidnadus, penetrarunt. Romanorum autem duces collectis in unum copiis bello cum eis decertantes fusi sunt, ex

ἠττήθησαν, καὶ ἀπέθανον πολλοί, καὶ ἐκ τῶν ἐξορισθέντων
οὐκ ὀλίγοι· ἔπεσεν δὲ καὶ ὁ Διογένης ὁ τῶν ἀνατολικῶν τουρ-
V. 311 μάρχης ἱκανὸς καὶ τοῦ Ὀψικίου ἄρχοντες. λύσασα δὲ ἡ βα-
σίλισσα Εἰρήνη τὴν πρὸς τοὺς Φράγγους συναλλαγήν, ἐπέμ-
ψεν Θεοφάνην τὸν πρωτοσπαθάριον, καὶ ἤγαγεν κόρην ἐκ τῶν
Ἀρμενιακῶν ὀνόματι Μαρίαν ἀπὸ Ἀμνίας, καὶ ἔζευξεν αὐτὴν
Κωνσταντίνῳ τῷ βασιλεῖ καὶ υἱῷ αὐτῆς, πολλὰ λυπουμένου
B αὐτοῦ, καὶ μὴ θέλοντος διὰ τὴν πρὸς τοῦ Καρουλου θυγατέρα
τοῦ ῥηγὸς τῶν Φράγγων σχέσιν, ἣν εἶχε προμνηστευσάμενος·
καὶ ἐπετέλεσαν τοὺς γάμους αὐτοῦ μηνὶ Νοεμβρίῳ ἰνδικτιῶνι
ιβ'. Φιλητὸς δὲ ὁ τῆς Θρᾴκης στρατηγὸς ἀπελθὼν ἐν τῷ
Στρύμωνι, καὶ ἀφυλάκτως ἀπλικεύσας, ἐπιπεσόντων αὐτῷ
ἄφνω Βουλγάρων, ἀνῃρέθη ὑπ' αὐτῶν σὺν ἄλλοις πολλοῖς·
ἀποστείλασα δὲ Εἰρήνη Ἰωάννην τὸν σακελλάριον καὶ λογοθέ-
την τοῦ στρατιωτικοῦ εἰς Λογγιβαρδίαν μετὰ καὶ Θεοδότου
τοῦ ποτὲ ῥηγὸς τῆς μεγάλης Λογγιβαρδίας πρὸς τὸ εἰ δυνη-
θεῖεν ἀμύνασθαι τὸν Κάρουλον, καὶ ἀποσπάσασι τινὰς ἐξ αὐ-
C τοῦ. καὶ κατῆλθον οὖν σὺν Θεοδώρῳ πατρικίῳ καὶ στρατηγῷ
Σικελίας· καὶ πολέμου κροτηθέντος, ἐκρατήθη ὑπὸ τῶν Φράγ-
γων ὁ αὐτὸς Ἰωάννης, καὶ δεινῶς ἀνῃρέθη.

2. ante οὐκ ὀλ. e add. τῶν γε σχολαρίων. 6. Ἀμνίαν A.
9. εἶχε add. ex A. 10. ἰνδικτ. om. A. 11. Φλιππικὸς A.
12. Στρύμωνι A, Στρομ. vulg. 13. σὺν ἄλλ. A, σὺν καὶ ἄλ. vulg. 16. δυνηθεῖεν ἀμύν. A, δυνηθείη ἐναμ. vulg.

quo perierunt plurimi, nec non ex exulum turmis non pauci, *Diogenesque orientalium turmarcha, vir strenuus*, et Opsicii duces cecidere. interea imperatrix Irene foedera cum Francis inita solvit, et misso Theophane protospathario, puellam ex Armeniacis *nomine Mariam* Amnia oriundam accepit, quam Constantino imperatori filio suo coniugem locavit, quamvis id Constantinus aegerrime ferret, nec propter conceptum erga Francorum regis Caroli filiam, quam sibi desponsaverat, affectum, consensum praebere vellet. nuptiae tamen mense Novembri indictione duodecima celebratae sunt. Philetus autem, *Thraciae* dux, Strymonem versus profectus, nullis circa se dispositis excubiarum custodibus, Bulgaris ex improviso ingruentibus, cum pluribus aliis interfectus est. misit insuper Irene Ioannem sacellarium *et militiae logothetam* in Longobardiam, cui expeditionis socium Theodotum maioris Longobardiae nuper regis filium adiunxit tentatura, si forte Carolum ulcisci et ab eius fidei incolas aliquos posset subducere. illi cum Theodoro patricio Siciliae duce viribus coniunctis, praelium conseruerunt cum Francis, a quibus ipse Ioannes captus acerba morte occisus est.

Τούτῳ τῷ ἔτει ἐκινήθησαν φθόνῳ τῆς εὐσεβείας τῶν βα- A.M. 6282
σιλέων ἄνθρωποι πονηροί, καὶ συνέβαλον τὴν μητέρα κατὰ
τοῦ υἱοῦ, καὶ τὸν υἱὸν κατὰ τῆς μητρός. ἔπεισαν γὰρ αὐτὴν
ὡς ἐκ προγνωστικῶν πληροφορηθέντες, ὅτι οὐκ ἔστιν ὡρισμέ-
νον παρὰ τῷ θεῷ κρατῆσαι τῷ υἱῷ σου τὴν βασιλείαν, εἰ μὴ D
σή ἐστιν, ἐκ θεοῦ δεδομένη σοι. αὐτὴ δὲ ὡς γυνὴ ἐξαπατη-
θεῖσα, ἔχουσα δὲ καὶ τὸ φιλαρχον, ἐπληροφορήθη οὕτως εἶναι.
καὶ οὐκ ἐλογίσατο, ὅτι αὐτοὶ διοικεῖν θέλοντες τὰ πράγματα
τοῦτο προεφασίσαντο. τοῦ οὖν βασιλέως γεγονότος εἰκοσαε-
τοῦς, ῥωμαλέου τε ὄντος καὶ ἱκανοῦ πάνυ, ἑώρα ἑαυτὸν μη-
δὲν ἐξουσιάζοντα· καὶ ἐλυπεῖτο βλέπων Σταυράκιον τὸν πα-
τρίκιον καὶ λογοθέτην τὰ πάντα κατέχοντα, καὶ πάντας πρὸς
αὐτὸν προσερχομένους, καὶ μηδενὸς τολμῶντος τῷ βασιλεῖ
συχνάσαι. καὶ βουλευσάμενος τοῖς οἰκείοις αὐτοῦ ἀνθρώποις
ὀλιγοστοῖς οὖσι, καὶ Πέτρῳ μαγίστρῳ καὶ Θεοδώρῳ πατρι- P. 392
κίῳ τῷ Καμουλιανῷ καὶ Δαμιανῷ τῷ πατρικίῳ, ἐκύρωσεν τοῦ
πιάσαι αὐτήν, καὶ ἐξορίσαι ἐν Σικελίᾳ, καὶ κρατῆσαι αὐτὸν
τὸ βασίλειον. τῇ δὲ Ϛ' τοῦ Φεβρουαρίου μηνὸς τῆς ιγ' ἰν-
δικτιῶνος σεισμὸς γέγονεν φοβερώτατος, ὥστε μὴ τολμῶντάς

1. ἐκινήθησαν — ἄνθρωποι πονηροὶ A, ἐκίνησεν ὁ διάβολος — ἀνθρώπους πονηροὺς e, ἐκίνησεν — ἀνθρώπους πονηροὺς vulg. 5. τὸν υἱόν σου A. τὴν add. ex A. 6. σοί ἐστιν A. ἐξαπατ. A, ἀπατ. vulg. 17. αὐτήν] αὐτὸν A. 18. τὸ βασίλειον μετὰ τῆς ἰδίας μητρὸς A. τῆς γ' ἰνδ. A. 19. τολμῶν e.

Hoc anno diabolus concepto in imperatorum religionem odio C. A. 782
scelestos homines concitavit, qui matrem in filium, ac filium adversus matrem committerent. illi etenim quasi ex praesagiis aut vaticiniis certiores facti: non est, inquiunt, a deo constitutum, ut filius tuus imperium teneat; illud quodcumque est, tuum est, et a deo tibi commissum. illa, ceu mulier ex proclivi decipienda, imperandi ambitione laborans, id ita decretum in animum sibi de facili induxit, nec eos, qui imperium persuaderent, ipsos rempublicam administrandi libidine graviter moveri non animadvertit. imperator igitur annum vicesimum iam superans, cum rebus gerendis idoneum, nec tamen in rempublicam potestatem ullam exercentem se contemplaretur, quin immo Stauracii patricii et logothetae curae cuncta commissa, ad eum solum omnes confluere, ad se, qui accedat, neminem audere animadvertens, vehementer indoluit. consilio itaque cum familiaribus sibi viris, numero certe paucis, communicato, fuerunt illi Petrus magister, Theodorus patricius Camulianus et Damianus item patricius, matrem detinere, ac subinde in Siciliam relegare, ipse vero rerum omnium summam propria auctoritate administrare statuit. mensis porro Fe-

τινας ἐν οἴκῳ καθευδῆσαι, ἀλλὰ πάντας εἰς τοὺς κήπους καὶ
τὰ ἔξάερα σκηνὰς ποιήσαντας διάγειν. ἡ δὲ βασίλισσα μετὰ
τῷ υἱῷ αὐτῆς ἐξῆλθεν ἐν τῷ ἁγίῳ Μάμαντι. μηνυθείσης δὲ
τῷ Σταυρακίῳ τῆς προφάσεως ταύτης, συγκινεῖ τὴν Αὐγου-
B σταν κατὰ τοῦ υἱοῦ, καὶ πιάσασα τοὺς ἀνθρώπους τοῦ βα-
λίεως, πάντας δείρασα καὶ κουρεύσασα σὺν Ἰωάννῃ τῷ πρω-
τοσπαθαρίῳ καὶ Βαγύλῳ αὐτοῦ, λεγομένῳ Πικριδίῳ, ἐξόρισεν
ἐπὶ τὰ κατωτικὰ μέρη ἕως Σικελίας. τὸν δὲ μάγιστρον Πέ-
τρον ἀτιμίαις περιβαλοῦσα, ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτῆς· ὁμοί-
ως καὶ Θεόδωρον τὸν πατρίκιον τὸν καμουλιανόν· τὸν δὲ πα-
τρίκιον Δαμιανὸν δείρασα καὶ κουρεύσασα, εἰς Ἀπολλωνιάδα
V. 312 τὸ κάστρον ἐξώρισεν. τύψασα δὲ καὶ τὸν υἱὸν καὶ πολλὰ
λοιδορήσασα, ἀπρόϊτον ἐποίησεν ἐπὶ ἡμέρας ἱκανάς. ἤρξατο
C δὲ ὁρκίζειν τὸν στρατόν, ὅτι ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν
υἱόν σου κρατῆσαι. καὶ ὤμνυον πάντες οὕτως, μηδενὸς τολ-
μῶντος ἀντειπεῖν περὶ τούτου τὸ σύνολον. στόλος δὲ Ἀράβων
ἐξῆλθεν ἐπὶ Κύπρον, καὶ τοῦτο προγνοῦσα ἡ βασίλισσα
ἐσώρευσε καὶ αὐτὴ πάντα τὰ Ῥωμαϊκὰ πλοῖα, καὶ ἀπέλυσε
κατ' αὐτῶν. ἐλθόντες δὲ ἕως τὰ Μῦρα ἀμφότεροι οἱ στρα-
τηγοὶ ἔκαμψαν τὸ ἀκρωτήριον τῶν Χελιδονίων, καὶ εἰσῆλθον

6. δῆσασα A. 7. αὐτοῦ add. ex A. 17. καὶ τοῦτο A, τοῦτο
δὲ vulg. 18. πλοῖματα A.

bruarii die nono indictione decima tertia motus terrae violens adeo contigit, ut in domibus dormituri se continere caverent homines, sed omnes in hortis ac sub dio tentoriis erectis diversarentur. imperatrix autem ad sanctum Mamantem cum filio perrexit. conspirationis autem adversum se instructae Stauracius certior factus, Augustam in filium concitat. mox ipsa imperatoris domesticis manibus iniectis, cunctos diris verberibus caesos et tonsos cum Ioanne protospathario et Baiulo, cui Picridius cognomentum, ad inferius remotos imperii fines in Siciliam usque relegavit exules. magistrum etiam Petrum dedecore contumeliisque affectum domi se continere, quemadmodum etiam Theodorum patricium Camulianum, iussit. ad hos patricium Damianum verberatum tonsumque in castrum Apolloniadem deportavit. filium denique pari verberum mulctae et contumeliarum ignominiae subiectum domi detinuit, ita ut per plures dies in publicum non prodierit, eoque tandem exercitum suis importunitatibus adegit, ut milites in consilium hoc adduceret: filium tuum imperare, donec vixeris, non patiemur, iuraruntque ita omnes, cum nullus circa istud ei omnino repugnare auderet. interea Arabum classis in Cyprum expeditionem suscepit: quod cum imperatrix praesensisset, collectas pariter Romanas omnes naves in eos instruxit. cum autem ambo duces Myram pervenissent, superato Chelidoniorum promontorio in Ataliae

ἐπὶ τὸν κόλπον τῆς Ἀτταλείας. οἱ δὲ Ἄραβες κινήσαντες ἀπὸ τῆς Κύπρου, καὶ εὐδίας αὐτοὺς καταλαβούσης, περιεφέροντο ἐν τῷ πελάγει. ἀναφανέντων δὲ αὐτῶν τὴν γῆν, εἶδον αὐτοὺς οἱ στρατηγοί, καὶ παραταξάμενοι ἡτοιμάσθησαν τοῦ πολεμεῖν. Θεόφιλος δὲ ὁ τῶν Κιβυρραιωτῶν στρατηγός, ῥωμαλέος ἀνὴρ D καὶ ἱκανώτατος ὤν, θαρσήσας καὶ πάντων προεξελθών, τούτοις τε συμβαλών, ἐκρατήθη ὑπ' αὐτῶν, ὃν ἀπήγαγον πρὸς Ἀαρών, θεαθείς τε παρ' αὐτοῦ, προετράπη προδότης γενέσθαι, καὶ προσκαίρων δωρεῶν τυχεῖν. τοῦ δὲ μὴ καταδεξαμένου, ἐπὶ πλέον δὲ ἀναγκασθέντος, καὶ μὴ ὑπείξαντος, τὴν διὰ ξίφους τιμωρίαν ὑπομείνας, μάρτυς ἄριστος ἀνεδείχθη.

Ῥωμαίων βασιλέως Κωνσταντίνου ἔτος α'. A.M.6283

Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ, ἰνδικτιῶνι ιδ', κατέλα- P.393
βον οἱ ὁρκίζοντες εἰς τὸ θέμα τῶν Ἀρμενιακῶν· οἱ δὲ οὐ κατεδέξαντο ὁμόσαι, ὅτι οὐ βασιλευόμεθα ὑπὸ τοῦ υἱοῦ σου ἐν τῇ ζωῇ σου, οὐδὲ προτάσσομεν τὸ ὄνομα Εἰρήνης πρὸ B Κωνσταντίνου, ἀλλὰ Κωνσταντίνου καὶ Εἰρήνης, ὡς ἐξ ἀρχῆς παρελάβομεν. ἀπέστειλεν δὲ πάλιν πρὸς τὸ πιάσαι αὐτοὺς Ἀλέξιον τὸν σπαθάριον καὶ δρουγγάριον τῆς βίγλης, τὸ ἐπί-

2. εὐδείας A. 7. συμβαλὼν A, συμβάλλων vulg. 16. τὸ add. ex A. 17. *Κωνσταντίνου καὶ Εἰρήνης* A, *Κωνσταντῖνον καὶ Εἰρήνην* vulg. 18. *παρελάβομεν* A, *προελάβ.* vulg. 19. *βίγλης, τὸ* A, *βίγλας, τὸν* vulg.

siuum classem immiserunt. Arabes porro Cypro solventes tranquillitate exorta in mari oberrabant. cumque terram prospicere coepissent, extemplo eos adnavigantes classis praefecti conspexerunt; quare classe ad praelium instructa, bellum commiserunt. Theophilus autem, Cibyrrhaeotarum dux, vir rubustus et militiae idoneus, animo nimium confidens, caeteris omnibus retro relictis hostes aggressus, ab ipsis captus ad Aaronem adductus est. in eius conspectu positum, religionis desertorem et proditorem fieri, terrenisque rebus voluptuose delectari pluribus Aaron hortatus est. is cum oblata quaeque respueret, et magis ac magis pollicitationibus et minis sollicitatus non acquiesceret, tandem gladii poenam perpessus insignis martyr evasit.

Romanorum imperatoris Constantini annus primus. A. C. 783

Hoc anno mense Septembri indictione decima quarta, qui Irenes nomine iusiurandum a militibus exigebant, illud ab Armeniacorum themate praestandum expetierunt. illi sacramento se obstringere his verbis recusantes: filio tuo per vitam omnem subiiciemur, inquiunt, nec unquam Irenes nomen Constantini nomini praeponi patiemur, sed Constantinum et Irenem, quod ab initio praestitimus, semper appellabimus. imperatrix iis rursum demulcendis Alexium cognomine Muselem spatharium et vigiliarum drungarium destinavit. quare Arme-

κλην Μουσελέμ. οἱ δὲ κρατήσαντες αὐτὸν τοῦ ἄρχειν ἑαυ-
τῶν προεβάλοντο. Νικηφόρον δὲ τὸν πατρίκιον καὶ στρατη-
γὸν αὐτῶν φρουρήσαντες, Κωνσταντῖνον μόνον βασιλέα ἀνε-
φήμησαν. τοῦτο μαθόντες οἱ τῶν λοιπῶν θεμάτων λαοί, τοὺς
στρατηγοὺς αὐτῶν διώξαντες, Κωνσταντῖνον μόνον βασιλέα
C καὶ αὐτοὶ ἀνεκήρυττον. ὦ τῆς τοῦ πονηροῦ διαβόλου πανου-
γίας; πῶς διὰ πολλῶν μεθοδειῶν σπεύδει ἀπολέσαι τὸ τῶν
ἀνθρώπων γένος; οἱ γὰρ πρὸ δεκαπέντε χρόνων ὀμόσαν-
τὸν φοβερὸν ἐκεῖνον ὅρκον, καὶ ἔγγραφα ποιήσαντες, καὶ
τῷ ἁγίῳ βήματι ἀποθέμενοι, πάλιν ὤμνυον τῇ Εἰρήνῃ μὴ
βασιλευθῆναι ὑπὸ τοῦ υἱοῦ αὐτῆς ἐν τῇ ζωῇ αὐτῆς. καὶ ἐπὶ
θις τούτου ἐπιλαθόμενοι Κωνσταντῖνον αὐτοκράτορα ἀνεκη-
μουν, μὴ ἐννοήσαντες οἱ τάλανες, ὅτι οὐκ ἔδει ἀντωμοσίαν
ποιῆσαι. ἀνάγκη γὰρ πᾶσα τῇ ἀντωμοσίᾳ τὴν ἐπιορκίαν ἀ-
V. 313 ρακολουθῆσαι, ἐπιορκία δὲ θεοῦ ἄρνησις. συναχθέντες δὲ ἐ-
D Ὀκτωβρίῳ μηνὶ τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος οἱ τῶν
θεμάτων ἐν τῇ Ἀτρῴᾳ ἐπεζήτησαν πάντες κοινῇ γνώμῃ Κων-
σταντῖνον βασιλέα εἰκοστὸν ἄγοντα ἔτος· φοβηθεῖσα δὲ Εἰρήνη
τὸ ὁρμημα τοῦ λαοῦ ἀπέλυσεν αὐτόν. αὐτοὶ δὲ τοῦτον αὐτο-
κράτορα ἐκύρωσαν μέν, ἀπεκήρυξαν δὲ τὴν τούτου μητέρα.

1. ἑαυτῶν A, αὐτῶν vulg. 5. μόνον om. A. 7. μεθοδειῶν A, μεθοδιῶν vulg. 12. τούτου A, τοῦτο vulg. 17. ἐπεζήτησαν A, ἐπιζητήσαντες vulg.

niaci eum secum retentum sibi praefecerunt: proprium autem ducem Nicephorum patricium in custodiam coniicientes, Constantinum solum imperatorem elatis vocibus celebraverunt. nuncio huiusmodi accepto reliquorum thematum turmae, propriis ducibus fugatis, Constantinum imperatorem solum pari suffragio praedicaverunt. o diaboli vere maligni versutiam! quam variis artibus hominum genus perdere molitur? iidem sane qui ante annos quindecim tremendo illo iureiurando scriptis etiam consignato, et ad sacrum tribunal deposito, se fidem servaturos Constantino obstrinxerant, nunc Irene, quamdiu fuerit in vivis, eius filio nunquam subiiciendos, nec filii imperium passuros pari sacramento protestantur. mox ultimi iurisiurandi facti immemores iterum Constantinum ceu imperatorem faustis prosequuntur acclamationibus, nec se iureiurando aliud sacramentum opponere advertunt. contraria quippe iureiurando affirmantibus periurium admittere omnino necesse est. periurium autem si admiseris, ipsum deum negas. Octobri porro mense indictione quarta decima legiones thematum cunctae apud Atroam collectae Constantinum, vicesimum tunc annum agentem, solum imperatorem agnosci postulaverunt. quare exercitus impetum Irene formidans filium tandem dimisit. Constantino in imperii sede

ἀπέστειλεν δὲ ὁ βασιλεὺς εὐθέως Μιχαὴλ τὸν Λαχανοδράκοντα καὶ Ἰωάννην τὸν βάγυλον αὐτοῦ καὶ πρωτοσπαθάριον, καὶ ὥρκισαν τοὺς Ἀρμενιακοὺς τοῦ μὴ δέξασθαι Εἰρήνην τὴν μητέρα αὐτοῦ εἰς βασίλισσαν· τὸν δὲ Ἀλέξιον ἐπεκύρωσεν στρατηγὸν αὐτῶν. καὶ ἐπανελθὼν ὁ βασιλεὺς ἐν τῇ πόλει P. 394
τῷ Δεκεμβρίῳ μηνί, δείρας καὶ κουρεύσας ἐξώρισεν Σταυράκιον εἰς τὸ θέμα τῶν Ἀρμενιακῶν πρὸς πληροφορίαν αὐτῶν. ἐξώρισεν δὲ καὶ Ἀέτιον τὸν εὐνοῦχον καὶ πρωτοσπαθάριον καὶ ἐπιστήθιον αὐτῆς, καὶ πάντας τοὺς οἰκειακοὺς αὐτῆς εὐνούχους· ταύτην δὲ μετὰ τῆς ἀπαθείας αὐτῆς ἐκάθισεν ἐν τῷ παλατίῳ τοῦ Ἐλευθερίου, ὃ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ καὶ τὰ πλεῖστα χρήματα ἦν κατακρύψασα. ἐγένετο δὲ τῷ αὐτῷ μηνὶ ἐμπυρισμός, καὶ ἐκάη ὁ τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ τὸ κοιαιστώριον καὶ ἄλλαι οἰκίαι πολλαὶ ἕως τοῦ Μιλίου. τῷ δὲ Ἀπριλλίῳ μηνὶ ἐπιστρατεύσας Κωνσταντῖνος κατὰ Βουλγάρων, ἦλθεν εἰς τὸ ἐπιλεγόμενον B
Προβάτου κάστρον, εἰς τὸ τοῦ ἁγίου Γεωργίου ῥυάκιν· καὶ συναντήσας Καρδάμῳ τῷ κυρῷ Βουλγαρίας, μικροῦ πολέμου περὶ τὴν ἑσπέραν γεγονότος, δειλανδρίσαντες οἱ Ῥωμαῖοι διὰ τῆς νυκτὸς ἔφυγον, καὶ ὑπέστρεψαν ἀδόξως· καὶ οἱ Βούλγαροι φοβηθέντες ὑπέστρεψαν.

5. ἐν add. ex A. 11. καὶ add. ex A. 16. ἐπιλεγ. A, λεγ. vulg. 19. περὶ A. κατὰ vulg. δειλανδρίσ. A, δειλανδρήσ. vulg.

confirmato, matrem omni potestate milites abdicarunt. imperator subinde Michaelem Lachanodraconem et Ioannem baiulum suum et protospatharium misit, qui Armeniacorum fidem accepto ab eis sacramento devinceret, ne matrem amplius imperatricem agnoscerent, Alexiumque eorum ducem confirmavit. mense vero Decembri in urbem reversus imperator Stauracium caesum et capillis tonsum in Armeniacorum provinciam, quo magis ipsis gratum faceret, Aetium quoque eunuchum Irenes, protospatharium et intimum, reliquosque omnes eunuchos eius domesticos relegavit, ipsam vero matrem in palatio, quod ad Eleutherium struxerat, in quo magnam opum vim reposuerat, securam et commodam vitam agere praecepit. caeterum eodem mense contigit incendium, quo patriarchii triclinium, Thomaites dictum, quaestorium, et ad Milium usque plures aedes conflagrarunt. mense autem Aprili imperator expeditione in Bulgaros suscepta, ad castrum, quod Probati dicitur, iuxta sancti Georgii rivum venit, ubi cum in Cardamum Bulgariae domnum incidisset, levi pugna vespere commissa, Romani timore perculsi, per noctem in fugam se dederunt, atque ita cum dedecore reversi sunt. Bulgari etiam exterriti in provinciam se receperunt.

A.M.6284 *Τούτῳ τῷ ἔτει μηνὶ Σεπτεμβρίῳ ἐπεστράτευσεν ὁ βασιλεὺς κατὰ Ἀράβων, καὶ ἀπάρας ἐκ τοῦ Ἀμωρίου ἀπῆλθεν εἰς*
C *Ταρσὸν τῆς Κιλικίας. ἐλθὼν δὲ εἰς Ἀνύδρους πύργους πάλιν ἀνεθυπέστρεψε κενὸς μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι ιε'. τῇ δὲ ιε' τοῦ Ἰανουαρίου μηνὸς παρακληθεὶς ὑπὸ τῆς ἰδίας μητρὸς καὶ πολλῶν τῶν ἐν τέλει, ἀναγορεύει αὐτὴν πάλιν, καὶ συνευφημίζεται σὺν αὐτῷ, ὡς ἐξ ἀρχῆς Κωνσταντίνου καὶ Εἰρήνης. καὶ πάντες μὲν πειθαρχοῦσιν. τὸ δὲ τῶν Ἀρμενιακῶν θέμα ἑκστάντες πρὸς τοῦτο στασιάζουσιν, καὶ*
ἐπιζητοῦσιν Ἀλέξιον τὸν πρὸ μικροῦ στρατηγήσαντα καὶ τὸ τηνικαῦτα τοῦ βασιλέως μετὰ λόγου προσκαλεσαμένου αὐτόν, καὶ τῇ τοῦ πατρικίου ἀξίᾳ τιμήσαντος, καὶ πρὸς ἑαυτὸν
κατασχόντος. τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν, καὶ
D *τινας λόγους περὶ αὐτοῦ ῥεσκομένους, ὡς μέλλειν αὐτὸν βασιλεύειν δείρας καὶ κουρεύσας ἐν τῷ πραιτωρίῳ ἀπέθετο. τῷ δὲ Ἰουλίῳ μηνὶ ἐπεστράτευσεν κατὰ Βουλγάρων, καὶ ἔκτισε τὸ κάστρον Μαρκέλλων· καὶ τῇ εἰκοστῇ τοῦ Ἰουλίου μηνὸς ἐξῆλθεν Κάρδαμος ὁ κύριος τῆς Βυλγαρίας μετὰ πάσης τῆς δυνάμεως αὐτοῦ, καὶ ἔστη ἐν τοῖς ὀχυρώμασι. θερμανθέντες δὲ οἱ βασιλεύς, καὶ ὑπὸ ψευδοπροφητῶν πεισθείς, ὡς αὐτοῦ ἔσται ἡ νίκη, ἀσκόπως καὶ ἀτάκτως συνέβαλεν πολε-*

4. ἀνθυπέστρ. A, ἀνθύστρ. vulg. 9. ἑστάντες A. 14. ῥεσκουμένους A, ῥευκόμενος f (?) 17. τὸ add. ex A.

A.C. 784 Hoc anno mense Septembri imperator armata manu in Arabes profectus est; ab Amorio autem movens, Tarsum Ciliciae *urbem* perrexit. ad turres autem Anydras ita dictas veniens, re prorsus infecta remeavit, mense Octobri, indictione decima quinta. mensis autem Ianuarii die decimo quinto ab ipsa matre multisque *optimatibus* exoratus, imperatricem iterum eam renunciat, et cum eo faustis populi exclamationibus, velut olim, excipitur, in haec verba, Constantino *et* Irene multos annos. imperatoris placito cuncti paruerunt. solum Armeniacorum thema rei novitate perculsum tumultuatur, et Alexium pridem suum ducem, quem imperator quodam obtentu revocatum *et* patricii dignitate promotum penes se retinuerat, accersitum sibi reddi et in officium restitui sollicitant. eum itaque, quod tanto ardore repetiissent Armeniaci, quodque sermones de eo, quasi de *imperatore* futuro, in vulgus spargerentur, Constantinus verberibus caesum et capillis detonsum in praetorium detrusit. porro Iulio mense exercitum in Bulgaros expedivit, et castrum Marcellorum condidit. *eiusdem vero* mensis Iulii die vicesimo, Cardamus Bulgariae domnus, copiis ditionis suae omnibus eductis, postmodum in locis munitis substitit. imperator iuvenili ardore succensus et a falsis vatibus victoriam ei prae-

μιον, καὶ ἡττᾶται σφοδρῶς. ἐπανέρχεται δὲ φυγὰς ἐν τῇ πόλει πολλοὺς ἀποβαλών, οὐ μόνον τοῦ κοινοῦ λαοῦ, ἀλλὰ καὶ P. 395
τῶν ἐν τέλει, ἐν οἷς καὶ Μιχαὴλ μάγιστρον Λαχανοδράκοντα, V. 314
καὶ Βάρδαν πατρίκιον, καὶ Στέφανον πρωτοσπαθάριον, τὸν Χαμέα, Νικήταν τε καὶ Θεόγνωστον στρατηγοὺς γεγονότας καὶ ἀνθρώπους βασιλικοὺς οὐκ ὀλίγους, καὶ Παγκράτιον τὸν ψευδοπροφήτην καὶ ἀστρονόμον, ὅστις καὶ νικᾷν αὐτὸν προεφήτευσεν. ἐπείρασι δὲ καὶ τὸ τοῦλδον, χρήματά τε καὶ ἵππους καὶ τὴν κόρτην μετὰ πάσης τῆς βασιλικῆς ὑπουργίας. οἱ τῶν δὲ ταγμάτων ἐπισυναχθέντων ἐν τῇ πόλει, ἐβουλεύσαντο ἐξαγαγεῖν Νικηφόρον τὸν ἀπὸ καισάρων, καὶ στῆσαι εἰς βασιλέα. τοῦτο γνοὺς Κωνσταντῖνος, ἀποστείλας ἐξήγαγεν ἀμ- B
φοτέρους τοὺς υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ ἐν τῷ ἁγίῳ Μάμαντι· καὶ τὸν μὲν Νικηφόρον ἐτύφλωσεν, Χριστοφόρου δὲ καὶ Νικήταν, Ἀνθιμόν τε καὶ Εὐδόκιμον ἐγλωσσοκόπησεν· σὺν αὐτοῖς δὲ καὶ Ἀλέξιον τὸν προλεχθέντα πατρίκιον ἐτύφλωσεν, πεισθεὶς ταῖς μητρικαῖς εἰσηγήσεσι, καὶ Σταυρακίου τοῦ προρρηθέντος πατρικίου, ὡς εἰ μὴ τοῦτον ἐκτυφλώσειεν, εἰς βασιλέα αὐτὸν ψηφίζονται. ἐγένετο δὲ ἡ τούτων ποινὴ μηνὶ Αὐγούστῳ, ἡμέρᾳ σαββάτῳ, ἰνδικτιῶνι ιε',

5. Χαμέαν A. 8. ἐπείρασι] ἀπήρασιν A, utrumque manifesto corruptum: scribendum ut infra p. 734, 11. ἀπῆραν. 11. εἰς add. ex A. 17. πεισθεὶς ταῖς A, π. δὲ ταῖς vulg.

nunciantibus seductus, inconsulte, et agminibus incompositis pugnam conserens, gravi clade afficitur. urbem itaque fugitivus repetit, multis, non ex gregariis modo militibus, sed et viris in dignitate constitutis amissis, inter quos fuerunt Michael magister Lachanodraco, Bardes patricius, Stephanus protospatharius, Chamaeas ac Nicetas et Theognostus, qui duces extiterant, hominesque ex imperatorio comitatu non pauci: Pancratius etiam, falsus ille vates et astronomus, qui imperatoris victoriam futuram praedixerat. ad haec Bulgari impedimentis, facultatibus, equis et tentoriorum omnium apparatu cum universa imperatoria supellectile potiti fuerunt. caeterum militares ordines in urbem invecti Nicephorum excaesarem educere et imperatorem renunciare consiliati sunt. Constantinus coniuratione patefacta, qui Constantini avi sui filium utrumque ad sancti Mamantis locum educerent, misit, ac Nicephorum quidem oculorum orbitate damnavit, Christophoro vero, Nicetae, Anthimo et Eudocimo linguas praescindi iussit: cum eis quoque Alexium, quem diximus, patricium oculorum usu privavit, maternis maxime et Stauracii patricii, de quo hucusque frequens sermo, consiliis inductus, qui istum nisi oculis orbaretur, in imperatorem electum iri asserebant. supplicium itaque mense Augusto, sabbati die, indictione decima quinta, hora nona, eis

ὥρᾳ θ'. ἀλλ' οὐκ εἰς μακρὰν ἡ θεία δίκη ἀνεκδίκητον εἴασεν
C τὴν ἄδικον ταύτην πρᾶξιν. μετὰ γὰρ πενταετῆ χρόνον τῷ
αὐτῷ μηνί, καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου τυφλοῦται ὑπὸ
τῆς ἰδίας μητρὸς ὁ αὐτὸς Κωνσταντῖνος.

A.M. 6285 Τούτῳ τῷ ἔτει ἀκούσαντες οἱ Ἀρμενιακοὶ περὶ τοῦ πε-
τρικίου Ἀλεξίου, ὅτι ἐτυφλώθη, ἐφυλάκισαν τὸν στρατηγὸν
αὐτῶν Θεόδωρον καὶ πατρίκιον τὸν Καμουλιανόν. καὶ μα-
θὼν ὁ βασιλεὺς ἀπέλυσεν τὸν πρωτοσπαθάριον Κωνσταντῖνον
D τὸν Ἀρτασήρ, καὶ τὸν Χρυσοχέρην στρατηγὸν τῶν Βουκελλα-
ρίων μετὰ τοῦ λαοῦ τῶν λοιπῶν θεμάτων, τοῦ πεῖσαι αὐτούς.
οἱ δὲ κροτήσαντες πόλεμον πρὸς αὐτούς, ἐπίασαν ἀμφοτέρους
καὶ ἐτύφλωσαν, καὶ ἐσφάγησαν πολλοὶ ἐξ ἀμφοτέρων μερῶν
μηνὶ Νοεμβρίῳ τῆς α' ἰνδικτιῶνος· τῷ δὲ Δεκεμβρίῳ μηνὶ κέ,
ὥρᾳ δευτέρᾳ τῆς νυκτός, βροντῆς καὶ ἀστραπῆς γενομένης,
ἀνήφθη μέρος τοῦ βασιλικοῦ ἐργοδοσίου τῶν χρυσοχλαβα-
ρίων κατὰ τὸν χρυσίωνα. μετὰ δὲ τὸ ἅγιον πάσχα ἐπεστρά-
τευσεν ὁ βασιλεὺς κατὰ τῶν Ἀρμενιακῶν μετὰ καὶ πάντων
τῶν λοιπῶν θεμάτων. καὶ τῇ κζ' τοῦ Μαΐου μηνὸς τῆς
πρώτης ἰνδικτιῶνος, ἡμέρα κυριακῇ τῆς πεντηκοστῆς πολε-
P. 396 μήσας αὐτούς, δόλῳ τῶν σὺν αὐτοῖς Ἀρμενίων προδεδω-
κότων, νικήσας συλλαμβάνει αὐτούς, καὶ ἀναιρεῖ Ἀνδρόνικον

1. ἡ τοῦ θεοῦ δ. A. ἀνεκδίκ. A, ἀνεξεκδίκ. vulg. 12. ἐξ ἀμφ. A, τῶν ἀμφ. vulg. 13. τῷ δὲ Δεκεμβρίῳ μηνὶ A, τῇ δὲ Δεκεμβρίου vulg. 16. χρυσίωνα A a f, χρουσ. vulg. 17. πάντα τὰ λοιπὰ θέματα A a f. 21. νικήσας A, Νικήτας vulg.

irrogatum. in spatium tamen haud diutinum iniustum huiusmodi facinus inultum divina iustitia distulit. solius etenim quinquennii exacto intervallo eiusdem mensis et sabbati die a propria matre Constantinus ipse oculis orbatus est.

A. C. 785 Hoc anno Armeniaci caecitatis Alexio patricio illatae accepto nuncio Theodorum patricium Camulianum ducem suum in custodiam coniecerunt. ea re audita Constantinum Artaser protospatharium et Chrysocherem Bucellariorum ducem cum reliquorum thematum copiis ad Armeniacos in officio continendos misit. illi bello in utrumque instructo, utrumque etiam in potestatem acceptum oculorum usu multant, plurima exercituum parte utrinque caesa, indictionis primae mense Novembri. Decembris porro die vicesimo quinto hora *noctis* secunda, aere crebris fulminibus et fulguribus turbato, imperatoriarum officinarum ea pars, quae ad aurificinam phrygionibus assignata est, conflagravit. celebratis autem paschatis solemnibus, *thematibus* universis una secum eductis, imperator in Armeniacos vires imperii convertit. mensis vero Maii die vicesimo septimo, indictione prima, ipsa pentecostes festiva dominica, praelio cum eis inito, sociorum

σπαθάριον καὶ τουρμάρχην αὐτῶν καὶ Θεόφιλον τουρμάρχην καὶ Γρηγόριον ἐπίσκοπον Σινώπης· τοὺς δὲ λοιποὺς ζημείαις καὶ δημεύσεσι καθυπέβαλεν. χιλίους δὲ ἐκ τοῦ κάστρου αὐτῶν δεσμήσας ἐν τῇ πόλει ἐξήγαγεν διὰ τῆς πόρτης Βλαχερνῶν, μηνὶ Ἰουλίῳ κδ', ἡμέρᾳ δευτέρᾳ, ὧν ἐπιγράψας τὰ πρόσωπα μέλανι κεντητῷ, Ἀρμενιακὸς ἐπίβουλος, διέσπειρεν αὐτοὺς ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις. οἱ δὲ προδόται αὐτῶν Ἀρμένιοι μηδὲν φιλοτιμηθέντες παρὰ τοῦ βασιλέως, τὸ κάστρον Κάμαχον παρέδωκαν τοῖς Ἄραψι. B

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι δευτέρᾳ, παρέλαβον οἱ Ἄραβες τὸ κάστρον Θήβασαν ὑπὸ λόγον· διὸ καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέλυσαν πορευθῆναι εἰς τὰ ἴδια. A.M. 6286 V. 315

Τούτῳ τῷ ἔτει μισήσας ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ καταγνωσθῆναι αὐτὸν ὑπὸ πάντων, ἐξεβιάσατο αὐτὴν γενέσθαι μοναστρίαν, καὶ πείσας αὐτήν, ἀπέκειρεν μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνι γ'. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ἐπεστράτευσεν κατὰ Ἀράβων· καὶ τῇ ὀγδόῃ τοῦ Μαΐου μηνὸς πολεμήσας μεθ' ἑνὸς κούρσου αὐτῶν ἐν τόπῳ ἐπιλεγομένῳ Ἀνουσάν, A.M. 6287 C

5. μηνὶ Ἰουλίῳ A, μηνὶ δὲ Ἰουνίῳ vulg. 16. τοῦ γεν. αὐτὴν A. 19. ἑνὸς κούρσ. A, ἑνὸς τοῦ κ. vulg. ἐπιλεγ. A, λεγ. vulg.

Armeniorum dolis eos tradentium universos victos comprehendit, ex quibus Andronicum spatharium et eorum turmarcham, Theophilum item turmarcham et Gregorium Sinopes episcopum neci addicit, et in reliquos mulctis et proscriptionibus animadvertit. mille porro ex ipsis vinculis constrictos ex ipsorum castro eductos in urbem per Blachernarum portam introduxit; ac denique mensis Iunii die vigesimo quarto, feria secunda, notata puncturis singulorum facie, et in ipsam atramento superinfuso, inscripsit: Armeniacus insidiator: per Siciliam et reliquas insulas eos relegatos dispersit. proditores autem Armenii, speratis ab impertore muneribus fraudati, Camachum castrum Arabibus tradiderunt.

Hoc anno, mense Octobri, indictione secunda, Arabes, pactis conditionibus, Thebasam urbem in potestatem miserunt; eapropter loci proceres in proprias domos se recipere permiserunt. A.C. 786

Hoc anno imperator uxoris Mariae consortii pertaesus, matris consilio, quae, ut imperandi potestatem ad se traduceret, cunctorum odiis filium exponere satagebat, monialem eam fieri compulit, ac propositum huiusmodi persuasam in monasterio capillis abdicavit mense Ianuario, indictione tertia. insequente autem Aprili in Arabes expeditionem movit, subindeque mensis Maii die octavo, cum uno adversi exercitus excursorum duce manibus consertis victoriam tulit, et in fugam versum ad locum Anusam dictum usque ad fluvium abegit. A.C. 787

ὥρᾳ θ'. ἀλλ' οὐκ εἰς μακρὰν ἡ θεία δίκη ἀνεκδίκητον εἴασεν
C τὴν ἄδικον ταύτην πρᾶξιν. μετὰ γὰρ πενταετῆ χρόνον τῷ
αὐτῷ μηνί, καὶ τῇ αὐτῇ ἡμέρᾳ τοῦ σαββάτου τυφλοῦται ὑπὸ
τῆς ἰδίας μητρὸς ὁ αὐτὸς Κωνσταντῖνος.

A.M. 6285 Τούτῳ τῷ ἔτει ἀκούσαντες οἱ Ἀρμενιακοὶ περὶ τοῦ πα-
τρικίου Ἀλεξίου, ὅτι ἐτυφλώθη, ἐφυλάκισαν τὸν στρατηγὸν
αὐτῶν Θεόδωρον καὶ πατρίκιον τὸν Καμουλιανόν. καὶ μα-
θὼν ὁ βασιλεὺς ἀπέλυσεν τὸν πρωτοσπαθάριον Κωνσταντῖνον
D τὸν Ἀρτασήρ, καὶ τὸν Χρυσοχέρην στρατηγὸν τῶν Βουκελλα-
ρίων μετὰ τοῦ λαοῦ τῶν λοιπῶν θεμάτων, τοῦ πεῖσαι αὐτούς. οἱ
δὲ κροτήσαντες πόλεμον πρὸς αὐτούς, ἐπίασαν ἀμφοτέρους
καὶ ἐτύφλωσαν, καὶ ἐσφάγησαν πολλοὶ ἐξ ἀμφοτέρων μερῶν
μηνὶ Νοεμβρίῳ τῆς α' ἰνδικτιῶνος· τῷ δὲ Δεκεμβρίῳ μηνὶ κέ,
ὥρᾳ δευτέρᾳ τῆς νυκτός, βροντῆς καὶ ἀστραπῆς γενομένης,
ἀνήφθη μέρος τοῦ βασιλικοῦ ἐργοδοσίου τῶν χρυσοκλαβα-
ρίων κατὰ τὸν χρυσίωνα. μετὰ δὲ τὸ ἅγιον πάσχα ἐπεστρά-
τευσεν ὁ βασιλεὺς κατὰ τῶν Ἀρμενιακῶν μετὰ καὶ πάντων
τῶν λοιπῶν θεμάτων. καὶ τῇ κζ' τοῦ Μαΐου μηνὸς τῆς
πρώτης ἰνδικτιῶνος, ἡμέρα κυριακῇ τῆς πεντηκοστῆς πολε-
P. 396 μήσας αὐτούς, δόλῳ τῶν σὺν αὐτοῖς Ἀρμενίων προδεδω-
κότων, νικήσας συλλαμβάνει αὐτούς, καὶ ἀναιρεῖ Ἀνδρόνικον

1. ἡ τοῦ θεοῦ θ'. A. ἀνεκδίκ. A, ἀνεξεκδίκ. vulg. 12. ἐξ ἀμφ. A, τῶν ἀμφ. vulg. 13. τῷ δὲ Δεκεμβρίῳ μηνὶ A, τῇ δὲ Δεκεμβρίου vulg. 16. χρυσίωνα A a f, χρουσ. vulg. 17. πάντα τὰ λοιπὰ θέματα A a f. 21. νικήσας A, Νικήτας vulg.

irrogatum. in spatium tamen haud diutinum iniustum huiusmodi facinus inultum divina iustitia distulit. solius etenim quinquennii exacto intervallo eiusdem mensis et sabbati die a propria matre Constantinus ipse oculis orbatus est.

A. C. 785 Hoc anno Armeniaci caecitatis Alexio patricio illatae accepto nuncio Theodorum patricium Camulianum ducem suum in custodiam coniecerunt. ea re audita Constantinum Artaser protospatharium et Chrysocherem Bucellariorum ducem cum reliquorum thematum copiis ad Armeniacos in officio continendos misit. illi bello in utrumque instructo, utrumque etiam in potestatem acceptum oculorum usu multant, plurima exercituum parte utrinque caesa, indictionis primae mense Novembri. Decembris porro die vicesimo quinto hora noctis secunda, aere crebris fulminibus et fulguribus turbato, imperatoriarum officinarum ea pars, quae ad aurificinam phrygionibus assignata est, conflagravit. celebratis autem paschatis solemnibus, thematibus universis una secum eductis, imperator in Armeniacos vires imperii convertit. mensis vero Maii die vicesimo septimo, indictione prima, ipsa pentecostes festiva dominica, praelio cum eis inito, sociorum

σπαθάριον καὶ τουρμάρχην αὐτῶν καὶ Θεόφιλον τουρμάρχην καὶ Γρηγόριον ἐπίσκοπον Σινώπης· τοὺς δὲ λοιποὺς ζημίαις καὶ δημεύσεσι καθυπέβαλεν. χιλίους δὲ ἐκ τοῦ κάστρου αὐτῶν δεσμήσας ἐν τῇ πόλει ἐξήγαγεν διὰ τῆς πόρτης Βλαχερνῶν, μηνὶ Ἰουλίῳ κδ', ἡμέρᾳ δευτέρᾳ, ὧν ἐπιγράψας τὰ πρόσωπα μέλανι κεντητῷ, Ἀρμενιακὸς ἐπίβουλος, διέσπειρεν αὐτοὺς ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις. οἱ δὲ προδόται αὐτῶν Ἀρμένιοι μηδὲν φιλοτιμηθέντες παρὰ τοῦ βασιλέως, τὸ κάστρον Κάμαχον παρέδωκαν τοῖς Ἄραψι. B

Τούτῳ τῷ ἔτει μηνὶ Ὀκτωβρίῳ, ἰνδικτιῶνι δευτέρᾳ, παρέλαβον οἱ Ἄραβες τὸ κάστρον Θήβασαν ὑπὸ λόγον· διὸ καὶ τοὺς ἄρχοντας αὐτοῦ ἀπέλυσαν πορευθῆναι εἰς τὰ ἴδια. A.M. 6286 V. 315

Τούτῳ τῷ ἔτει μισήσας ὁ βασιλεὺς τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ καταγνωσθῆναι αὐτὸν ὑπὸ πάντων, ἐξεβιάσατο αὐτὴν γενέσθαι μοναστρίαν, καὶ πείσας αὐτήν, ἀπέκειρεν μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνι γ'. καὶ τῷ Ἀπριλλίῳ μηνὶ ἐπεστράτευσεν κατὰ Ἀράβων· καὶ τῇ ὀγδόῃ τοῦ Μαΐου μηνὸς πολεμήσας μεθ' ἑνὸς κούρσου αὐτῶν ἐν τόπῳ ἐπιλεγομένῳ Ἀνουσάν, A.M. 6287 C

5. μηνὶ Ἰουλίῳ A, μηνὶ δὲ Ἰουνίῳ vulg. 16. τοῦ γεν. αὐτὴν A. 19. ἑνὸς κούρσ. A, ἑνὸς τοῦ κ. vulg. ἐπιλεγ. A, λεγ. vulg.

Armeniorum dolis eos tradentium universos victos comprehendit, ex quibus Andronicum spatharium et eorum turmarcham, Theophilum item turmarcham et Gregorium Sinopes episcopum neci addicit, et in reliquos mulctis et proscriptionibus animadvertit. mille porro ex ipsis vinculis constrictos ex ipsorum castro eductos in urbem per Blachernarum portam introduxit; ac denique mensis Iunii die vigesimo quarto, feria secunda, notata puncturis singulorum facie, et in ipsam atramento superinfuso, inscripsit: Armeniacus insidiator: per Siciliam et reliquas insulas eos relegatos dispersit. proditores autem Armenii, speratis ab impertore muneribus fraudati, Camachum castrum Arabibus tradiderunt.

Hoc anno, mense Octobri, indictione secunda, Arabes, pactis conditionibus, Thebasam urbem in potestatem miserunt; eapropter loci proceres in proprias domos se recipere permiserunt. A.C. 786 A.C. 787

Hoc anno imperator uxoris Mariae consortii pertaesus, matris consilio, quae, ut imperandi potestatem ad se traduceret, cunctorum odiis filium exponere satagebat, monialem eam fieri compulit, ac propositum huiusmodi persuasam in monasterio capillis abdicavit mense Ianuario, indictione tertia. insequente autem Aprili in Arabes expeditionem movit, subindeque mensis Maii die octavo, cum uno adversi exercitus excursorum duce manibus consertis victoriam tulit, et in fugam versum ad locum Anusam dictum usque ad fluvium abegit.

νικήσας καὶ τρέψας, ἤλασεν ἕως τοῦ ποταμοῦ. καὶ κατελθὼν εἰς Ἔφεσον, καὶ εὐξάμενος εἰς τὸν θεολόγον, τὸ κομμέρκιον τοῦ πανηγυρίου ἑκατὸν λιτρῶν χρυσίου ὄν, ἐκούφισεν πρὸς θεραπείαν τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰωάννου.
D τῷ δὲ Αὐγούστῳ μηνὶ ἔστεψεν ὁ βασιλεὺς τὴν Θεοδότην τὴν κουβικουλαρίαν Αὐγοῦσταν καὶ ἐμνηστεύθη αὐτῇ παρανόμως.

A.M.6288 Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος δ', ἐποίησε τὸν γάμον μετὰ Θεοδότης ὁ βασιλεὺς ἐν τῷ παλατίῳ τοῦ ἁγίου Μάμαντος, ἡμέρᾳ τετάρτῃ. τῷ δὲ Ἀπριλλίῳ μηνὶ τῆς αὐτῆς δ' ἰνδικτιῶνος, ἡμέρᾳ ἑβδόμῃ, ὥρᾳ νυκτερινῇ, γέγονε
P.397 σεισμὸς ἐν τῇ νήσῳ Κρήτῃ φοβερώτατος. ἐγένετο δὲ καὶ ἐν Κωνσταντινουπόλει μηνὶ Μαΐῳ τετάρτῃ πάνυ φοβερός. Κὲρδαμος δὲ ὁ κύρις Βουλγαρίας ἐδήλωσεν τῷ βασιλεῖ· ὅτι ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς Χρυσῆς πόρτης καὶ ἐρημῶ τὴν Θρᾴκην. ὁ δὲ βασιλεὺς βαλὼν καβαλλίνας ἀλόγου εἰς μανδύλιν, ἔπεμψεν αὐτῷ εἰπών· ὅτι οἷα μέν σοι πρέπει πάκτα, ἀπέστειλά σοι. γέρων δὲ εἶ· καὶ οὐ θέλω ἵνα κοπιάσῃς ἕως τῶν ὧδε· ἀλλ' ἐγὼ ἔρχομαι ἕως Μαρκέλλων, καὶ ἐξελθε. καὶ εἴ τι κρινεῖ ὁ θεός. καὶ ἀποστείλας ὁ βασιλεὺς εἰς τὰ περατικὰ θέματα ἐσώρευσεν τὸν λαὸν αὐτοῦ, καὶ ἦλ-

10. ἡμερῶν μ' A. 12. καὶ add. ex A. 14. ὅτι add. ex A.
16. ἐρημόνω A. βαλὼν A, βάλλων vulg. ἀλόγου A, ἐλόγων vulg. 19. τῶν ὧδε A, τοῦ ὧδε vulg. 21. εἰς add. ex A.

post haec Ephesum divertit, et votorum precibus ad theologum persolutis, nundinarum vectigal centum auri librarum pondo imminuit, et in sancti apostoli et evangelistae Ioannis cultum impendendum relaxavit. mense vero Augusto Theodoten cubiculariam imperator coronavit Augustam, et illegitimo eam sibi copulavit coniugio.

A. C. 788 Hoc anno, mense Septembri, indictione quarta, feria hebdomadis quarta, imperator, coniuncta sibi Theodote, in sancti Mamantis palatio nuptias celebravit. mense vero Aprili indictionis eiusdem quartae, feria septima, hora nocturna, horrendus plane terrae motus in Creta insula contigit: alius similis omnino tremendus Cpoli mensis Maii die quarto factus. porro Cardamus Bulgariae domnus imperatorem verbis interturbavit: aut tributa mihi persolve, aut ad Chrysen usque portam arma et per Thraciam universam vastitatem inferam. at imperator involuta sudario equina stercora ad eum remisit cum eiusmodi responsis: tributa quae te deceant misi. senior autem cum sis, huc usque venientem te fatigari nolo, ego ad Marcellorum castrum obvius prodibo. tu fac illuc etiam te conferas. de successu deus iudicabit. advocatis autem trans fretum positis copiis exercitum universum imperator collegit et Bersiniciam usque profectus est. Car-

θεν ἕως Βερσινικείας, καὶ ὁ Κάρδαμος ἦλθεν ἕως τοῦ δάσεως B
Ἀβρολέβα, καὶ δειλιάσας ἔμεινεν ἐν τῷ ἄλσει. ὁ δὲ βασιλεὺς
παραθαρρύνας τὸν λαὸν αὐτοῦ, ἀπῆλθεν ἕως τοῦ γυμνοῦ
Ἀβρολέβα προσκαλούμενος αὐτὸν ἐπὶ ἡμέρας ιζ'. ὁ δὲ οὐκ
ἐτόλμησεν, ἀλλ' ἐπανῆλθεν φυγὰς εἰς τὰ ἴδια. τῷ δ' αὐτῷ
χρόνῳ καὶ οἱ Ἄραβες ἦλθον ἕως τοῦ Ἀμωρίου, καὶ οὐδὲν
ἀνύσαντες ὑπέστρεψαν αἰχμαλωσίαν εἰς τὰ περίχωρα ποιή-
σαντες.

Τῷ δ' αὐτῷ ἔτει Πλάτων ὁ τοῦ σακκουδίωνος ἡγούμενος
ἀπέστησεν τῆς κοινωνίας Ταρασίου τοῦ πατριάρχου, ὡς δε-
ξαμένου τὸν βασιλέα εἰς κοινωνίαν, καὶ ἐπιτρέψαντος τῷ κα-
τηχητῇ τοῦ κουρεῦσαι τὴν γυναῖκα αὐτοῦ Μαρίαν, καὶ τῷ C
ἀββᾷ Ἰωσὴφ τῷ ἡγουμένῳ τῶν καθαρῶν τοῦ στεφανῶσαι
αὐτὸν μετὰ τῆς Θεοδότης. καὶ τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέ- V. 316
στειλεν Βαρδάνιον τὸν πατρίκιον καὶ δομέστικον τῶν σχολῶν
καὶ Ἰωάννην τὸν κόμητα τοῦ Ὀψικίου, καὶ εἰσήγαγεν τὸν Πλά-
τωνα εἰς τὴν πόλιν, καὶ ἀπέκλεισεν εἰς ἐγκλείστραν ἐν τῷ ναῷ
τοῦ ἀρχιστρατήγου ἐν τῷ παλατίῳ, τοὺς δὲ λοιποὺς μονα-
χοὺς σὺν τοῖς ἀνεψιοῖς αὐτοῦ τύψας ἐξώρισεν ἐν Θεσσαλο-
νίκῃ, ὧν ὑπερασπίζετο ἡ μήτηρ τοῦ βασιλέως, ὡς τῷ υἱῷ
αὐτῆς ἀντιταττομένους καὶ καταισχύνοντας αὐτόν. D

2. Ἀκρολέβα A. 7. ὑπέστρ. — — ποιήσαντες om. a. 10. ἀπέσχισεν A. 11. τότε κατηχήθη A. 17. ἐν τῇ πόλει A. 19. τύψας ἐξώρισεν A, τύψαντες ἐξώρισαν vulg. 20. ὧν A, οἷς f, οὓς vulg.

damus ex adverso ad Abrolebam silvam venit, et metu retentus luco se abdidit. imperator animis exercitui additis ad lucum Abrolebam processit diebus continuis septemdecim, hostem ad pugnam lacessens, quam ille viribus diffidens inire recusavit, et in provinciam se recepit. eodem anno Arabes Amorium usque irruperunt, nonnullisque captivis e vicino agro abductis, re infecta domum regressi sunt.

Eodem etiam anno Plato, saccundionis praepositus, a Tarasii patriarchae communione se segregavit, quod ille communionis suae participem redderet imperatorem et catechistae imperatricis tondendae potestatem fecisset, et abbati Ioseph, catharorum praeposito, ut eum cum Theodote ad nuptiales corollas admitteret, parem dedisset veniam. imperator accepto nuncio Bardanium patricium et scholarum domesticum et Ioannem Opsicii comitem misit, qui Platonem in urbem inductum in ergastulo ad Michaelis caelestis militiae principis in palatio erectam aedem inclusit. reliquos autem monachos una cum Platonis nepotibus caesos Thessalonicam relegavit, quos Irene ideo defendendos suscepit, quod filio adversarentur et eum probris incesserent.

A.M. 6289 Ῥώμης ἐπισκόπου Λέοντος ἔτος α'.

Τούτῳ τῷ ἔτει, μηνὶ Σεπτεμβρίῳ, ἐξῆλθεν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Προύσῃ θερμῆσαι· καὶ τῇ ζ' τοῦ Ὀκτωβρίου μηνὸς τῆς ε' ἰνδικτιῶνος ἐτέχθη τῷ βασιλεῖ υἱός, ὃν ἐπωνόμασεν Λέοντα· καὶ μαθὼν ὁ βασιλεὺς καταλιπεῖν τὴν μητέρα αὐτοῦ ἐν τοῖς θερμοῖς σὺν πάσῃ τῇ βασιλικῇ
P. 398 τάξει καὶ τοῖς ἄρχουσιν, δρομαῖος εἰς τὴν πόλιν ὑπέστρεψε. εὑροῦσα δὲ διορίαν ἡ τούτου μήτηρ προσελάλησεν καὶ ἐπεισυρεν δωρεαῖς καὶ ὑποσχέσεσι τοὺς τῶν ταγμάτων ἄρχοντας πρὸς τὸ καθελεῖν τὸν υἱὸν αὐτῆς, καὶ μονοκρατορῆσαι αὐτήν· τοὺς μὲν δι' ἑαυτῆς θωπεύσασα, τοὺς δὲ διὰ τῶν ἀνθρώπων αὐτῆς, καὶ εἵλκυσεν πάντας πρὸς ἑαυτήν, καὶ ἐξεδέχετο ἡμέραν εὑρεῖν ἐπιτήδειον. ἐν δὲ τῇ Ῥώμῃ τελευτήσαντος πάπα Ἀδριανοῦ, χειροτονεῖται Λέων, ἀνὴρ τιμιώτατος καὶ κατὰ πάντα αἰδέσιμος. τῷ δὲ Μαρτίῳ μηνὶ ἐξῆλθεν ὁ βασιλεὺς κατὰ Ἀράβων, ἔχων μεθ' ἑαυτοῦ Σταυράκιον τὸν πατρίκιον
B καὶ λοιποὺς φίλους τῆς μητρὸς αὐτοῦ καὶ ἐκλογὴν μονήρων στρατιωτῶν ἐξ ἀμφοτέρων θεμάτων χιλιάδας εἴκοσι. ἰδόντες δὲ οἱ περὶ Σταυράκιον τὴν προθυμίαν τοῦ λαοῦ καὶ τοῦ βασιλέως, ἐφοβήθησαν, μήπως πολεμήσας νικήσῃ καὶ ἀστοχήσωσι τῆς κατ' αὐτοῦ βουλῆς. καὶ δωροδοκήσαντες τοὺς τῆς

3. θερμίσαι A. 7. ἐπὶ τ. π. A.

A. C. 789 Romae episcopi Leonis annus primus.

Hoc anno mense Septembri imperator una cum matre thermarum aquis recreandus Prusam se contulit. mense subinde Octobri *quintae* indictionis, filium, quem Leonem nominavit, ex coniuge suscepit, quo nuncio ad eum delato, matrem suam in thermis una cum omni imperatorio comitatu et aulicis relinquens, festinus in urbem *retro* cessit. ibi tempus accommodum Irene nacta cum ordinum militarium ducibus colloquium habuit, et qua muneribus in eos sparsis, qua promissis maioribus, abrogato filio summam imperii ut *sibi* committerent, induxit, atque ita cunctos partim suis ipsius illecebris, partim familiarium suorum suasibus motos et illectos in suas partes transtalit, subindeque diem opportunum censuit expectandum. porro Adriano papa defuncto, Leo, vir omni honore ac veneratione dignus, in eius locum Romae suffectus est. mense autem Martio imperator Staracium patricium et reliquos matris amicos in comitatu habens, cum selectorum ex utrisque thematibus levis armaturae militum viginti millibus adversus Arabes movit. coniurationis porro *cum Staracio* initae conscii tam militum quam imperatoris ad pugnam alacritate comperta, veriti ne, si imperator vicisset, ipsi proposito sibi consilio exciderent, positos in excubiis milites donis corruperunt, ut *falso* as-

βιγλας ἔπεισαν αὐτοὺς ψεύσασθαι, ὅτι ἔφυγον οἱ Σαρακηνοί. ὁ γοῦν βασιλεὺς πολλὰ λυπηθείς, ἄπρακτος εἰς τὴν πόλιν εἰσῆλθεν. καὶ τῇ πρώτῃ τοῦ Μαΐου μηνὸς τέθνηκεν ὁ υἱὸς αὐτοῦ Λέων, καὶ ἐθρήνησεν αὐτὸν αφόδρα. τῇ δὲ ιζ τοῦ C
5 Ἰουνίου μηνός, ἰνδικτιῶνι ε', ἐξ ἱππικοῦ ἀγῶνος περάσαντος τοῦ βασιλέως ἐν τῷ ἁγίῳ Μάμαντι ἐπέρασαν κατ' αὐτοῦ οἱ τῶν ταγμάτων προλαλημένοι, ὥστε πιάσαι αὐτόν. ὁ δὲ τοῦτο μαθών, εἰσῆλθεν εἰς τὸ χελάνδιον αὐτοῦ, καὶ ἐπέρασεν εἰς Πύλας, βουλόμενος εἰς τὸ θέμα τῶν ἀνατολικῶν προσφυγεῖν.
10 συνῆσαν δὲ αὐτῷ καὶ οἱ τῆς μητρὸς αὐτοῦ φίλοι ἀγνοούμενοι παρ' αὐτοῦ. ἔξῆλθεν δὲ καὶ ἡ γυνὴ αὐτοῦ ἕως τοῦ Τρίτωνος. συμβουλευσάμενοι δὲ οἱ συνόντες αὐτῷ φίλοι τῆς μητρὸς αὐτοῦ, εἶπον πρὸς ἑαυτούς· ἐὰν ἐπισωρευθῇ αὐτῷ λαός, οὐκ ἔτι κυριεύεται, καὶ οὐ λανθάνομεν αὐτὸν καὶ ἀπολεῖ ἡμᾶς.
15 καὶ ἡ μήτηρ δὲ αὐτοῦ ἐπισωρεύσασα ἐν τοῖς Ἐλευθερίοις τοῖς D
τῶν ταγμάτων προλαληθέντας αὐτῇ, εἰσῆλθεν ἐν τῷ παλατίῳ, καὶ μαθοῦσα τὴν τοῦ λαοῦ πρὸς τὸν βασιλέα συνδρομήν, ἐφοβήθη λίαν, καὶ ἐσκέπτετο ἀπολῦσαι ἐπισκόπους πρὸς αὐτόν, καὶ λαβεῖν λόγον, καὶ καθίσαι εἰς γωνίαν. ἔγραψεν δὲ V. 317
20 λάθρα πρὸς τοὺς συνόντας αὐτῷ φίλους αὐτῆς· ὅτι εἰ μὴ ποιήσετέ τινα τρόπον, καὶ παραδώσετε αὐτόν, τοὺς λόγους,

2. ὁ γοῦν βασ. A, ὁ δὲ β. vulg. 5. Ἰουλίου A. 7. fort. προλελαλημ. 13. ἐὰν σωρευθῇ αὐτοῦ λαὸς A. 14. αὐτὸν A a, αὐτοῦ f, αὐτῷ vulg. 21. ποιήσετε A, ποιήσητε vulg. παραδώσετε A, παραδόσητε vulg.

sererent, Saracenos aufugisse. quare graviter iratus imperator re infecta in urbem se recepit. mensis vero Maii die primo Leo filius eius moritur, cuius funus multo lacrimarum imbre prosequutus est. caeterum Iunii mensis die decimo septimo, indictione quinta, imperatore post equestre circi spectaculum ad sanctum Mamantem transeunte, ordinum pariter, quos diximus, duces obviam facti eum comprehendere moliti sunt. conspecto periculo chelandio vectus, Pylas traiecit, in orientalium thema confugere meditatus. porro homines matris amicissimi, quos ille ignorabat, ipsum comitabantur, sed et uxor ad Tritonem usque subsequuta est. tunc comites eius matris amici consilio inter se inito, dixerunt: si reliqui milites ad imperatorem unquam confluxerint, in libertatem asseret se, atque ubi consilium nostrum deprehenderit, confestim nos perdet. mater autem eius collectis ad Eleutheria, quos memoravimus, ex ordinibus universis, palatium ingressa est, et cum rescisset populi ad imperatorem concurrentis numerum, graviter extimuit, iamque de mittendis ad eum episcopis, per quos securitate ab eo impetrata in domus angulum privata

οὓς ἔχετε μετ' ἐμοῦ, μηνῦσαι ἔχω τῷ βασιλεῖ. οἱ δὲ φοβηθέντες, ἐκράτησαν αὐτὸν εἰς παράκλησιν, καὶ εἰσενέγκαντες εἰς χελάνδιον κατέλαβον ἐν τῇ πόλει τῷ σαββάτῳ πρωΐ τῇ ια τοῦ αὐτοῦ μηνός. καὶ ἀπέκλεισαν αὐτὸν ἐν τῇ πορφύρᾳ, ὥσθ' P. 399 ἐγεννήθη. καὶ περὶ ὥραν ἐνάτην ἐκτυφλοῦσιν αὐτὸν ἀπὸ καὶ ἀνιάτως πρὸς τὸ ἀποθανεῖν αὐτόν, γνώμῃ τῆς μητρὸς αὐτοῦ καὶ τῶν συμβούλων αὐτῆς. ἐσκοτίσθη δὲ ὁ ἥλιος ἐν ἡμέρας ιζ καὶ οὐκ ἔδωκε τὰς ἀκτῖνας αὐτοῦ, ὥστε πλανᾶσθαι τὰ πλοῖα καὶ φέρεσθαι, καὶ πάντας λέγειν καὶ ὁμολογεῖν, ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέθετο· καὶ οὕτως κρατεῖ Εἰρήνη ἡ μήτηρ αὐτοῦ.

Τῷ δ' αὐτῷ ἔτει καὶ οἱ ἐν τῇ Ῥώμῃ συγγενεῖς τοῦ μακαρίου πάπα Ἀδριανοῦ συγκινήσαντες τὸν λαόν, ἐστασίασαν κατὰ Λέοντος τοῦ πάπα, καὶ κρατήσαντες ἐτύφλωσαν αὐτὸν B οὐ μέντοι ἠδυνήθησαν τελέως ὀβέσαι τὸ φῶς αὐτοῦ, τῶν τυφλωσάντων αὐτὸν φιλανθρώπων ὄντων, καὶ φεισαμένων αὐτοῦ. ὁ δὲ προσφυγὼν τῷ ῥηγὶ τῶν Φράγγων Καρούλῳ ἠμύνατο τοὺς ἐχθροὺς αὐτοῦ πικρῶς, καὶ πάλιν ἀποκατέστησεν αὐτὸν εἰς τὸν ἴδιον θρόνον, γενομένης τῆς Ῥώμης ὑπ' ἐκείνου τοῦ καιροῦ ὑπὸ τὴν ἐξουσίαν τῶν Φράγγων. ὁ δὲ

3. πρωΐ add. ex A. 4. ἔνθα A, ἐν ᾗ vulg. 5. αὐτὸν add. ex A, item καὶ ἀνιάτως. 10. τοῦ add. ex A. 12. ἐν τῇ Ῥώμῃ A, τῆς Ῥώμης vulg. 17. αὐτοῦ A, αὐτῷ vulg. 18. αὐτοῦ add. ex A. ἀποκατέστ. A, κατέστ. vulg. 20. τῷ add. ex A.

secederet, meditabatur. prius tamen ad amicos, qui cum filio erant, scripsit. nisi rationem qua filium mihi tradatis, inieritis, colloquia inter nos habita ipsi aperiam. illi timore correpti, Constantinum precibus vacantem comprehendunt, et chelandio ab ipsis impositus, sabbato mensis eiusdem die decimo quinto in urbem summo mane deductum, in porphyra, qua primum in lucem prodiit, includunt, et circa horam nonam tanta immanitate illi oculos confodere ex matris et consiliariorum eius sententia, ut pene mortem inferrent. sol tunc per dies septemdecim nulla radiorum emissa luce ita obscuratus est, ut errantia per mare navigia temere circumferrentur, omnesque palam assererent, ob imperatoris excaecationem solem se suis radiis abdicasse. ita mater eius Irene imperium obtinuit.

Eodem etiam anno beati Adriani papae Romani affines tumultu in Leonem papam excitato, oculis eum mulctaverunt. verum cum homines ad eum excaecandum deputati, misericordia ducti, ei pepercissent aliquatenus, haud ei penitus oculorum lumen extinctum est. Leo subinde ad Carolum Francorum regem confugit: rex eius adversarios graviter ultus in propriam sedem eum iterum restituit, et sub

τὸν Καρουλον ἀμειβόμενος, ἔστεψεν αὐτὸν εἰς βασιλέα Ῥωμαίων ἐν τῷ ναῷ τοῦ ἁγίου ἀποστόλου Πέτρου, χρίσας ἐλαίῳ ἀπὸ κεφαλῆς ἕως ποδῶν, καὶ περιβαλὼν βασιλικὴν ἐσθῆτα καὶ στέφος, μηνὶ Δεκεμβρίῳ κέ, ἰνδικτιῶνι ἐννάτῃ.

Ῥωμαίων βασιλίσσης Εἰρήνης πάλιν ἔτος α'. A.M. 6290

Τούτῳ τῷ ἔτει κρατήσασα Εἰρήνη τὴν βασιλείαν, παραυ- C
τίκα ἀποστέλλει Δωρόθεον τὸν ἡγούμενον Χρυσοπόλεως καὶ Κωνσταντῖνον χαρτοφύλακα τῆς μεγάλης ἐκκλησίας πρὸς Ἀβιμέλεχ λῃΐζόμενον τὰ μέρη Καππαδοκίας καὶ Γαλατίας, πρεσβευομένη περὶ εἰρήνης· οὐ γέγονεν δέ, καὶ τῷ Νοεμβρίῳ μηνί τινες νεωτεριταὶ φρουρουμένοις τοῖς υἱοῖς τοῦ θεομά- D
χου Κωνσταντίνου ἐν τῷ παλατίῳ τῶν Θεραπείας, πείθουσιν αὐτοὺς προσφυγεῖν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ δῆθεν αἰτήσασθαι ἀσφάλειαν τῆς μετὰ ταῦτα ἀβλαβείας αὐτῶν, ὡς διὰ τοιαύτης προφάσεως ἀναγορεῦσαι ἐξ αὐτῶν βασιλέα. καὶ πολλοῦ λαοῦ ἐν τῇ ἐκκλησίᾳ προσδραμόντος, εἰσελθὼν Ἄέτιος ὁ εὐνοῦχος πατρίκιος ἐξήγαγεν αὐτούς, λόγῳ μηδενὸς αὐτοῖς προσχόντος, καὶ ἐξώρισεν αὐτοὺς εἰς Ἀθήνας. οἱ δὲ δύο πατρίκιοι, ὅ τε Σταυράκιος καὶ Ἄέτιος, ἐπιστήθιοι ὄντες τῆς βασιλίσσης, γεγόνασι κατ' ἀλλήλων, ὥστε φανερῶς τὴν ἔχθραν

3. ἀπὸ κεφ. A, ἀπὸ τῆς κ. vulg. 4. μηνὶ Δεκ. A, τῷ Δεκ. vulg. 10. καὶ add. ex A. τῷ Ὀκτωβρίῳ A. 13. αὐτοὺς A, αὐτοῖς vulg. μεγάλῃ add. ex A. 15. ἐξ αὐτῶν add. ex A.

id tempus primum ac deinceps in Francorum potestatem Roma cessit. Leo Carolo regi vicem relaturus, eum capite ad imos usque pedes oleo perunctum in sancti apostoli aede imperatorem salutatum corona redimivit, imperatoria veste circumdedit, et capitis ornamenta contulit, mensis Decembris die vicesimo quinto, indictione nona.

Romanorum imperatricis Irenae secundo annus primus. A. C. 790

Hoc anno imperatrix Irene imperio potita, Dorotheum, Chrysopoleos praepositum, et Constantinum magnae ecclesiae chartophylacem, ab Abimelech Cappadociae et Galatiae provincias hostiliter depopulantem, de pace cum eo componenda legatos misit: sed incassum abiere de pace tractatus. Novembri mense nonnulli rerum novandarum cupidi, filii dei hostis Constantini ad Therapiae palatium sub custodia detenti, ad magnam ecclesiam ut confugiant, ibique propriae securitatis in futurum cautionem petant, ut videlicet huius rei obtentu aliquem ex eis imperatorem populus salutaret, auctores fiunt. populo igitur turmatim ad ecclesiam confluente, Aetius eunuchus ingressus, fide ipsis data, nullo incolumitati eorum providente, ipsos eduxit, et Athenas exules deportari commisit. caeterum duo patricii Stauracius et Aetius, imperatricis intimi, eo discordiarum processerunt, ut inimi-

P. 400 ἐπιδεικνύσθαι, ἀμφότεροι σκοπὸν ἔχοντες μετὰ θάνατον αὐτῆς τοῖς ἰδίοις συγγενέσι τὴν βασιλείαν περιποιήσασθαι.

A.M. 6291 V. 318 Τούτῳ τῷ ἔτει ἐξῆλθεν ὁ Ἀβιμέλεχ κατὰ Ῥωμανίας πα ἀποστείλας κοῦρσον μονοζώνων, κατῆλθεν ἕως τῶν Μαγγ νων. καὶ ἐπιφθάσαντες ἐν τοῖς σταύλοις Σταυρακίου τ ἵππους, καὶ τὴν βασιλικὴν προμοσέλλαν λαβών, ὑπέστρε ἀβλαβῶς· καὶ οἱ λοιποὶ κατῆλθον ἕως Λυδίας καὶ πολλ αἰχμαλωσίαν ἔλαβον. κοῦρσον δὲ αὐτῶν ἕτερον ἐκδραμὸν π

B ἐπιπεσὸν Παύλῳ πατρικίῳ καὶ κόμητι τοῦ Ὀψικίου σὺν ὅλ τῷ θέματι αὐτοῦ καὶ τοῖς ὀπτιμάτοις, πολλὴν κοπὴν εἰς αὐ τοὺς ἐποίησεν. ἀπῆραν δὲ καὶ τὸ τοῦλδον αὐτῶν, ὑπέστρ ψεν καὶ αὐτό. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς ζ ἰνδικτιῶνος, ἐβου λήθη Ἀκάμηρος ὁ τῶν Σκλαβίνων τῆς Βελζητίας ἄρχων π χθεὶς ὑπὸ τῶν Ἑλλαδικῶν ἐξαγαγεῖν τοὺς υἱοὺς Κωνσταντίνου, καὶ προχειρίσασθαι ἐξ αὐτῶν βασιλέα. γνοῦσα δὲ τοῦτ ἡ βασίλισσα Εἰρήνη, ἀποστέλλει πρὸς τὸν πατρίκιον Κωνσταν τῖνον τὸν Σεραντάπηχον Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ σπαθάριο

C ὄντα καὶ ἀνεψιὸν αὐτῆς, καὶ πάντας ἐτύφλωσεν, καὶ διεσκέδασ τὴν κατ' αὐτῆς βουλὴν αὐτῶν. τοῦ δὲ ἁγίου πάσχα τῇ δεκάτῃ

1. ἔχοντες add. ex A. 3. ὁ add. ex A. 4. *Μαλαγίνων* A. 8. ἐκδραμὸν καὶ ἐπιπεσὸν A, ἐκδραμὼν καὶ ἐπιπεσὼν vulg. 9. *Παύλῳ* A, *Πέτρῳ τῷ* vulg. 11. ἀπῆραν A, ἐπῆραν vulg. 12. καὶ αὐτὸ A, καὶ αὐτὸν vulg. ἠκολούθει A. 17. *Σεραντ.* A.

cos invicem palam se professi fuerint: etenim uterque de imperio familiae suae ac sanguine sibi post Irenes mortem conciliando sententiam animo proposuerat.

A.C. 791 Hoc anno Abimelech in Romaniam suscepta profectione cum praedatoriis militum expeditorum turmis adusque Mangana penetravit. inde vero ex improviso in Stauracii stabula irruens, eius equis, nec non ipso, quo imperatrix vehebatur, equitatu raptis, citra damnum pedem retulit. caeteri vero in Lydiam usque penetrantes, *maximam* praedam inde reportaverunt. alterum autem eorum agmen excursionibus exercitatum, in Paulum patricium Opsicii comitem incidens, multa caede in universum exercitum et eius optimates debacchatum *est*, et accepto belli toto apparatu, ipsum postmodum restituit et ad suos remisit. mense autem Martio indictionis septimae Acamerus Sclavinorum Belzetiae princeps a Graecis quibusdam excitus filios Constantini in libertatem asserere molitus, ex eis nonnemineni imperatorem creare statuit; quod ubi imperatrix Irene accepit, ad Constantinum, cognomento Serantapechum, patricium eius filium, qui tum spatharius erat et imperatricis ipsius nepos, Theophylactum misit, qui omnes oculis orbavit: atque ita paratam in se coniurationem dissipavit. san-

ἡμέρᾳ προῆλθεν ἡ βασίλισσα ἀπὸ τῶν ἁγίων ἀποστόλων ἐπὶ ὀχήματος χρυσοῦ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς συρομένου, καὶ ὑπὸ τεσσάρων πατρικίων κρατουμένου, φημὶ δὴ Βαρδάνου στρατηγοῦ Θρᾳκησίων καὶ Σισιννίου στρατηγοῦ τῆς Θρᾴκης καὶ Νικήτα δομεστίκου τῶν σχολῶν καὶ Κωνσταντίνου τοῦ Βόηλα, ῥίψασα ὑπατείαν ἀφθόνως. τῷ δὲ Μαΐῳ μηνὶ ἐνόσησεν ἡ βασίλισσα παραπλησίον θανάτου· καὶ ἐπέτειλεν ἡ ἔρις τῶν εὐνούχων. Ἄετιος δὲ προσελάβετο Νικήταν τὸν πατρίκιον καὶ δομέστικον τῶν σχολῶν, καὶ ἀντέπιπτεν δεινῶς τῷ Σταυρακίῳ, πείθοντες καὶ τὴν βασίλισσαν, ὅτι τοῦ κράτους ἐφίεται· καὶ θυμωθεῖσα δεινῶς αὐτῷ ἐπηνέχθη ἐν τῷ παλατίῳ τοῦ Ἱερείου εἰποῦσα· μούλτων καὶ στάσεων φροντιστὴν αὐτὸν εἶναι, καὶ ἑαυτῷ προξενοῦντα ταχίστην ἀπώλειαν. ὁ δὲ προσαπολογησάμενος αὐτῇ, ἠσφαλίζετο ἑαυτόν· ἐμαίνετο δὲ κατὰ Ἀετίου καὶ Νικήτα, τῶν προρρηθέντων πατρικίων. D

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ, ἰνδικτιῶνι ἡ, ὁ Σταυράκιος προρρηθεὶς τυραννίδα καὶ στάσιν κατὰ τὴν βασιλεύουσαν πόλιν συνεσκεύαζεν, τοὺς ἐν αὐτῇ σχολαρίους καὶ A.M. 6292 P. 401

4. Θρᾳκησίων] τῆς Θρᾴκης A. 5. Νικήτα A, Νικήτου vulg. 7. ἐπέτεινεν A. 9. ἀντέπιπτόν τινες A. 11. ἐπηνέχθη A, ἐπέρχεται vulg. 14. ἠσφ. A, εἰσφ. vulg. 15. Νικήτα, τῶν πρ. A, Νικήτου προρρ. vulg. 19. συνεσκεύαζεν A a, συνέζευξεν vulg.

cti vero paschatis feria secunda imperatrix a sanctorum apostolorum aede processum solemnem fecit, curru aureo, quem quatuor equi candidi trahebant, vecta: currum regebant patricii quatuor, Bardanes, inquam, Thracensium dux, Sisinnius ipsius Thraciae pariter dux, Nicetas scholarum domesticus et Constantinus Boelas; ipsa imperatrix consulari more munera in populum spargebat. mense Maio imperatrix adeo graviter infirmata est, ut morti quam proximam dixerint, ex quo inter eunuchos invidia et dissensio succrevit. Aetius autem ascito sibi Niceta patricio et scholarum domestico Stauracio se fortiter opponebat et adversabatur, adeo ut eum imperii ambitione teneri in imperatricis animum inducere potuerint. illa impotens irae ad Hierii palatium se contulit, dicens, ipsum tumultuum et seditionum inventorem et auctorem, propriam sibi perniciem conciliaturum. at ipse defensione sui suscepta, causam propriam apud imperatricem et pro iure suo tutabatur. in Aetium itaque et Nicetam praefatos patricios rabiem suam convertit.

Hoc anno, mense Februario, indictione octava memoratus Stauracius scholariorum et excubitorum unaque ductorum animis donis ac muneribus sibi conciliatis, seditionem atque rebellionem in ipsam A. C. 792

P. 400 ἐπιδεικνύσθαι, ἀμφότεροι σκοπὸν ἔχοντες μετὰ θάνατον αὐτῆς τοῖς ἰδίοις συγγενέσι τὴν βασιλείαν περιποιήσασθαι.

A.M.6291 V.318 Τούτῳ τῷ ἔτει ἐξῆλθεν ὁ Ἀβιμέλεχ κατὰ Ῥωμανίας, καὶ ἀποστείλας κοῦρσον μονοζώνων, κατῆλθεν ἕως τῶν Μαγγάνων. καὶ ἐπιφθάσαντες ἐν τοῖς σταύλοις Σταυρακίου τοὺς ἵππους, καὶ τὴν βασιλικὴν προμοσέλλαν λαβών, ὑπέστρεψεν ἀβλαβῶς· καὶ οἱ λοιποὶ κατῆλθον ἕως Λυδίας καὶ πολλὴν αἰχμαλωσίαν ἔλαβον. κοῦρσον δὲ αὐτῶν ἕτερον ἐκδραμὸν καὶ

B ἐπιπεσὸν Παύλῳ πατρικίῳ καὶ κόμητι τοῦ Ὀψικίου σὺν ὅλῳ τῷ θέματι αὐτοῦ καὶ τοῖς ὀπτιμάτοις, πολλὴν κοπὴν εἰς αὐτοὺς ἐποίησεν. ἀπῆραν δὲ καὶ τὸ τοῦλδον αὐτῶν, ὑπέστρεψεν καὶ αὐτό. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς ζ ἰνδικτιῶνος, ἐβουλήθη Ἀκάμηρος ὁ τῶν Σκλαβίνων τῆς Βελζητίας ἄρχων πεῖσθείς ὑπὸ τῶν Ἑλλαδικῶν ἐξαγαγεῖν τοὺς υἱοὺς Κωνσταντίνου, καὶ προχειρίσασθαι ἐξ αὐτῶν βασιλέα. γνοῦσα δὲ τοῦτο ἡ βασίλισσα Εἰρήνη, ἀποστέλλει πρὸς τὸν πατρίκιον Κωνσταντῖνον τὸν Σερανταπήχον Θεοφύλακτον τὸν υἱὸν αὐτοῦ σπαθάριον

C ὄντα καὶ ἀνεψιὸν αὐτῆς, καὶ πάντας ἐτύφλωσεν, καὶ διεσκέδασεν τὴν κατ' αὐτῆς βουλὴν αὐτῶν. τοῦ δὲ ἁγίου πάσχα τῇ δευτέρᾳ

1. ἔχοντες add. ex A. 3. ὁ add. ex A. 4. Μαλαγίνων A. 8. ἐκδραμὸν καὶ ἐπιπεσὸν A, ἐκδραμὼν καὶ ἐπιπεσὼν vulg. 9. Παύλῳ A, Πέτρῳ τῷ vulg. 11. ἀπῆραν A, ἐπῆραν vulg. 12. καὶ αὐτὸ A, καὶ αὐτὸν vulg. ἠκολούθει A. 17. Σερανι. A.

cos invicem palam se professi fuerint: etenim uterque de imperio familiae suae ac sanguine sibi post Irenes mortem conciliando sententiam animo proposuerat.

A.C. 791 Hoc anno Abimelech in Romaniam suscepta profectione cum praedatoriis militum expeditorum turmis adusque Mangana penetravit. inde vero ex improviso in Stauracii stabula irruens, eius equis, nec non ipso, quo imperatrix vehebatur, equitatu raptis, citra damnum pedem retulit. caeteri vero in Lydiam usque penetrantes, maximam praedam inde reportaverunt. alterum autem eorum agmen excursionibus exercitatum, in Paulum patricium Opsicii comitem incidens, multa caede in universum exercitum et eius optimates debacchatum est, et accepto belli toto apparatu, ipsum postmodum restituit et ad suos remisit. mense autem Martio indictionis septimae Acamerus Sclavinorum Belzetiae princeps a Graecis quibusdam excitus filios Constantini in libertatem asserere molitus, ex eis nonneminem imperatorem creare statuit; quod ubi imperatrix Irene accepit, ad Constantinum, cognomento Serantapechum, patricium eius filium, qui tum spatharius erat et imperatricis ipsius nepos, Theophylactum misit, qui omnes oculis orbavit: atque ita paratam in se coniurationem dissipavit. san-

ἡμέρᾳ προῆλθεν ἡ βασίλισσα ἀπὸ τῶν ἁγίων ἀποστόλων ἐπὶ ὀχήματος χρυσοῦ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς συρομένου, καὶ ὑπὸ τεσσάρων πατρικίων κρατουμένου, φημὶ δὴ Βαρδάνου στρατηγοῦ Θρᾳκησίων καὶ Σισιννίου στρατηγοῦ τῆς Θρᾴκης καὶ Νικήτα δομεστίκου τῶν σχολῶν καὶ Κωνσταντίνου τοῦ Βόηλα, ῥίψασα ὑπατείαν ἀφθόνως. τῷ δὲ Μαΐῳ μηνὶ ἐνόσησεν ἡ βασίλισσα παραπλησίον θανάτου· καὶ ἐπέτειλεν ἡ ἔρις τῶν εὐνούχων. Ἄετιος δὲ προσελάβετο Νικήταν τὸν πατρίκιον καὶ δομέστικον τῶν σχολῶν, καὶ ἀντέπιπτεν δεινῶς τῷ Σταυρακίῳ, πείθοντες καὶ τὴν βασίλισσαν, ὅτι τοῦ κράτους ἐφίεται· καὶ θυμωθεῖσα δεινῶς αὐτῷ ἐπηνέχθη ἐν τῷ παλατίῳ τοῦ Ἱερείου εἰποῦσα· μούλτων καὶ στάσεων φροντιστὴν αὐτὸν εἶναι, καὶ ἑαυτῷ προξενοῦντα ταχίστην ἀπώλειαν. ὁ δὲ προσαπολογησάμενος αὐτῇ, ἠσφαλίζετο ἑαυτόν· ἐμαίνετο δὲ κατὰ Ἀετίου καὶ Νικήτα, τῶν προρρηθέντων πατρικίων.

Τούτῳ τῷ ἔτει, μηνὶ Φεβρουαρίῳ, ἰνδικτιῶνι η', ὁ Σταυράκιος προρρηθεὶς τυραννίδα καὶ στάσιν κατὰ τὴν βασιλεύουσαν πόλιν συνεσκεύαζεν, τοὺς ἐν αὐτῇ σχολαρίους καὶ A.M. 6292 P. 401

4. Θρᾳκησίων] τῆς Θρᾴκης A. 5. Νικήτα A, Νικήτου vulg. 7. ἐπέτεινεν A. 9. ἀντέπιπτόν τινες A. 11. ἐπηνέχθη A, ἐπέρχεται vulg. 14. ἠσφ. A, εἰσφ. vulg. 15. Νικήτα, τῶν πρ. A, Νικήτου προρρ. vulg. 19. συνεσκεύαζεν A a, συνέζευξεν vulg.

cti vero paschatis feria secunda imperatrix a sanctorum apostolorum aede processum solemnem fecit, curru aureo, quem quatuor equi candidi trahebant, vecta: currum regebant patricii quatuor, Bardanes, inquam, Thracensium dux, Sisinnius ipsius Thraciae pariter dux, Nicetas scholarum domesticus et Constantinus Boelas; ipsa imperatrix consulari more munera in populum spargebat. mense Maio imperatrix adeo graviter infirmata est, ut morti quam proximam dixerint, ex quo inter eunuchos invidia et dissensio succrevit. Aetius autem ascito sibi Niceta patricio et scholarum domestico Stauracio se fortiter opponebat et adversabatur, adeo ut eum imperii ambitione teneri in imperatricis animum inducere potuerint. illa impotens irae ad Hierii palatium se contulit, dicens, ipsum tumultuum et seditionum inventorem et auctorem, propriam sibi perniciem conciliaturum. at ipse defensione sui suscepta, causam propriam apud imperatricem et pro iure suo tutabatur. in Aetium itaque et Nicetam praefatos patricios rabiem suam convertit.

Hoc anno, mense Februario, indictione octava memoratus Stauracius scholariorum et excubitorum unaque ductorum animis donis ac muneribus sibi conciliatis, seditionem atque rebellionem in ipsam A. C. 792

ἐξκουβίτωρας ἅμα τοῖς ἄρχουσιν αὐτῶν δεξιούμενος χρήμασι καὶ δωρεαῖς. Εἰρήνη δὲ ἡ εὐσεβὴς σιλέντιον ποιήσασα ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ, πάντα στρατευόμενον ἐκώλυσεν προπελάζειν τῷ Σταυρακίῳ. καὶ οὕτως ἔτυχεν μικρᾶς εὐπαθείας τὰ πράγματα. Ἀέτιος δὲ ὁ προρρηθεὶς καὶ Νικήτας σὺν ἄλλοις τισὶ κατηγωνίζοντο Σταυρακίου. ὁ δὲ καρδιόπληκτος γενόμενος αἷμα διὰ τοῦ στόματος ἀνῆξεν ἀφρῶδες ἐκ τῶν
B κατὰ θώρακα καὶ πνεύμονα μορίων. τοῦτο οἱ ἰατροὶ θεασάμενοι θανάσιμον ἀπεφήναντο· οἱ δὲ λοιποὶ κόλακες καὶ ἀνόητοι, οὐ μόνον ἰατροί, ἀλλὰ καί τινες ἀμόναχοι μοναχοί καὶ γόητες, ἔπειθον ὅρκοις ἕως τῆς αὐτῆς ἡμέρας τῆς τελευτῆς αὐτοῦ, ἣ γέγονεν κατὰ τὸν Ἰούνιον μῆνα τῆς αὐτῆς ὀγδόης
V. 319 ἰνδικτιῶνος ἡμέρᾳ τρίτῃ, ὅτι ζήσεται καὶ βασιλεύσει. ὃς ὑπερηρεισάμενος στάσιν ἐν ταῖς Καππαδοκίαις συνεσκεύασεν κατὰ Ἀετίου γενέσθαι, ἣν οὐκ ἠξιώθη ζῶν ἀκοῦσαι· μετὰ γὰρ δύο ἡμέρας τοῦ θανεῖν αὐτόν, κατέλαβεν ἡ περὶ τούτου
C φάσις· καὶ οἱ στασιασταὶ συλληφθέντες ἐξορίαις καὶ τιμωρίαις ὑπεβλήθησαν.

A.M. 6293 Τούτῳ τῷ ἔτει, μηνὶ Δεκεμβρίῳ κέ, ἰνδικτιῶνι θ', Κάρουλος ὁ τῶν Φράγγων ῥῆξ ἐστέφθη ὑπὸ Λέοντος τοῦ πάπα

2. ἡ εὐσεβὴς om. f. 6. Σταυρακίου A, Σταυρακίῳ vulg. 9. κόλ. καὶ ἀνόητοι A, κόλ. ἀνόητοι vulg. 10. post μοναχοί A a f add. καὶ στουδῖται. 14. ὑπερερειδόμενος A, ὑπερερηδ. vulg. 16. περὶ add. ex A.

imperantem urbem commovit. piissima vero Irene senatu ad Iustiniani triclinium indicto, singulos quosque in militia mereri solitos ad Stauracium accedere prohibuit, ex quo rerum tranquillitas ad breve tempus emersit. Aetius autem, quem diximus, ac Nicetas cum aliis quibusdam Stauracium insectabantur. interim ille corde sideratus, sanguinem spumosum thoracis et pulmonis partibus emissum ore evomens medicis ad spectaculum confluentibus mortis argumentum dedit inevitabile, quamvis in adversum reliqui adulatores insani, haud medici tantum, sed et irreligiosi monachi et praestigiatores ad ultimum obitus ipsius diem, qui mensis Iunii indictionis eiusdem octavae tertius fuit, illum diutius victurum et imperio potiturum temere affirmarent. his ille vaticiniorum ludicris delectatus, seditionem in Cappadociis Aetio perdendo commoveri disposuit, cuius exitum ut audiret, minime sors contulit. post duos quippe ab eius obitu dies, de illa primus advenit nuncius, et in seditionis auctores comprehensos exiliis et suppliciis animadversum est.

A.C. 793 Hoc anno, quo indictio nona numerata est, mensis Decembris die vicesimo quinto, Francorum rex Carolus a Leone papa coronatus est, Siciliamque classe adoriri meditatus, consilium mutavit, cum

καὶ βουληθεὶς κατὰ Σικελίαν στόλῳ παρατάξασθαι μετεβλήθη, ζευχθῆναι μᾶλλον Εἰρήνῃ βουληθείς, πρέσβεις εἰς τοῦτο πέμψας τῷ ἐπιόντι χρόνῳ ἰνδικτιῶνι ι'. τῷ δὲ Μαρτίῳ μηνὶ τῆς Θ' ἰνδικτιῶνος Εἰρήνη ἡ εὐσεβὴς Βυζαντίοις τοὺς πολιτικοὺς ἐχαρίσατο φόρους, καὶ τῆς Ἀβύδου καὶ τοῦ Ἱεροῦ τὰ λεγόμενα κομμέρκια ἐκούφισεν, μεγάλως ἐπὶ τούτοις σὺν ἄλλοις πολλοῖς εὐχαριστηθεῖσα εὐεργετήμασι. D

Τούτῳ τῷ ἔτει Ἀέτιος ὁ πατρίκιος ἀπαλλαγεὶς Σταυρακίου καὶ ἀπομεριμνήσας, τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν μετενέγκαι ἔσπευδεν, ὃν καὶ προεβάλετο μονοστράτηγον εἰς τὴν Θρᾴκην καὶ Μακεδονίαν, αὐτὸς τὰ περατικὰ θέματα κατέχων ἀνατολικοὺς καὶ τὴν Ὀψίκιν· ἐπάρσεως οὖν μεστὸς ὑπάρχων, τοὺς ἐν τέλει ἄρχοντας κατευτελίζων, ἀντ' οὐδενὸς ἐλογίζετο· οἳ καὶ λυπηθέντες κατ' αὐτοῦ σφόδρα στάσιν κατὰ τῆς βασιλίσσης μελετήσαντες, εἰς ἔργον ἐξήνεγκαν. ἔφθασαν δὲ καὶ οἱ ἀποσταλέντες παρὰ Καρούλου ἀποκρισιάριοι καὶ τοῦ πάπα Λέοντος πρὸς τὴν Εἰρήνην, αἰτούμενοι ζευχθῆναι αὐτὴν τῷ Καρούλῳ πρὸς γάμον, καὶ ἑνῶσαι τὰ ἑῷα καὶ τὰ ἑσπέρια, ἥτις ὑπήκουσεν ἄν, εἰ μὴ Ἀέτιος οὗτος ὁ πολλάκις ῥηθεὶς ἐκώλυσεν, παραδυναστεύων καὶ τὸ κράτος εἰς τὸν ἴδιον ἀδελφὸν σφετεριζόμενος. A.M. 6294 P. 402

10. δν καὶ προεβ. A, δ καὶ προσεβ. vulg. εἰς τὴν A, εἰς vulg. 12. τὸ Ὀψίκιον A, τὴν Ὀψίκην vulg. 16. καὶ prius add. ex A. 19. μὴ Ἀέτιος A, μὴ ὁ Ἀ. vulg. ῥηθεὶς add. ex A.

Irene coniugium et pacem contrahere animo gerens, cuius gratia insequente anno indictione nimirum decima legatos destinavit. mense porro Martio indictionis nonae piissima Irene Byzantiis civilia remisit vectigalia, et ea quae apud Abydum et Hierum dicuntur commercia ex parte relaxavit, pro quibus aliisque plurimis beneficiis populus maximas ei grates retulit.

Hoc anno Aetius patricius Stauracii metu liber, et ab ea cura exoneratus, summam imperii potestatem in fratrem suum transferre operam omnem adhibebat, qua de causa supremum exercitus ducem per Thraciam et Macedoniam eum institui curaverat, ipse qui orientalium et Opsicianorum themata trans fretum posita regebat. tali arrogantia plenus et exaestuans, proceres ad dignitates evectos despiciens, reliquos nihili aestimandos opinabatur. quare graviter irati, seditionem in imperatricem parantes, eam ad finem perducere moliti sunt. porro apocrisiarii a Carolo et a Leone papa missi Irenem Carolo matrimonio coniungendam, atque ita orientis et occidentis imperia in unum componenda postulantes advenerunt, quibus ipsa assensura erat, si non Aetius iste post imperatricem, ut saepe memoravimus, cuncta administrans, ac imperium in fratrem transferre meditatus, eius se consiliis opposuisset. A.C. 794

A.M. 6295 *Ῥωμαίων βασιλέως Νικηφόρου ἔτος α'.*

B *Τούτῳ τῷ ἔτει, μηνὶ Ὀκτωβρίῳ λα', ἰνδικτιῶνι ια', ὥρᾳ νυκτερινῇ δ', ἐπιφωσκούσης ἡμέρας δευτέρας, Νικηφόρος πατρίκιος καὶ γενικὸς λογοθέτης ἐτυράννησεν κατὰ τῆς εὐσεβεστάτης Εἰρήνης, θεοῦ μὲν συγχωρήσαντος ἀφάτοις κρίμασιν διὰ πλῆθος ἁμαρτιῶν ἡμῶν, συνεργούντων δὲ αὐτῶν Νικήτα πατρικίου καὶ δομεστίκου τῶν σχολῶν, καὶ Σισιννίου πατρικίου καὶ ἀδελφοῦ αὐτοῦ, τῶν δολερῶν καὶ ἐπόρκων Τριφυλλίων. συνῆσαν δὲ αὐτοῖς καὶ Λέων πατρίκιος*

C *καὶ κοιαίστωρ ὁ Σεραντάπηχος καὶ Γρηγόριος ὁ πατρίκιος ὁ Μουσουλακίου καὶ Θεόκτιστος ὁ πατρίκιος καὶ κοιαίστωρ, καὶ Πέτρος πατρίκιος, ἀπατήσαντες καί τινας τῶν ἀρχόντων τοῦ λαοῦ τῶν ταγμάτων. καταλαβόντες δὲ τὴν λεγομένην Χαλκῆν, καὶ τοὺς φύλακας ἀθρόως ψευδῶς ἀπατήσαντες, ἔπεισαν*

V. 320 *ὅτι παρ' αὐτῆς ἀπεστάλησαν ἀναγορεῦσαι βασιλέα τὸν αὐτὸν Νικηφόρον, διὰ τὸ τὸν πατρίκιον Ἄετιον βιάζεσθαι αὐτὸν τὸν ἑαυτοῦ ἀδελφὸν Λέοντα ἀναγορεῦσαι βασιλέα. οἱ δὲ πιστεύσαντες τῷ τηλικούτῳ ψεύδει, συνανηγόρευσαν βασιλέα τὸν τύραννον. οὕτως οὖν ἐπὶ τὸ μέγα παλάτιον ἐλθόντες οἱ αὐτοὶ πατρίκιοι, εἰσῆλθον ἐν αὐτῷ. κἀκεῖθεν ἀποστείλαντες κατ'*

5. *Ἀυγούστης* add. ex A. *καὶ κοιαίστωρ* add. ex A. 12. *αὐτοὺς καί τινας* e. 7. *Νικήτα* A, *Νικήτου* vulg. 10. *ὁ Μουσ.* — — *Πέτρ. πατρ.* om. A. 14. *ἀπατήσαντες* A, *ἀπαντήσ.* vulg. 16. *τὸν πατρ.* A, *τὸν αὐτὸν πατρ.* vulg. 18. *τῷ τηλικούτῳ ψεύδει* A, *τὸ τηλικοῦτο ψεῦδος* vulg.

A. C. 795 Romanorum imperatoris Nicephori annus primus.

